1 L'homme le mieux tempéré est celui qui présente un corps tenant exactement le milieu entre tous les extrêmes, entre la maigreur et l'excès d'embonpoint, entre la mollesse et la dureté, enfin entre la chaleur et le
2 froid, entre l'humidité et la sécheresse. Mais un homme dont les chairs sont dans cet excellent état possède aussi une très-bonne conformation et se trouve dans une situation très-satisfaisante sous le rapport des fonctions; de plus, toutes ses parties présentent, sous le rapport du nombre et de la grandeur, une telle harmonie, que de cet ensemble

2. τις] τε Gal. — 2-3. ἰλὺς χολὴ ἡ Gal. — 4. ψυχρ. δὲ καὶ ὑγρότατον ἁπάντων τῶν Gal. — Ch. 5; l. 12. τῶν om. F. — Ib. τήν ex em.; καὶ τήν F Gal.

ταῖς ἐνεργείαις παρεχόμενα κεκτημένος, καὶ διὰ τοῦτο καὶ κάλλι-
σῖος ὀφθῆναι. Μέσος ἀκριβῶς ἐσῖι θρασύτητός τε καὶ δειλίας, μελ- 3
λησμοῦ τε καὶ προπετείας, ἐλέους τε καὶ φθόνου. Εἴη δὲ ἂν ὁ τοιοῦτος 4
εὐθὺς μὲν φιλόσῖοργος, φιλάνθρωπος, συνετὸς, ἐσθίειν δὲ καὶ πί-
νειν σύμμετρος, καὶ πέτῖει καλῶς τὰς τροφὰς οὐκ ἐν γασῖρὶ μόνον,
ἀλλὰ καὶ ἐν ταῖς φλεψὶ, καὶ κατὰ ὅλην τὴν ἕξιν τοῦ σώματος, ἁπά-
σας τε, συνελόντι φάναι, τάς τε φυσικὰς ἐνεργείας καὶ τὰς ψυχικὰς
ἀμέμπῖως ἔχει· καὶ γὰρ καὶ ταῖς αἰσθήσεσιν ἀρίσῖως διάκειται καὶ
ταῖς τῶν κώλων κινήσεσιν, εὔχρους τέ ἐσῖι καὶ εὔπνους ἀεὶ καὶ
μέσος ὑπνώδους τε καὶ ἀγρύπνου, καὶ ψιλοῦ τριχῶν καὶ δασέος, καὶ
μέλανος καὶ λευκοῦ τὴν χρόαν καὶ τρίχας ἔχει, παῖς μὲν ὢν πυῤ-
ῥοτέρας μᾶλλον ἢ μελαντέρας, ἀκμάζων δὲ ἔμπαλιν. Τὸ μὲν οὖν 5
τοιοῦτον σῶμα καὶ οὕτω κατωρθωμένον εἰς ἄκρον οὐ πάνυ τι συνε-
χῶς εἴωθε γίνεσθαι, τὸ δὲ ἀπολειπόμενον βραχὺ τοῦδε κἂν συνεχῶς
θεάσαιο.

résulte un bon arrangement favorable au jeu des fonctions; pour cette
raison, il est aussi très-beau à voir. Il tient exactement le milieu entre 3
la témérité et la lâcheté, entre la lenteur et l'étourderie, entre la bien-
veillance et l'envie. Un tel homme sera nécessairement encore affectueux, 4
humain, intelligent, modéré dans l'usage des aliments et des boissons;
élaborera bien ses aliments, non-seulement dans l'estomac, mais aussi
dans les veines et dans toute l'habitude du corps; et, pour le dire en un
mot, il aura toutes les fonctions, tant naturelles que psychiques, dans un
état irréprochable; car il se trouve dans une excellente condition par
rapport aux sens et aux mouvements des membres; il est bien coloré et
toujours bien perméable à l'air; il tient le milieu eu égard à la somno-
lence et à l'insomnie, au défaut et à la surabondance de poils, au teint
noir et au teint blanc; ses cheveux sont, dans l'enfance, plutôt blonds
que noirs, tandis que, vers le milieu de la vie, c'est le contraire. Habituel- 5
lement on ne rencontre pas très-fréquemment un corps ainsi fait et qui
arrive tellement au suprême degré de ce qu'il faut; mais on peut tou-
jours en voir un qui s'en écarte peu.

3. δέ om. F. — 4. εὔθυμος φιλόσῖ. Gal. — 6. καὶ καθόλου τήν F. — 8. ἀμέμπῖος (sic) ἔχειν F. — Ib. διάγειται F. — 9-10. ἀεὶ ἐμμέσος F. — 10. ἀγρυπνος καὶ ψιλός F. — 11. λευκόν F. — Ib. ἔχειν F.

ς'. Διάγνωσις τῶν δυσκράτων σωμάτων.

1 Ὅσα δὲ σώματα τοῦ συμμέτρου θερμότερα μέν ἐστιν, οὐ μὴν
ὑγρότερα ἢ ξηρότερα, τούς τε ὀδόντας φύσει θᾶττον αὐξηθήσεταί
2 τε ὁμοίως. Φανεῖται δὲ δήπου καὶ ἁπτομένοις θερμότερα τοσοῦτον
ὅσον περ ἐστὶ καὶ τῇ κράσει θερμότερα, καὶ πιμελῆς ἧττον ἔχοντα,
τῇ χροᾷ δὲ ἐξέρυθρα καὶ μελανότριχα καὶ μετρίως δασέα καὶ εὐρείας
ἔχοντα τὰς φλέβας· ὥστε εὐλόγως εἰς ταὐτὸν συντρέχει φλεβῶν
3 εὐρύτης καὶ λεπτότης. Εἰ δὲ ἅμα τις εἴη πιμελώδης τε καὶ παχὺς
καὶ τὰς φλέβας εὐρείας ἔχοι, διὰ ἔθος οὗτος, οὐ φύσει πιμελώδης
ἐγένετο· τὸ γὰρ τῆς διαίτης ἀταλαίπωρον ἐπιθρέψειεν ἄν ποτε
τοῖς σαρκώδεσι μορίοις πιμελήν· τῆς θερμότητος δὲ ἴδιον καὶ τὸ
εὔψυκτον διὰ ἀραιότητα, καθάπερ καὶ τοῖς εὐρείας ἔχουσι τὰς φλέ-
βας ἔνεστι καὶ χωρὶς βλάβης μακρὰς ἀσιτίας φέρειν, ἅτε δὴ πο-
4 λυαίμοις ὑπάρχουσιν. Ψυχροτέρας δὲ κράσεως σημεῖα τὸ ψυχρόν

6. MOYENS DE RECONNAÎTRE LES CORPS MAL TEMPÉRÉS.

1 Tous les corps dont la chaleur, mais non pas l'humidité ou la séche-
resse, dépasse la moyenne, pousseront les dents plus vite que les autres
2 et croîtront avec la même rapidité. Ils se montreront aussi d'autant plus
chauds au toucher et auront d'autant moins de graisse, que leur tem-
pérament dépasse davantage la moyenne; ils auront un teint d'un rouge
vif et des cheveux noirs; ils seront modérément velus et auront les veines
amples; il est donc naturel que l'ampleur des veines marche de pair avec
3 la maigreur. Si un individu est à la fois gras, gros et pourvu de veines
larges, ce n'est pas par nature, mais par son régime habituel qu'il est
devenu gras; en effet, un régime exempt de fatigues peut, parfois,
recouvrir de graisse les parties charnues; c'est aussi quelque chose de
propre au tempérament chaud de se refroidir facilement à cause de la
porosité, et cela par un effet analogue à celui en vertu duquel les indi-
vidus à veines amples peuvent, sans inconvénient, supporter une absti-
4 nence prolongée, puisqu'ils ont beaucoup de sang. Les signes d'un

Ch. 6; l. 2. θάττοντας F. — 6. ἐς F. ἀραιότηταν F et sic sæpius. — 12. ἔνεστι — Ib. τ' αὐτόν F et sic sæpius. — 11. δὲ καί F.

τε ἁπτομένοις, τὸ ἄτριχον, τὸ πιμελῶδες· ἡ χρόα δὲ τοῖς τοιού-
τοις ἅμα ταῖς θριξὶ λευκοτέρα· πολλῆς δὲ τῆς ψύξεως οὔσης πε-
λιδνή πως ἐστι καὶ μολιβδόχρους. Καὶ στενὰς δὲ ἔχουσιν οἱ τοιοῦτοι 5
τὰς φλέβας, ὅθεν ὡς τὸ πολὺ συντρέχει παχύτης στενότητι τῶν
φλεβῶν· εἰ δέ τις στενὰς μὲν ἔχει τὰς φλέβας, ἰσχνὸς δὲ ὑπάρχει,
οὐδὲ οὗτος ἐξ ἀνάγκης τοιοῦτος, ἀλλὰ διὰ ἔθος ἐγένετο. Δῆλον δέ· 6
ὅσοι στενὰς ἔχουσι τὰς φλέβας ὀλιγόαιμοί τέ εἰσι καὶ μακρὰς
ἀσιτίας οὐ φέρουσιν. Εἰσὶ δέ τινες ἰσχνοὶ καὶ φλέβας ἔχοντες 7
μικράς, ἀλλὰ εἰ τέμοις ἐξ αὐτῶν ἡντινοῦν, προπίπτει πιμελή, δῆ-
λον ὡς ὑποπεφυκυῖα τῷ δέρματι κατὰ τὸν ἔνδον ὑμένα. Σπάνιον 8
μὲν οὖν ἐπὶ ἀνδρῶν τὸ τοιοῦτον, ἐπὶ γυναικῶν δὲ καὶ πάνυ πολλάκις
εὑρισκόμενον· ἔστι γὰρ φύσεως ψυχροτέρας καὶ ἀργοτέρου βίου
γνώρισμα τὸ τοιοῦτον. Ἔτι μὴν τῆς ψυχρᾶς κράσεώς ἐστι καὶ τὸ 9
μὴ ῥᾳδίως ἐμψύχεσθαι διὰ πυκνότητα. Ἡ δὲ ξηρὰ σκληροτέρα τέ 10

tempérament froid sont le froid qu'on sent au toucher, l'absence de
poils, l'excès de graisse; le teint des sujets doués d'un pareil tempé-
rament est, ainsi que les poils, blanchâtre, et, si le froid [du tempé-
rament] est intense, ce teint est, en quelque sorte, livide et plombé.
Ces sujets ont aussi les veines étroites, raison pour laquelle l'embonpoint 5
et l'étroitesse des veines marchent ordinairement de pair; si cependant
quelqu'un a les veines étroites, tout en étant maigre, ce n'est pas non
plus par nécessité, mais par son régime habituel qu'il l'est devenu. La 6
preuve en est que les gens à veines étroites ont peu de sang et ne sup-
portent pas l'abstinence prolongée. Il y a certains individus qui sont 7
maigres, quoiqu'ils aient de petites veines, mais, quand, chez eux, on
incise une veine quelconque, il sort de la graisse qui a évidemment
poussé en dessous de la peau du côté interne de la membrane. Cet ac- 8
cident est rare chez les hommes; mais on le rencontre très-fréquem-
ment chez les femmes, car c'est le signe d'un tempérament froid et
d'une vie oisive. Se refroidir difficilement pour cause de densité est en- 9
core le signe d'un tempérament froid. Le [corps des gens doués d'un] 10

2. πυῤῥοτέρα Gal., *Syn.*, Aët., Paul. — 3. ἐστι] εὖ F. — Ib. οἱ om. F. — 6. ἐξ ἀνάγκης φύσει τοιοῦτος Gal. — 7. οἱ μὲν γὰρ στενὰς ἔχοντες Gal.

ἐστι καὶ ἰσχνοτέρα τῆς εὐκράτου καὶ δασεῖα τοσοῦτον ὅσον περ
11 ἂν ᾖ ξηροτέρα· τὰ δὲ ἄλλα πάντα παραπλήσιος. Ἡ μὲν οὖν σκλη-
ρότης ἀχώριστός ἐστι τελέως τῆς ξηρᾶς κράσεως, ἡ λεπτότης δὲ οὐ
μόνον ταῖς συμφύτοις ἕπεται κράσεσιν, ἀλλὰ καὶ ταῖς ἐπικτήτοις,
ἐξ ἔθους μακροῦ γενομένη, ὅταν διὰ φροντίδας καὶ ταλαιπωρίας
12 καὶ δίαιταν λεπτὴν καταξηρανθῶσί τινες. Σημεῖον δέ ἐστι ξηρότη-
τος καὶ τὸ δυσκίνητον καὶ ξηρὸν καὶ αὐχμηρὸν ὑπὸ τῶν ξηραινόν-
13 των γίνεσθαι τὸ σῶμα. Καὶ ἡ ὑγρὰ δὲ τὰ μὲν ἄλλα παραπλήσιός
14 ἐστι τῇ εὐκράτῳ, μαλακωτέρα δὲ καὶ πολυσαρκοτέρα. Καὶ ταύτης
ἀχώριστός ἐστιν ἡ μαλακότης ὥσπερ γε καὶ ἡ παχύτης, οὐ τῇ συμ-
φύτῳ μόνον ἑπομένη κράσει, ἀλλὰ κἂν ἐξ ἔθους μακροῦ τινος λάβῃ
15 τὴν σύστασιν ἐξ ἀργίας καὶ ἁβροτέρας διαίτης. Ἴδιον δέ ἐστιν ὑγρό-
16 τητος καὶ τὸ βαρύνεσθαι τὸ σῶμα ὑπὸ τῶν ὑγραινόντων. Ἡ δὲ θερμὴ

tempérament sec est plus dur et plus maigre que celui des gens doués d'un tempérament modéré, et il est également velu, le tout en proportion du degré de sa sécheresse; sous tous les autres rapports, le tem-
11 pérament sec ressemble au tempérament modéré. La dureté est complétement inséparable du tempérament sec; mais la maigreur n'est pas seulement une conséquence des tempéraments innés; elle l'est aussi des tempéraments acquis, puisqu'elle se produit par suite d'une habitude de vie longtemps prolongée, certains individus étant desséchés par des sou-
12 cis, des fatigues, ou un régime ténu. C'est encore un signe de sécheresse, lorsque, sous l'influence des desséchants, le corps devient sec, aride,
13 et éprouve de la difficulté à se mouvoir. Le tempérament humide ressemble aussi, sous tous les rapports, au tempérament modéré; seulement il rend les sujets plus humides et leur donne plutôt une masse
14 de chair. C'est encore une suite inévitable du tempérament humide que la mollesse; il en est de même pour l'embonpoint; seulement, celui-ci n'accompagne pas uniquement le tempérament inné, mais se rencontre aussi lorsque, en raison d'une longue habitude, on a pris cette confor-
15 mation par suite d'oisiveté, ou d'un régime trop délicat. C'est encore quelque chose de propre à l'humidité que le corps s'alourdisse sous
16 l'influence des humectants. Le tempérament sec et chaud rend extrê-

3. ἡ δὲ ἰσχνότης *Syn.*, Aët. — 9. ἔστω F. — Ib. εὐσαρκοτέρα Gal.

*καὶ ξηρὰ δασεῖα μὲν ἐσχάτως ἐσΊὶ, τὰς δὲ τῆς κεφαλῆς τρίχας
εὐαυξεσΊάτας τε καὶ μελαίνας καὶ πολλὰς ἔχει κατὰ τὴν νέαν ἡλι-
κίαν, ἐπὶ δὲ προήκοντι τῷ χρόνῳ φαλάκρωσις ἐπακολουθεῖ.* Καὶ *αἱ* 17
*φλέβες δὲ εὐρεῖαι τυγχάνουσιν, ὥσπερ δὴ καὶ αἱ ἀρτηρίαι μεγάλαι
τέ εἰσιν ἅμα καὶ σφοδρότατα σφύζουσιν.* Καὶ *δὴ καὶ σύντονον καὶ* 18
*διηρθρωμένον καὶ μυῶδες καὶ ἀπίμελον ὅλον ἐσΊὶ τὸ σῶμα, καὶ τὸ
δέρμα σκληρόν τε καὶ μελάντερον.* Μεταπεσούσης *δὲ τῆς θερμῆς* 19
*καὶ ξηρᾶς κράσεως ἐν τῷ χρόνῳ τῆς παρακμῆς εἰς τὴν ψυχράν τε
καὶ ξηρὰν, ἡ ἕξις τῶν τοιούτων ἰσχνὴ μὲν ὡσαύτως καὶ σκληρὰ,
μελαγχολικὴ δέ ἐσΊι, καὶ διὰ τοῦτο μέλαινά τε ἅμα καὶ δασεῖα.*
Κρατούσης *δὲ τῆς ἑτέρας τῶν ποιοτήτων παρὰ πολὺ, τῆς δὲ ἑτέ-* 20
*ρας ὀλίγον τι τοῦ συμμέτρου παραλλατΊούσης, ἐπικρατήσει μὲν
τὰ τῆς κρατούσης, ἀμυδρὰ δὲ ἔσΊαι τὰ τῆς ἑτέρας γνωρίσματα.* Ψυ- 21
*χρᾶς δὲ οὔσης καὶ ὑγρᾶς ὁ μὲν θώραξ σΊενὸς καὶ ἄτριχος ἔσΊαι,
καθάπερ οὖν καὶ πᾶν τὸ σῶμα ψιλὸν τριχῶν, ἁπαλόν τε καὶ λευ-
κὸν τὸ δέρμα καὶ ὑπόπυῤῥον ταῖς θριξὶ, καὶ μάλισΊα ἐν νεότητι,*

mement velu; il donne, pendant la jeunesse, des cheveux noirs, nom-
breux et qui croissent très-rapidement, mais auxquels succède, par les
progrès de l'âge, la calvitie. Dans ce tempérament, les veines sont 17
amples et les artères grandes; ces dernières battent très-fortement. Le 18
corps est robuste, bien articulé, musculeux et dépourvu de graisse; la
peau est dure et noirâtre. Quand, vers l'âge de retour, le tempérament 19
sec et chaud se change en tempérament sec et froid, l'habitude exté-
rieure du corps des gens dont il s'agit reste de même maigre et dure,
mais elle est imprégnée de bile noire, et, par conséquent, à la fois
noire et velue. Si l'une des deux qualités prédomine fortement, tandis 20
que l'autre ne s'écarte que peu de la moyenne, les signes de la qualité
prédominante auront le dessus, et ceux de l'autre seront faibles. Dans 21
le tempérament froid et humide, la poitrine sera étroite et glabre; de
même tout le corps sera dépourvu de poils, la peau sera délicate et
blanche; les cheveux seront blonds clairs, surtout durant la jeunesse; en

2. *πολλάς*] *οὔλας* Gal. — 3. *αἱ* om. F; item l. 4. — 5. *μέγισΊον καὶ σφοδρότατον σφύζουσαι* Gal. — 6. *ἔσΊαι* Gal. — 7. *σκληρότερόν* Gal.; *Syn.*, Aët., — 9. *μὲν ὡσαύτως* om. Gal. — 13. *ἐσΊι* F.

22 καὶ οὐ φαλακροῦνται γηρῶντες. Εὐθὺς δὲ καὶ δειλοὶ καὶ ἄτολμοι
καὶ ὀκνηροὶ καὶ ἀδήλους ἔχοντες τὰς φλέβας καὶ παχεῖς καὶ πι-
μελώδεις, καὶ νεύροις καὶ μυσὶν ἄῤῥωστοι καὶ ἀδιάρθρωτοι καὶ
23 βλαισοὶ γίνονται. Τῆς ψυχρότητος δὲ καὶ τῆς ὑγρότητος ἐπὶ πλέον
αὐξηθείσης, τὰ μὲν ἄλλα κατὰ ἀναλογίαν ἔσται τῆς τῶν ποιοτήτων
αὐξήσεως, ἡ χρόα δὲ ἅμα ταῖς θριξὶ πυῤῥὰ, καθάπερ κἂν ἐπὶ
24 πλεῖστον αὐξηθῶσιν ἄμφω, πελιδνή. Εἰ δὲ ἄνισος ἡ αὔξησις εἴη
25 τῶν ποιοτήτων, ἐπικρατήσει τὰ τῆς μᾶλλον ηὐξημένης ἴδια. Ἡ δὲ
θερμὴ καὶ ὑγρὰ κρᾶσις μαλακωτέρα καὶ πολυσαρκοτέρα τῆς ἀρί-
στης κράσεως εἰς τοσοῦτόν ἐστιν εἰς ὅσον ἀμφοτέραις ηὐξήθη ταῖς
26 ποιότησιν. Ἐπὶ πλεῖστον δὲ αὐξηθεῖσα τοῖς σηπεδονώδεσιν ἑτοίμως
27 ἁλίσκεται νοσήμασιν, ὅτι κακόχυμος ἑτοίμως γίνεται. Εἰ δὲ ὀλίγῳ
μὲν ὑγροτέρα, πάμπολυ δὲ εἴη θερμοτέρα, μαλακώτεροι μὲν ὀλίγῳ

22 vieillissant, on ne deviendra pas chauve. Nécessairement aussi, ces indi-
vidus sont lâches, peureux et paresseux; ils ont les veines peu appa-
rentes; ils sont gros et gras; leurs nerfs et leurs muscles sont faibles,
leurs articulations mal développées, et leurs jambes se tournent en de-
23 dans. Quand le froid et l'humidité ont beaucoup augmenté, les autres
signes sont en raison de l'excès de ces qualités; mais le teint devient
roux ainsi que les cheveux; il acquiert une couleur livide, quand l'exagé-
24 ration des deux qualités est extrêmement forte. Si les deux qualités n'ont
pas augmenté au même degré, les signes de la qualité dont l'augmenta-
25 tion est la plus forte prédomineront. Le tempérament chaud et humide
produit une mollesse et un embonpoint dont le degré dépassse d'autant
plus les états analogues propres au meilleur tempérament, que les deux
26 qualités dont il s'agit ont subi une augmentation plus forte. Si ce tem-
pérament est très-fortement exagéré, on devient sujet à être attaqué de
maladies putrides, parce qu'il se forme facilement des humeurs mau-
27 vaises. Si l'excès d'humidité est peu considérable, tandis que celui de
la chaleur l'est beaucoup, le corps est un peu plus mou et un peu plus

2. ὀκν. καὶ μικρὰς καὶ ἀδήλους Gal. — Ib. καὶ παχεῖς om. Gal. — 3. μηροῖς *Synops.*, Aët., Paul. — Ib. ἀῤῥ.] ἀδιόριστοι Paul.; ἀόρατοι, ἀόριστοι δέ *Synops.* — 9. εὐσαρκοτέρα καὶ θερμοτέρα τῆς Gal. — 13. δὲ εἴη] δεῖ F.

τῶν συμμέτρων οἱ τοιοῦτοι καὶ σαρκωδέσΊεροι, λασιώτεροι δὲ οὐκ
ὀλίγῳ, καὶ μὲν δὴ καὶ ἁπΊομένοις οὐκ ὀλίγῳ θερμότεροι. Εἰ *δὲ τὸ* 28
ψυχρὸν ἅμα τῷ ξηρῷ κατὰ ἴσον αὐξηθείη, φύσει σκληρὸν καὶ ἰσχνὸν
ἕξουσι τὸ σῶμα καὶ λευκὸν, ἄμυόν τε καὶ ἄναρθρον, ἁπΊομένοις τε
ψυχρόν· ἡ πιμελὴ δὲ ὅμως αὐτοῖς, καίτοι γε ἰσχνοῖς οὖσι, παρέ-
σπαρται τῇ σαρκί· τὰ δὲ τῶν τριχῶν τῆς χρόας ἀνάλογον τῷ μέτρῳ
τῆς ψυχρότητος· τὸ δὲ τῆς ψυχῆς ἦθος ἄτολμον καὶ δειλὸν καὶ δύσ-
θυμον, συλλήβδην δὲ εἰπεῖν, ἐπὶ τῶν κατὰ συζυγίαν κράσεων ἀεὶ
τῆς ἐπικρατούσης ποιότητος ἐπικρατήσει τὰ γνωρίσματα. Γ*ινώσκειν* 29
δὲ προσῆκεν ὅτι πολλάκις τὰ παρόντα γνωρίσματα τῆς ἔμπροσθεν
κράσεώς ἐσΊιν, οὐ τῆς νῦν ὑπαρχούσης τῷ σώματι· φέρε γὰρ, εἴ τις
ἐτῶν γεγονὼς ἑξήκοντα, δασὺς ἱκανῶς εἴη, μὴ ὅτι νῦν ἐσΊι ξηρὸς καὶ
θερμὸς, δασὺν αὐτὸν οἰόμεθα ὑπάρχειν, ἀλλὰ ὅτι πρότερον μὲν
ἐγένετο τοιοῦτος, ὑπομένουσι δὲ αἱ τότε γεννηθεῖσαι τρίχες. Ἀ*λλὰ* 30

charnu que celui des individus doués d'un tempérament moyen; mais
il sera beaucoup plus velu et plus chaud au toucher. Si le froid et la 28
sécheresse ont simultanément augmenté au même degré, on aura le
corps naturellement dur, maigre et blanc, les articulations et les mus-
cles peu apparents, et on sera froid au toucher; quoique les individus
dont il s'agit soient maigres, ils ont cependant de la graisse disséminée
dans la chair; la couleur de leurs cheveux sera en raison du degré de
froid de leur tempérament; leur caractère sera lâche, peureux et triste,
et, pour le dire en un mot, dans les tempéraments par combinaison,
les signes de la qualité prédominante auront toujours le dessus. Il faut 29
savoir que les signes actuellement existants appartiennent souvent au
tempérament d'une époque antécédente, et non pas à celui qui règne
présentement dans le corps; si nous supposons, par exemple, qu'un in-
dividu âgé de soixante ans soit fortement velu, nous n'admettons pas
qu'il l'est parce qu'il est actuellement sec et chaud, mais parce qu'il
l'était autrefois, et que les poils qui ont poussé alors sont restés. Tou- 30

2. *καὶ μὲν δὴ..... ὀλίγῳ* om. F. — 4. *λευκόν*] *ἄτριχον* Gal. — Ib. *ἄμυον* *Synops.*, Aët., Paul.; *ἄβιον* F 1ª m.; *ἄβυον* 2ª m.; om. Gal. — Ib. *τε καὶ ἄναρθρον καὶ ἄτριχον* *Syn.*, Aët., Paul.; om. Gal. — 5. *αὐτοῖς γέ τοι ἰσχνοῖς* F. — 6. *καὶ τῆς χροιᾶς* Gal.; *καὶ τῆς χροιᾶς τοῦ σώματος* Aët. — 12. *ἔτη γεγ. ἑξηκοσΊόν* F. — 13. *δασὺν...... ὑπάρχειν* om. Gal. — 14. *γεννηθ.* F.

οὐδὲ ἐκ τῆς φύσεως τῶν περιττωμάτων ἀδιορίστως ὑπὲρ τῶν κρά-
σεων ἀποφαίνεσθαι προσῆκεν· ἀθροίζεσθαι μὲν γὰρ ἐγχωρεῖ πε-
ρίττωμα φλεγματῶδες, ὑγρὸν δὲ τὸ μόριον οὐκ εἶναι, ἀλλὰ ψυ-
χρὸν μὲν ἐξ ἀνάγκης, ὑγρὸν δὲ οὐκ ἐξ ἀνάγκης· ἐκ γὰρ τῶν σιτίων,
οὐκ ἐξ αὐτοῦ τοῦ σώματος ἡμῶν γίνεται τὸ φλέγμα, τὴν φύσιν
ὑπαρχόντων ὑγρῶν, εἰ τύχοι, καὶ μὴ κρατηθέντων ὑπὸ τοῦ σώμα-
31 τος. Οὕτω γοῦν εἰ μέν τις ἐξ ἀρχῆς ἐγένετο ψυχρός τε καὶ ξηρὸς,
οὐ μελαγχολικὸς ὁ τοιοῦτος, ἀλλὰ φλεγματικός ἐστι τοῖς περιττώ-
μασιν· εἰ δὲ ξηρὸς ὢν καὶ θερμὸς, ἐκ μεταπτώσεως ἐγένετο ψυχρὸς
καὶ ξηρὸς, συγκαυθέντος τοῦ αἵματος, ἐξ ἀνάγκης ὁ τοιοῦτος εὐθὺς
32 ἤδη καὶ μελαγχολικός ἐστιν. Ἐπιβλέπειν δὲ καὶ εἰ ὡσαύτως ἀλλήλοις
ἅπαντες οἱ μύες, ἢ οὐχ ὡσαύτως κέκρανται, συνεπισκοπούμενον ἐν
33 ἅπασι τὴν πηλικότητα τῶν ὑποβεβλημένων ὀστῶν. Ἐνίοτε γοῦν
ἰσχνότερον εἶναι δοκεῖ τὸ μέρος, οὐκ ὂν ἰσχνότερον, ὅσον τοῖς μυσὶν,
34 ἀλλὰ διὰ τὴν στενότητα τῶν ὀστῶν τοιοῦτο φανταζόμενον. Οὕτω δὲ

tefois, il ne faut pas non plus se prononcer sans distinction sur les tempé-
raments d'après la nature des résidus; il est possible, en effet, qu'il y ait
accumulation de résidus flegmatiques, quoique la partie elle-même ne
soit pas humide; dans ce cas, elle est nécessairement froide, mais non pas
nécessairement humide, car le flegme ne provient pas de notre corps
même, mais des aliments, et il peut arriver, par exemple, que ces ali-
ments sont naturellement humides et que le corps n'en a pas triomphé.
31 Si donc un individu est primitivement froid et sec, il ne sera pas atrabi-
laire, mais flegmatique, quant aux résidus; si, au contraire, étant chaud
et sec, il est devenu froid et sec par transformation de tempérament, at-
tendu que le sang est brûlé, de toute nécessité cet individu sera dès lors
32 inévitablement atrabilaire. Il faut aussi faire attention aux muscles, et
rechercher, quand on les compare entre eux, s'ils ont, ou non, tous le
même tempérament, en remarquant en même temps quelle est pour tous
33 la condition des os sousjacents. Quelquefois, en effet, une partie semble
être assez maigre, quoiqu'elle ne le soit pas véritablement, du moins en
ce qui tient aux muscles; mais elle se présente seulement ainsi à cause
34 du peu de volume des os. De même une partie semble souvent assez

3. ὑγρὸν δὲ καὶ τὸ μόριον F. — 9. ξηρὸς ὢν καὶ θερμός om. Gal.

*καὶ παχύτερον εἶναι δοκεῖ πολλάκις, οὐ διὰ τὴν εὐρύτητα τῶν ὀσΊῶν,
ἀλλὰ διὰ τὸ τῆς σαρκὸς πλῆθος, ἥ τις αὐξανομένη τε καὶ μειου-
μένη, σκληροτέρα τε καὶ μαλακωτέρα γινομένη, ξηρότερον ἢ ὑγρό-
τερον ἀποφαίνει τὸ μόριον, ἡ μὲν ὀλίγη τε καὶ σκληρὰ ξηρότερον,
ἡ πολλὴ δὲ καὶ μαλακὴ ὑγρότερον. Οὕτω δὲ καὶ αἱ μεταξὺ χῶραι* 35
*τῶν ὁμοιομερῶν σωμάτων ἤτοι πλέον ὑγρὸν, ἢ ἐλάχισΊον ἐν ἑαυ-
ταῖς περιέχουσαι, ἤτοι παχύτερον, ἢ ὑγρότερον, ἢ λεπΊότερον, ἢ
ξηρότερον ἀποφαίνουσι τὸ μόριον, ὑγρὸν μὲν ἔνθα λεπΊοτέρα τε καὶ
πλέων ἐσΊὶν ἡ ὑγρότης, ξηρὸν δὲ ὅπου παχυτέρα τε καὶ ἐλάτΊων.
Χρὴ δὲ μηδὲ τοῦτο ἁπλῶς ὑπολαμβάνειν, ὡς εἴ τίς ἐσΊι φαλακρὸς,* 36
*εὐθὺς τοῦτον ἀναγκαῖον ξηρὰν ἔχειν ἅπαντος τοῦ σώματος τὴν κρᾶ-
σιν, ἀλλὰ διορίζεσθαι πρότερον ἄμεινον, ὡς τῶν ἀνθρώπων τὸ σῶμα
τῶν μὲν ὁμαλῶς κέκραται σύμπαν, ἐνίων δὲ, καὶ οὐκ ὀλίγων τού-
των, ἀνωμάλως διάκειται· τὰ μὲν γάρ τινα τῶν μορίων ὑγρότερα*

épaisse, non à cause du volume des os, mais par suite de l'abondance
des chairs, lesquelles, en augmentant ou en diminuant, en durcissant ou
en se ramollissant, augmentent la sécheresse ou l'humidité de la partie;
si elles sont peu abondantes et dures, elles dessèchent la partie, tandis
qu'elles la rendent humide, si elles sont abondantes et molles. De même 35
encore les interstices des parties similaires peuvent contenir ou beaucoup
ou très-peu d'humidité dans leur intérieur, et, de cette façon, ils peu-
vent augmenter soit l'épaisseur ou l'humidité, soit la maigreur ou la
sécheresse de la partie; ils rendent la partie humide quand l'humidité
est plutôt ténue et abondante, et sèche, au contraire, quand elle est
plutôt épaisse et en petite quantité. Il ne faut pas non plus admettre 36
tout simplement comme une conséquence indispensable que, lorsqu'un
individu est chauve, il ait nécessairement un tempérament sec dans tout
le corps, mais il vaut mieux faire d'abord cette distinction, que, chez
certains hommes, tout le corps a un tempérament égal, tandis que, chez
d'autres, et ces gens-là sont assez nombreux, il est dans une situation
inégale; dans ce cas, en effet, certaines parties sont plus humides qu'il

1. *καί* om. F. — 3. *γενομένη* Gal. — 4. *ἀποφ. τ. μ.*] *ἡ πολλὴ δὲ καὶ μαλακή* F. — Ib. *μὲν οὖν* Gal. — Ib. *τὸ ξηρότερον* Gal.; *ξηρότερον ἢ ὑγρότερον* F. — 5. *τὸ ὑγρότερον* Gal.; *ἡ μὲν ὀλίγη τε καὶ σκληρὰ ξηρότερον* F. — 6. *καὶ ἐλάχισΊον* F; *ἢ ἔλατΊον* Gal. — 6-7. *ἢ ἐν ἑαυτοῖς* F; om. Gal. — 8. *ξηρόν* F.

τοῦ προσήκοντός ἐστι, τὰ δὲ ψυχρότερα, τὰ δὲ ξηρότερα, τὰ δὲ
37 θερμότερα, τὰ δὲ καὶ εὔκρατα παντελῶς. Τὸ μὲν οὖν ὁμαλὸν, εὔ-
ρυθμον, ἁπάσας τε τῶν μορίων ἀποσῶζον τὰς πρὸς ἄλληλα συμμε-
τρίας ἐν μήκει καὶ πλάτει καὶ βάθει δυνατὸν ὅλον ὁμοίως κεκρᾶσθαι,
τὸ δὲ θώρακα μὲν ἔχον καὶ τράχηλον καὶ ὤμους μεγίστους, ἰσχνὰ
δὲ καὶ μικρὰ τὰ κατὰ ὀσφὺν, καὶ σκέλη ξηρὰ, ἢ τούτων τὸ ἀνάπα-
38 λιν, πῶς ἂν ὁμοίως τοῖς μορίοις εἴη διακείμενον ἅπασιν; Οὔκουν
ἐπὶ τῶν τοιούτων ἐξ ἑνὸς χρὴ μορίου τεκμαίρεσθαι περὶ τοῦ παν-
τός· προσεπισκέπτεσθαι δὲ δεῖ καὶ τὰς διαθέσεις τοῦ δέρματος·
κατὰ μὲν γὰρ τὴν εὔκρατον οἴκησιν ἐνδείκνυται τῶν ὑποκειμένων
μορίων τὴν φύσιν, οὐδὲ ταύτην πάντων ἁπλῶς, ἀλλὰ ὅσα ταῖς κρά-
σεσιν ὡσαύτως ἔχει τῷ δέρματι· κατὰ δὲ τὰς ὑπὸ ταῖς ἄρκτοις καὶ
τῇ μεσημβρίᾳ χώρας ἐκ τῆς κατὰ τὸ δέρμα διαθέσεως οὐχ οἷόν τε
γνῶναι σαφῶς ὑπὲρ τῆς τῶν ἐντὸς μορίων κράσεως· ἀνώμαλος γὰρ

ne faut, d'autres, au contraire, sont plus froides, ou plus sèches, ou
plus chaudes, quelques-unes enfin sont complétement bien tempérées.
37 Si donc un corps est égal et bien proportionné, s'il conserve dans un
état moyen toutes les relations de longueur, de largeur et de profon-
deur, qui existent entre les parties, l'ensemble de ce corps peut avoir
un tempérament égal; mais comment le corps pourrait-il offrir la même
condition dans toutes ses parties, quand la poitrine, les épaules et le
cou sont volumineux, tandis que la région des lombes est chétive et
maigre, et que les jambes sont desséchées, ou quand c'est tout le con-
38 traire qui a lieu? Chez ces gens-là, il ne faut donc pas faire des conjec-
tures sur l'ensemble du corps, en se guidant d'après une seule partie;
mais il faut, de plus, faire attention à la condition de la peau; car, dans
les climats tempérés, cette membrane indique la nature des parties
sousjacentes; cette indication, cependant, ne s'étend pas indistincte-
ment à toutes les parties, mais seulement à celles qui ont le même
tempérament que la peau; dans les contrées voisines des Ourses ou du
midi, il n'est pas possible que la condition de la peau nous donne des
renseignements clairs sur le tempérament des parties intérieures; car,

2. ὁμαλῶς Gal. — 6. δὲ μικρά F. — Ib. λεπτὰ καὶ ξηρά Gal. — 6-7. ἢ τούτ. τὸ ἀνάπ. om. Gal. — 7. Οὐκ οὖν F. — 8. ἀποφαίνεσθαι Gal. — 13. τῇ om. F.

ἡ τοῦ σώματος ἕξις ἐν ταῖς δυσκράτοις χώραις. Κελτοῖς μὲν γὰρ 39
καὶ Γερμανοῖς καὶ παντὶ τῷ Θρᾳκίῳ τε καὶ Σκυθικῷ γένει ψυχρὸν
καὶ ὑγρὸν τὸ δέρμα, τὸ δὲ ἔμφυτον θερμὸν εἰς τὰ σπλάγχνα κατα-
πέφευγεν ἅμα τῷ αἵματι, κἀνταῦθα κυκωμένου καὶ σΊενοχωρουμένου
καὶ ζέοντος αὐτοῦ, θυμικοὶ καὶ ὀξεῖς καὶ ὀξύῤῥοποι ταῖς γνώμαις
ἀποτελοῦνται· Αἰθίοψι δὲ καὶ Ἄραψι, καὶ ὅλως τοῖς κατὰ μεσημ-
βρίαν, ἡ μὲν τοῦ δέρματος φύσις ξηρὰ καὶ διακεκαυμένη, τὸ δὲ ὅλον
σῶμα τῆς μὲν ἐμφύτου θερμότητος ἥκισΊα μετέχει, θερμὸν δέ ἐσΊιν
ἀλλοτρίῳ τε καὶ ἐπικτήτῳ θερμῷ· καὶ γὰρ καὶ τούτῳ προσέχειν
δεῖ τὸν νοῦν, εἴπερ τινὶ καὶ ἄλλῳ, καὶ σκοπεῖσθαι κατὰ ἕκασΊον
σῶμα, πότερον οἰκείῳ θερμῷ θερμόν ἐσΊιν, ἢ ἐπικτήτῳ. Πάντα 40
γοῦν τὰ τῶν ἐνοικούντων τὴν μεσημβρινὴν χώραν σώματα θερμὰ
μὲν ἐπικτήτῳ θερμῷ, ψυχρὰ δὲ οἰκείῳ. Ταῦτα οὖν ἅπαντα διορί- 41
ζεσθαι χρὴ τὸν μέλλοντα καλῶς διαγνώσεσθαι κρᾶσιν· οὐ γὰρ
ἁπλῶς, εἰ τὸ δέρμα μελάντερον, ἤδη θερμότερος ὁ ἄνθρωπος ὅλος,

dans les pays mal tempérés, l'habitude du corps est dans une situation
inégale. En effet, chez les Celtes, les Germains et toute la race des 39
Thraces et des Scythes, la peau est froide et humide, et la chaleur in-
née se réfugie conjointement avec le sang vers les viscères; or, comme,
dans la profondeur du corps, le sang est mélangé, resserré, et entre en
ébullition, les peuples dont il s'agit deviennent colères, impétueux et
prompts à changer d'opinion; chez les Éthiopiens, les Arabes, au contraire,
et, en général, chez les peuples méridionaux, la peau est le plus ordinai-
rement sèche et brûlée, et l'ensemble du corps participe très-peu à la
chaleur innée, tandis qu'il est échauffé par une chaleur étrangère et ac-
quise : en effet, c'est une question à laquelle il faut faire attention plus
qu'à toute autre et qu'on ne doit perdre de vue pour aucun individu,
que de savoir s'il est chaud par l'effet de sa chaleur propre, ou par celui
d'une chaleur acquise. Ainsi les corps de tous les habitants des pays 40
méridionaux sont chauds par rapport à la chaleur acquise, mais froids
sous le rapport de la chaleur innée. Celui donc qui veut bien recon- 41
naître les tempéraments, doit faire toutes ces distinctions, car, si la peau
est noirâtre, il n'en résulte pas simplement que tout l'individu a une

1. κρᾶσις Gal. — 4. κεκομένου F. — 5. ὀξεῖς] θρασεῖς Gal.

ἀλλὰ εἰ πάντων τῶν ἄλλων ὡσαύτως ἐχόντων· καὶ γὰρ εἰ ὁ μέν τις ἐν ἡλίῳ θερμῷ διέτριψεν ἐπιπλέον, ὁ δὲ ἐν σκιᾷ, τῷ μὲν ἔσται μελάντερον τὸ χρῶμα, τῷ δὲ λευκότερον· οὐδὲν δὲ τοῦτο πρὸς τὴν τῆς ἄλλης κράσεως ὑπάλλαξιν· αὐτὸ μὲν γὰρ τὸ δέρμα ξηρότερον ἡλιούμενον, ὑγρότερον δὲ ἔσται σκιατραφούμενον, ἡ φυσικὴ δὲ οὐκ εὐθὺς ὑπαλλαχθήσεται κρᾶσις οὔτε ἥπατος, οὔτε καρδίας, οὔτε τῶν
42 ἄλλων σπλάγχνων οὐδενός. Ἄριστον οὖν ἑκάστου τῶν μορίων ἴδια πεπορίσθαι τῆς κράσεως καὶ τῆς κατασκευῆς γνωρίσματα.

ζʹ. Περὶ κατασκευῆς σωμάτων. Ἐκ τῶν Μνησιθέου.

1 Κατανοῆσαι δεῖ τὰς συμμετρίας τῶν σωμάτων· διὰ γὰρ τούτων πρὸς ποῖα εὐφυῶς, ἢ τοὐναντίον, διακείμενοι τύγχανομεν, εἰδέναι
2 δυνατόν. Πειρασόμεθα οὖν τὰ μέγιστα καὶ κυριώτατα διελθεῖν· ἐκ
3 γὰρ τούτων καὶ τὰ λοιπὰ ῥᾳδίως ἔσται συνιδεῖν. Βουλόμενος δὴ

chaleur plus forte que la moyenne, mais seulement quand toutes les autres conditions restent les mêmes : en effet, si tel individu a longtemps séjourné sous un soleil brûlant, et tel autre à l'ombre, le teint du premier sera noirâtre, et celui du second blanchâtre; mais cela ne fait rien à la transformation du reste du tempérament, car la peau elle-même se desséchera quand on l'exposera au soleil, et deviendra plus humide quand on la tiendra à l'abri; mais ni le tempérament naturel du foie, ni celui du cœur, ni celui d'aucun autre viscère, ne subira
42 immédiatement de changement pour cela. Le mieux donc, c'est de se procurer des indices spéciaux pour reconnaître le tempérament et la structure de chaque partie.

7. DE LA STRUCTURE DU CORPS. — TIRÉ DE MNÉSITHÉE.

1 Il faut faire attention aux dimensions du corps; car, à l'aide de ces dimensions, nous pourrons savoir quelles influences nous sont favo-
2 rables, ou défavorables. Nous essayerons donc de parcourir les points les plus considérables et les plus importants de ce sujet, puisque, par leur
3 intermédiaire, on pourra facilement saisir aussi les autres. Par exemple,

1. ἀεὶ πάντων F. — 3. δέρμα Gal. — 4. ὅλης Gal. — 5. ἡλ. ὑγρ. δέ om. F. — 6. οὐδὲ καρδ. F. — Ch. 7; l. 11. γοῦν F[a].

θεωρεῖν, εὑρήσεις ταῖς τοῦ σλήθους διαφοραῖς ἀκολούθως ἔχοντας
ἡμῖν καὶ τοὺς πνεύμονας· ὡς γὰρ ἐπὶ πολὺ, τοὺς ἐξεσληκότας τὰ σλήθη
καὶ τοὺς ὤμους ἀνεσπασμένους μάλισλα ἔσλιν ἰδεῖν τοῖς περὶ τὸν
πνεύμονα νοσήμασιν ἁλισκομένους διὰ τὸ μέγεθος καὶ τὴν ἄμετρον
αὐτοῦ κοιλότητα καὶ μάνωσιν. Τὸν αὐτὸν δὴ τρόπον καὶ ὅσοι τὰ 4
δεξιὰ τοῦ θώρακος ἔχουσι μείζονα καὶ ἰσχυρότερα τῶν ἀρισλερῶν
δῆλοι γίνονται τὸ ἧπαρ ἔχοντες μεῖζον τοῦ συμμέτρου, καὶ μάλισλα
οἱ τοιοῦτοι τῶν ἀνθρώπων περιπίπλουσι τοῖς ἡπατικοῖς πάθεσιν.
Ὡσαύτως δὲ καὶ οἷς ἂν ᾖ μείζονα τὰ ἀρισλερὰ, τοὺς σπλῆνας ἔχον- 5
τες μείζους δῆλοι γίνονται· πολλάκις γὰρ αὐτοῖς ἐν ταῖς ἀῤῥω-
σλίαις ἐπισημαίνουσιν. Τὸ δὲ ὅλον οἱ μὲν ἀπλευρότατοι καὶ μικρο- 6
σληθότατοι καὶ φλεϐωδέσλατοι καὶ ἀσαρκότατοι μεγαλοκοιλιώτατοι
καὶ μεγαλοσπλαγχνότατοι τυγχάνουσιν ὄντες· οἱ δὲ εὔπλευρότατοι
καὶ μεγαλοσληθότατοί τε καὶ εὐσαρκότατοι μικροσπλαγχνότατοί
τε καὶ μικροκοιλιώτατοι. Πάλιν ὅσοι μὲν ἄπλευροί εἰσι καὶ μέγα 7

si vous voulez y faire attention, vous trouverez que, chez nous, le poumon suit les différences [de structure] de la poitrine : ordinairement, en effet, on verra que ceux qui ont la poitrine saillante et les épaules rétractées sont surtout pris par les maladies du poumon, à cause du volume, de l'excavation et de la porosité exagérées de cet organe. De même, 4
ceux qui ont le côté droit du *thorax* plus volumineux et plus robuste que le côté gauche ont manifestement le foie démesurément volumineux, et ce sont surtout ces gens-là qui sont en proie aux maladies du foie. De même encore, ceux qui ont le côté gauche plus volumineux, 5
ont évidemment la rate trop grande; en effet, quand ces gens sont malades, la rate donne souvent des signes de quelque affection. En gé- 6
néral, ceux qui ont les côtes très-effacées, la poitrine très-petite, les veines très-apparentes et qui sont très-peu charnus, ont le canal intestinal très-large et les viscères très-grands; ceux, au contraire, qui ont les côtes très-bien développées, la poitrine très-large, et qui ont des chairs abondantes, ont les viscères [parenchymateux] très-petits et le canal intestinal (*estomac et intestins*) très-étroit. De plus, les gens chez 7

2. ἡμᾶς FF[a]. — Ib. ἐπὶ τὸ πολύ F[a]. — 7-8. συμμέτρου· μάλισλα γὰρ οἱ F[a]. — 5. δέ F. — 6. μείζω F[a]; item l. 9. — 14. ἀσαρκότατοι F.

τὸ διάσ7ημα ἔχουσιν ἀπό τε ὑποχονδρίων πρὸς τὰ ἄνω, οὗτοι δὲ
μεγαλοκοιλιώτατοι καὶ βορώτατοι τυγχάνουσιν ὄντες· ὅσοι δὲ
ἐξωγκωμένα τὰ ἐν τοῖς ὑποχονδρίοις ἔχουσι, πλήρης τούτων ἡ
μὲν ἄνω κοιλία καὶ μεγάλη, ἔντερα δὲ μικρὰ, διὰ ὃ καὶ οἱ πολλοὶ
τῶν τοιούτων δυσπαθοῦσι περὶ τὴν ἄνω κοιλίαν ἔν τε ταῖς πλησμο-
8 ναῖς καὶ ταῖς ἀσθενείαις. Τὴν δὲ ἄνω καὶ κάτω κοιλίαν μηδείς με
νομίσῃ λέγειν ἀγνοοῦντα διότι μονοκοίλιός ἐσ7ιν ὁ ἄνθρωπος, τὸ δὲ
9 κάτω ἔντερον ὑπόκειται παχύ· τοῦτο δὴ λέγω κάτω κοιλίαν. Τοῖς
μὲν οὖν προειρημένοις οὕτως ἔχει ταῦτα τὰ μέρη· ὧν δὲ ἂν ὦσιν
αἱ κοιλίαι κατεσπασμέναι, τούτων δὲ ἔσ7ιν ὁρᾶν τὰ ἔντερα μείζω·
διὸ καὶ ῥᾷον ἀπὸ τῶν πλησμονῶν ἀπαλλάτ7ουσιν οἱ τοιοῦτοι.

lesquels les côtes sont effacées et les hypocondres très-éloignés des parties supérieures ont le canal intestinal très-ample et sont très-voraces; quant aux gens qui ont la région des hypocondres tuméfiée, leur ventre supérieur est plein et volumineux, tandis que les intestins sont petits : pour cette raison, la plupart de ces gens souffrent du ventre supérieur
8 en cas d'excès de table ou de faiblesse. Qu'on ne croie pas que je me sers des expressions *ventre supérieur* et *ventre inférieur*, parce que j'ignore que l'homme n'a qu'un seul estomac, et qu'au-dessous se trouve
9 le gros intestin : c'est là ce que j'appelle *ventre inférieur*. Voilà de quelle manière les organes dont il s'agit sont disposés chez les gens dont nous parlons; quant à ceux dont le ventre est rétracté, on peut voir que leurs intestins sont assez grands : pour cette raison, ils se tirent aussi plus facilement des excès de table.

1. *δέ* om. F. — 3. *ἐξωγκωμένα* ex em.; *ἐξογκώμενοι* F^a; *ἐξογκούμενα* F. — Ib. *τὰ..... ἔχουσι* om. F^a. — Ib. *τὰ ἐν* e conj.; *καὶ τά* F. — 4. *καί* ante *μεγάλη* e conj.; om. FF^a. — 7. *νομίσει* FF^a. — 8. *λέγουσι* F. — Ib. *τὴν κάτω* F^a — 9. *δὲ ἂν* e conj.; *δῆλον* FF^a. — 10. *κατεσπαρμέναι* FF^a.

ΕΚ ΤΟΥ ΚΒʹ ΒΙΒΛΙΟΥ.

[ΑΝΕΚΔΟΤΟΝ.]

αʹ. Περὶ φυσικῶν δυνάμεων καὶ ἐνεργειῶν. Ἐκ τῶν Γαληνοῦ.

Ἔργα τῆς φύσεως, ἔτι κυουμένου τε καὶ διαπλαττομένου τοῦ ζώου, 1
τὰ σύμπαντά ἐστι τοῦ σώματος μόρια· γεννηθέντος δὲ, κοινὸν ἐπὶ
ἅπασιν ἔργον ἡ εἰς τὸ τέλειον ἑκάστῳ μέγεθος ἀγωγὴ, καὶ μετὰ
ταῦτα ἡ μέχρι τοῦ δυνατοῦ διαμονή· ἐνέργειαι δὲ ἐπὶ τρισὶ τοῖς εἰ-
ρημένοις τρεῖς ἐξ ἀνάγκης, ἐπὶ ἑκάστῳ μία, γένεσις καὶ αὔξησις
καὶ θρέψις. Ἀλλὰ ἡ μὲν γένεσις οὐχ ἁπλῆ τις ἐνέργεια τῆς φύ- 2
σεως, ἀλλὰ ἐξ ἀλλοιώσεώς τε καὶ διαπλάσεώς ἐστι σύνθετος· ἵνα
μὲν γὰρ ὀστοῦν γένηται καὶ νεῦρον καὶ φλὲψ καὶ τῶν ἄλλων ἑκα-

EXTRAITS DU LIVRE XXII.

[PARTIE INÉDITE.]

1. DES FORCES ET DES FONCTIONS NATURELLES. — TIRÉ DE GALIEN.

Quand l'individu est encore en voie de se former dans le sein de sa 1
mère, toutes les parties du corps sont des œuvres de la nature; mais,
après la naissance, toutes ont une œuvre commune, c'est de faire parvenir
chacune d'elles au volume qu'elle doit avoir, et après cela de conserver
ces parties aussi longtemps que possible; il y a nécessairement trois fonc-
tions qui répondent aux trois œuvres énumérées, pour chaque œuvre
une fonction : ce sont la formation, l'accroissement et la nutrition.
Mais la formation n'est pas une fonction simple de la nature; au con- 2
traire, elle est composée d'altération et de configuration : en effet, pour
qu'il se forme un os, un nerf, une veine, ou toute autre partie, il faut

Ch. 1; l. 1. *ἔτι μέν* Gal. — 2. *γεννηθέντος* F Gal.

στον, ἀλλοιοῦσθαι χρὴ τὴν ὑποβεβλημένην οὐσίαν ἐξ ἧς γίνεται τὸ
ζῷον· ἵνα δὲ τὸ σχῆμα τὸ δέον καὶ θέσιν καὶ κοιλότητάς τινας καὶ
συμφύσεις καὶ τὰ ἄλλα τὰ τοιαῦτα κτήσηται, διαπλάττεσθαι χρὴ
τὴν ἀλλοιουμένην οὐσίαν ὑπὸ τῆς διαπλαστικῆς δυνάμεως ἣν καὶ
τεχνικὴν εἶναι λέγομεν, μᾶλλον δὲ ἀρίστην καὶ ἄκραν τέχνην καὶ
3 πάντα τινὸς ἕνεκα ποιοῦσαν. Διαπλάττειν δὲ τὰ μόρια πάντως δεῖ
διὰ ὅλων αὐτῶν ἐκτεταμένην, μηδενὸς ὄντος ἀψαύστου μέρους αὐτῆς,
4 μηδὲ ἀνεξεργάστου, μηδὲ ἀκοσμήτου. Ἡ δὲ αὔξησις ἐπίδοσίς ἐστι
καὶ διάστασις εἰς μῆκος καὶ πλάτος καὶ βάθος τῶν στερεῶν μορίων
τοῦ ζῴου, ὧν περ καὶ ἡ διάπλασις ἦν, ἡ δὲ θρέψις πρόσθεσις τοῖς
αὐτοῖς ἄνευ διαστάσεως· τοῦ γὰρ ἐπιῤῥέοντος ἐν εἴδει τροφῆς παντὶ
μορίῳ τοῦ τρεφομένου σώματος προσπλαττομένου, θρέψις μὲν ἡ
5 ἐνέργεια, θρεπτικὴ δὲ δύναμις ἡ αἰτία. Ἀλλοίωσις μὲν δὴ κἀν-
ταῦθα τὸ γένος τῆς ἐνεργείας, ἀλλὰ οὐχ οἵα περ ἡ ἐν τῇ γενέσει·

que la substance fondamentale, dont se forme l'animal, subisse une
altération; pour que cette partie prenne la forme et la position requises,
ainsi que certaines cavités et cohérences, enfin toutes les autres disposi-
tions semblables qu'elle doit avoir, il importe que la substance qui subit
des altérations soit configurée par la force plastique, force que nous
appelons artistique, ou plutôt le meilleur et le plus parfait des arts, et
3 qui fait tout en vue de quelque but. Afin que cette force façonne les
parties, il faut nécessairement qu'elle les pénètre intimement, de façon
qu'aucune parcelle n'échappe au contact avec elle, ou aux élaborations
4 et aux arrangements qu'elle fait. La croissance est l'augmentation et
l'extension dans le sens de la longueur, de la largeur et de l'épaisseur
des parties solides de l'animal, parties auxquelles se rapportait aussi la
configuration; mais la nutrition est l'application [des éléments nutritifs]
contre ces mêmes parties, sans augmentation de volume: en effet, quand
la substance qui afflue à titre d'élément nutritif s'applique contre toutes
les parties de l'animal qui se nourrit, on appelle cette fonction *nutrition*,
5 et sa cause *force nutritive*. Dans ce cas, la fonction rentre aussi dans
le genre *altération*, mais cette altération n'est pas identique à l'altéra-

2. δὲ καὶ σχῆμα Gal. — 4. δυνάμεως om. F. — 8. δὲ δή Gal. — 9. εἰς om. F. — 11. πάντα F. — 13. θεραπευτική F.

ἐκεῖ μὲν γὰρ οὐκ ὂν ὀστοῦν πρότερον ὕστερον ἐγένετο· κατὰ δὲ
τὴν θρέψιν τῷ ἤδη γεγονότι ἐξομοιοῦται τὸ ἐπιρρέον, καὶ διὰ τοῦτο
εὐλόγως ἐκείνην μὲν τὴν ἀλλοίωσιν γένεσιν, ταύτην δὲ ἐξομοίωσιν
ὠνόμασαν. Ἐπεὶ δὲ ὁμοιοῦσθαι καὶ μεταβάλλειν εἰς ἄλληλα πᾶσι 6
τοῖς οὖσίν ἐστιν ἀδύνατον, εἰ μή τινα ἔχει κοινωνίαν ἤδη καὶ συγ-
γένειαν ἐν ταῖς ποιότησι, διὰ τοῦτο πρῶτον μὲν οὐκ ἐκ πάντων
ἐδεσμάτων πᾶν ζῷον τρέφεσθαι πέφυκεν, ἔπειτα δὲ οὐκ ἐξ ὧν οἷόν
τέ ἐστιν, οὐδὲ ἐκ τούτων παραχρῆμα, καὶ διὰ ταύτην τὴν ἀνάγκην
πλειόνων ὀργάνων ἀλλοιωτικῶν τῆς τροφῆς ἕκαστον τῶν ζῴων
χρῄζει. Ἓν μὲν δὴ τοῦτο αἴτιον τοῦ πολλὰ γίνεσθαι τὰ περὶ τὴν 7
τῆς τροφῆς ἀλλοίωσιν ὄργανα· δεύτερον ἡ τῶν περιττωμάτων
φύσις· καὶ γὰρ καὶ τοῦτο τὸ γένος τῶν ἐν τῷ σώματι μορίων
ἐξεύρηται τῇ φύσει τοῖς περιττώμασι τῆς τροφῆς ἀνακείμενον·
ἄλλο δὲ τρίτον ὑπὲρ τοῦ πάντῃ φέρεσθαι διὰ τοῦ σώματος ὅλου κα-

tion qui constitue la formation : en effet, dans le dernier cas, un os qui
n'existait pas auparavant se forme plus tard, tandis que, dans la nutri-
tion, la matière qui afflue est assimilée à ce qui existe déjà : pour ce
motif, on a eu raison d'appeler la première espèce d'altération *formation*,
et la seconde *assimilation*. Mais, comme toutes les substances qui existent 6
ne peuvent pas s'assimiler l'une à l'autre, ou se transformer l'une dans
l'autre, à moins que leurs qualités n'aient déjà quelque chose de commun
et ne présentent quelque affinité, pour cette raison, en premier lieu,
tous les aliments ne peuvent servir à nourrir un animal quelconque, et,
en second lieu, ceux qui peuvent remplir ce but ne sauraient l'atteindre
du premier coup; cette nécessité fait que tout animal a besoin de plu-
sieurs organes destinés à transformer les aliments. C'est là une des causes 7
de la multiplicité des organes destinés à cette transformation des aliments;
la seconde est la nature des résidus, et, en effet, la nature a aussi
inventé ce genre de parties du corps, je veux parler de celles qui sont
destinées aux résidus de la nutrition; un autre genre, qui est le troi-
sième, consiste, pour ainsi dire, en routes nombreuses, tracées pour

3. γέννεσιν F, et sic plerumque. — 4. ὀνομάζομεν Gal. — 5. ἔχοι F 1ª m. σοι Gal. — 12. φύσις om. F. — 13. τῇ φύσει]

τατετμημέναι ϖολλαὶ καθάπερ ὁδοί τινες· ἐπειδὰν γὰρ ἐκπέσῃ τῶν
ἀγγείων ὁ μέλλων θρέψειν ὁτιοῦν τῶν τοῦ ζῴου μορίων χυμὸς, εἰς
ἅπαν αὐτὸ διασπείρεται ϖρῶτον, ἔπειτα ϖροστίθεται, κἄπειτα
8 ϖροσφύεται, καὶ τέλος ὁμοιοῦται. Τίνος ἀλλοιοῦντος καὶ τίνος δια-
9 πλάττοντος; Ἢ δῆλον ὅτι τῆς Φύσεως, ἢ τοῦ σπέρματος· ὁ γὰρ οὕτω
φάσκων ἐρεῖ ταὐτὸν, διότι τὸ ϖρότερον σπέρμα τοῦτο, ὅταν ἄρξηται
φύειν τε καὶ ϖλάττειν τὸ ζῷον, Φύσις γίνεται· καθάπερ γὰρ ὁ
Φειδίας εἶχε τὰς δυνάμεις τῆς τέχνης καὶ ϖρὶν ψαύειν τῆς ὕλης,
ἐνήργει δὲ αὐταῖς ϖερὶ τὴν ὕλην, οὕτω καὶ τὸ σπέρμα τὰς μὲν δυ-
νάμεις οἴκοθεν ἐκέκτητο, τὰς δὲ ἐνεργείας οὐκ ἐκ τῆς ὕλης ἔλαβεν,
10 ἀλλὰ ϖερὶ τὴν ὕλην ἐπεδείξατο. Τοῦτο δὴ καὶ τοσοῦτον ἕλξει τοῦ
αἵματος ὁπόσου δεῖται· δύναμιν [γὰρ] αἵματος ἕχει, καθάπερ ἡ λί-
11 θος τοῦ σιδήρου, τὴν ἑλκτικήν. Ἑλχθῆναι μὲν οὖν τι καὶ διὰ τα-
χέων δύναται, ϖροσφῦναι δὲ καὶ τελέως ὁμοιωθῆναι τῷ τρεφομένῳ

que les éléments nutritifs se portent de tous côtés à travers le corps en-
tier de l'animal : en effet, quand l'humeur destinée à nourrir une par-
tie quelconque est tombée hors des vaisseaux, elle est d'abord dissé-
minée dans toute la partie, ensuite elle s'y applique, puis elle devient
8 adhérente, et enfin elle s'y assimile. Mais qui transforme et qui façonne
9 l'aliment? Évidemment c'est ou la nature, ou le sperme, et, en effet, ces
deux réponses reviennent au même, parce que ce qui était d'abord
sperme devient plus tard nature, lorsqu'il a commencé à faire croître et
à figurer l'animal : car, ainsi que Phidias possédait les facultés artistiques
même avant de toucher à la matière, et que c'est à l'aide de ces facultés
qu'il agissait sur elle, de même le sperme possédait les facultés dès l'ori-
gine, et il n'emprunte pas son activité à la matière, mais il l'exerce sur
10 elle. Il attirera donc aussi autant de sang qu'il lui en faut : car il a la
faculté d'attirer le sang comme la pierre [aimantée] a celle d'attirer le fer.
11 Or l'attraction d'une substance quelconque peut se faire rapidement ; mais
l'adhérence, l'assimilation complète à l'organisme qui se nourrit, et la

7. διαπλάττειν Gal. — 8. εἶχε μὲν om. F. — Ib. ἔχει ἐπισπαστικήν Gal. — τάς Gal. — Ib. ϖαύειν F. — 12. [γάρ] 14. ϖροσφυῆναι Gal.

καὶ μέρος αὐτοῦ γενέσθαι παραχρῆμα μὲν οὐχ οἷόν τε, χρόνῳ δὲ
πλείονι συμβαίνει καλῶς. Δεῖ δέ τινος κἀνταῦθα τῇ Φύσει δυνάμεως 12
ἑτέρας εἰς πολυχρόνιον μονὴν τοῦ προσ7εθέντος τῷ μορίῳ χυμοῦ
κατῳκισμένης ἐν αὐτῷ τῷ θρεψομένῳ, τῆς καθεκτικῆς ὀνομαζομέ-
νης. Ἀλλὰ εἴπερ ἐΦίεται καὶ ἕλκει καὶ ἀπολαύει κατέχουσα καὶ πε- 13
ρισ7ελλομένη, εἴη ἄν τι καὶ πέρας αὐτῇ τῆς ἀπολαύσεως, κἄπειτα
δὲ καιρὸς ἤδη τῶν περιτ7ῶν τῆς ἐκκρίσεως, τῆς προωσ7ικῆς δυνά-
μεως ἐνεργούσης· καὶ γὰρ οὖν καὶ ταύτην οὕτως ἐκάλεσαν, ἀπὸ τῶν
ἔργων αὐτῇ τὰ ὀνόματα θέμενοι, καθάπερ καὶ ταῖς ἄλλαις. Ἀναγκαῖαι 14
τοίνυν αἱ τέτ7αρες αὗται δυνάμεις ἅπαντι μορίῳ τῷ μέλλοντι θρέ-
ψεσθαι, καὶ διὰ τοῦτο ταύτας ὑπηρέτιδας εἶναι θρέψεως λέγομεν.
Σκοπὸν μὲν οὖν ἡ ἀλλοιωτικὴ δύναμις ἔχει τὴν θρέψιν τοῦ σώμα- 15
τος, ἐν δὲ τῇ πρὸς ταύτην ὁδῷ τὴν κατὰ γασ7έρα πέψιν ἐργάζεται
καὶ τὴν μετὰ ταύτην γινομένην αἱμάτωσιν ἐν ἥπατι· παρασκευάζε-
ται γὰρ ὥσπερ τῇ γασ7ρὶ πολλὰ τῶν σιτίων διὰ τῆς ἔξω τοῦ σώ-

transformation en partie même de cet organisme, ne peuvent pas se
faire instantanément; pour que ces fonctions s'accomplissent bien, il
faut plus de temps. Alors la nature a besoin d'une autre force pour faire 12
rester longtemps en place l'humeur appliquée contre la partie; cette
force est implantée dans l'organisme même qui doit se nourrir; on l'ap-
pelle *force rétentive.* Mais, si cette force appelle, attire [les éléments de 13
la nutrition], et en jouit en les retenant et les entourant, cette jouissance
aura aussi son terme, et c'est alors qu'arrive le temps pour excréter les
résidus par l'activité de la force *propulsive :* car on a encore donné ce
nom-là à la force dont il s'agit, en le déduisant, comme pour les autres,
de ses actes. Ces quatre forces sont donc indispensables à toute partie 14
qui doit se nourrir, et, pour cette raison, nous disons que ce sont des
servantes de la nutrition. La force altérative a donc pour but la nutrition 15
du corps, et, dans la route qu'elle parcourt pour arriver à ce but, elle
opère la digestion, qui se fait dans l'estomac, et la sanguification, qui,
après la digestion, a lieu dans le foie : car, de même qu'on prépare plu-
sieurs aliments pour l'estomac par des altérations qui ont lieu hors du

1-2. *δ' ἂν πλείονι* Gal. — 2. *συμβαίνοι* F 2ª m. Gal. — 4. *κατωκισμένους* F. Ib. *αὐτῷ θρεψαμένῳ* F. — Ib. *θρεπ7ικῆς* F. — 7. *προωσ7ικῆς*] *ἐκκριτικῆς* Gal. — 10-11. *θρέψασθαι* F. — 11. *αὐτάς* Gal.

ματος ἀλλοιώσεως ἐν ἑψήσεσί τε καὶ ὀπτήσεσι καὶ ταριχεύσεσι καὶ ζυμώσεσιν, οὕτω τῷ μὲν ἥπατι διὰ τῆς ἐν κοιλίᾳ, τῷ δὲ ἄλλῳ σώματι διὰ τῆς ἐν ἥπατι, κατὰ λογισμόν τινα τῶν προτέρων μορίων τοῖς δευτέροις ὑπηρετούντων, ἀλλὰ τῇ τάξει τῆς θέσεως, ἣν ὁ τῆς
16 τῶν ζώων γενέσεως δημιουργὸς ἐμηχανήσατο θεός. Ἀλλὰ ἐπεὶ τὰ μὲν ἰσχυρότερα ταῖς δυνάμεσίν ἐστι μόρια, τὰ δὲ ἀσθενέστερα, κρατήσει μὲν πάντα τῆς οἰκείας τῷ ζώῳ τροφῆς, οὐχ ὁμοίως δὲ
17 πάντα. Κρατήσει δὲ καὶ ἡ γαστὴρ ἄρα καὶ ἀλλοιώσει μὲν τὴν τροφὴν, οὐ μὴν ὁμοίως ἥπατι καὶ φλεψὶ καὶ ἀρτηρίαις καὶ καρδίᾳ.
18 Πόσον οὖν ἐστιν ὃ ἀλλοιοῖ, καὶ δὴ θεασόμεθα, πλέον μὲν ἢ κατὰ
19 τὸ στόμα, μεῖον δὲ ἢ κατὰ τὸ ἧπάρ τε καὶ τὰς φλέβας. Αὕτη μὲν οὖν ἡ ἀλλοίωσις εἰς αἵματος οὐσίαν ἄγει τὴν τροφὴν, ἡ δὲ ἐν τῷ στόματι μεθίστησι μὲν αὐτὴν ἐναργῶς εἰς ἕτερον εἶδος, οὐ μὴν εἰς

corps, et qui consistent à les bouillir, à les rôtir, à les saler et à les faire fermenter, de même l'altération qui se fait dans l'estomac prépare l'aliment pour le foie, et celle qui se fait dans le foie le prépare pour tout le corps, opérations pendant lesquelles les parties qui agissent les premières rendent des services à celles qui leur succèdent, d'après une espèce de calcul; seulement ces services doivent se rendre dans l'ordre de la position qui a été assignée aux parties par le dieu qui préside à la
16 formation des animaux. Mais, comme certaines parties ont des forces plus énergiques, et d'autres des forces plus faibles, toutes subjugueront l'aliment qui a de l'affinité avec l'animal, mais toutes ne le feront pas de la
17 même manière. L'estomac subjuguera et altérera donc l'aliment, mais il ne le fera pas de la même manière que le foie, les veines, les artères
18 et le cœur. Nous verrons donc jusqu'où va cette altération; elle est plus grande que l'altération qui a lieu dans la bouche, et plus petite que celle
19 qui se fait dans le foie et dans les veines. Ainsi cette dernière altération amène l'aliment à se changer en la substance du sang, tandis que celle qui a lieu dans la bouche lui imprime manifestement aussi une autre

2. ἐν τῇ κοιλίᾳ F. — 3. τῶν om. F. — 4. τῆς δευτέρας F. — 7-8. δὲ κρατήσει δὲ πάντα. Καὶ ἡ γαστὴρ ἄρα F. — Ib. καί om. F. — 10. ἢ F; it. l. 11. — 11. καθ' ἧπαρ Gal. — 13. ἐνεργῶς F.

τέλος γε μετακοσμεῖ. Μάθοις δὲ ἂν ἐπὶ τῶν ἐγκαταλειφθέντων ταῖς 20
διαστάσεσι τῶν ὀδόντων σιτίων καὶ μεινάντων διὰ ὅλης νυκτός·
οὔτε γὰρ ἄρτος ἀκριβῶς ὁ ἄρτος ἐστὶν, οὔτε κρέας ἔτι κρέας, ἀλλὰ
ὄζει μὲν τοιοῦτον οἷόν περ καὶ τοῦ ζώου τὸ στόμα, διαλέλυται δὲ
καὶ διατέτηκε καὶ τὰς ἐν τῷ ζώῳ τῆς σαρκὸς ἀπομέμακται ποιότη-
τας. Τὰ δὲ μεμασημένα σιτία πρῶτον μὲν τῷ φλέγματι βέβρεκται 21
καὶ πεφύραται, δεύτερον δὲ καὶ τῷ χρωτὶ τοῦ στόματος ἅπαντι
πεπλησίακεν, ὥστε πλέονα μεταβολὴν εἰληφέναι τῶν ἐν ταῖς κεναῖς
χώραις τῶν ὀδόντων ἐσφηνωμένων. Ἀλλὰ ὅσον τὰ μεμασημένα τού- 22
των ἐπὶ πλέον ἠλλοίωται, τοσοῦτον ἐκείνων τὰ καταποθέντα· μὴ
γὰρ οὐδὲ παράβλητον εἴη τὸ τῆς ὑπερβολῆς, εἰ τὸ κατὰ τὴν κοιλίαν
ἐννοήσαιμεν φλέγμα καὶ χολὴν καὶ πνεῦμα καὶ θερμασίαν καὶ ὅλην
τὴν οὐσίαν τῆς γαστρός. Εἰ δὲ συνεπινοήσαις αὐτῇ τὰ παρακείμενα 23
σπλάγχνα καθάπερ τινὶ λέβητι μεγάλῳ πυρὸς ἑστίας πολλὰς, ἐξαι-

forme, mais ne le transforme pas complétement. Vous pourrez l'apprendre 20
par les aliments qui restent dans les interstices des dents et qui y sé-
journent toute une nuit : en effet, après ce séjour, le pain n'est plus
exactement du pain, ni la viande de la viande, mais ces aliments exhalent
la même odeur que la bouche de l'individu, ils se sont dissous et fondus,
et se sont approprié les qualités de la chair de l'individu. Les aliments 21
mâchés sont d'abord humectés et mélangés avec du flegme, ensuite ils
sont en contact avec toute la surface [interne] de la bouche; ils subissent
donc une altération plus forte que les aliments enclavés dans les inter-
stices des dents. Mais autant l'altération subie par les aliments mâchés 22
surpasse celle des aliments enclavés entre les dents, autant l'altération
des premiers est dépassée par celle des aliments avalés : car, si on pense
au flegme, à la bile, à la chaleur et au pneuma contenus dans l'esto-
mac, ainsi qu'à l'ensemble de la substance de cet organe, il n'y aurait pas
même de comparaison à faire pour la mesure suivant laquelle l'une de ces
altérations dépasse l'autre. Si, de plus, on songe aux viscères qui avoisi- 23
nent l'estomac, lequel peut être comparé à un grand chaudron placé près
de plusieurs foyers incandescents, on se convaincra que l'altération subie

1. *καταλειφθ.* F. — 3. *κρ. ἐστὶ τὸ κρ.* Gal. — 7. *σώματος* F. — 8. *εἴληφε* Gal. — 11. *παραβλάβητον* F. — Ib. *ὑποδοχῆς* F. — 13. *συνεπενόησες* F.

σιόν τινα πεισθήσῃ τὴν ἀλλοίωσιν γίνεσθαι τῶν εἰς τὴν γαστέρα
24 καταποθέντων σιτίων. Πῶς δὲ ἂν ἐδύνατο ῥᾳδίως αἱματοῦσθαι μὴ
25 προπαρασκευασθέντα τῇ τοιαύτῃ μεταβολῇ; Ὅτι μὲν οὖν ὑπὸ τῆς
γαστρὸς ἀλλοιοῦνται τὰ καταποθέντα, δέδεικται σαφῶς· ὅτι δὲ ὁ
ἐκ τῆς γαστρὸς εἰς ἧπαρ ἀναδιδόμενος χυλὸς αἷμα φαίνεται γινόμε-
νος ὑπὸ τῆς οὐσίας τοῦ ἥπατος λαμβάνων τὴν ἀλλοίωσιν, νῦν ἐροῦ-
μεν· ἕκαστον γὰρ τῶν ὀργανικῶν τοῦ ζώου μορίων πάντως ἕν γέ
τι τοιοῦτον ἔχει κατὰ αὐτὸ οἷον οὐκ ἄλλο τῶν πάντων ἐστίν· ὁποῖον
γάρ ἐστι τὸ τοῦ πνεύμονος σῶμα κατὰ τὴν οὐσίαν, οὐκ ἂν εὕροις
ἕτερον, οὐδὲ οἷον ἐγκέφαλος οὐδὲν ἄλλο τοιοῦτον, ὥσπερ οὐδὲ ὁποῖον
ἡ καρδία σῶμα κατὰ τὴν οὐσίαν ἐστὶν, οὐδὲν ἀκριβῶς ἄλλο τοιοῦ-
τον ὑπάρχει, καὶ νεφροὶ δὲ καὶ σπλὴν, ἑκάτερον αὐτῶν οἷον οὐκ
ἄλλο, καὶ διὰ τοῦτο ἕκαστον ἰδίαν ἔχει τὴν ἐνέργειαν ἐπὶ τῷ τῆς
26 οὐσίας ἰδίῳ. Οὐδὲν οὖν θαυμαστόν ἐστιν οὐδὲ τὸ τοῦ ἥπατος ἴδιον
σῶμα κατὰ τὴν ἑαυτοῦ φύσιν κεκτῆσθαι τὴν ἐνέργειαν· ἐρυθρότα-

par les aliments qui, grâce à la déglutition, passent dans l'estomac, est
24 exorbitante. Comment, d'ailleurs, pourraient-ils se transformer facilement
en sang, s'ils n'étaient pas d'abord préparés à une telle transformation?
25 Nous avons donc montré clairement que l'estomac altère les aliments
avalés; nous allons expliquer maintenant comment le chyle, qui de l'es-
tomac remonte vers le foie, devient manifestement du sang, parce que la
substance du foie lui imprime une altération : en effet, chaque organe de
l'animal contient nécessairement en soi un élément constitutif tel, qu'il ne
ressemble à aucun de ceux qui sont propres à tous les autres organes; car
le corps du poumon est tel, quant à la substance, que vous ne trouverez pas
d'autre corps semblable; vous ne trouverez pas non plus un second organe
semblable au cerveau; il n'existe pas non plus un second organe qui res-
semble exactement à la masse du cœur sous le rapport de la substance; en-
fin le rein et la rate ne ressemblent ni l'un ni l'autre à aucun autre organe,
et, pour cette raison, chaque organe a une fonction propre qui répond à la
26 spécialité de sa substance. Il n'y a donc rien d'étonnant non plus à ce que
la substance propre du foie possède une fonction correspondante à sa na-
10 chés, enflammés, ou affectés de *squirrhe.* La dureté est donc un symptôme commun de ces trois maladies, la sécheresse, l'inflammation et le squirrhe, et, pour cette raison, quand l'utérus est fermé contre nature, cette occlusion est accompagnée de dureté, et il n'y a que l'occlusion conforme à la nature qui laisse dans leur état naturel la mollesse aussi bien que tous les autres éléments de structure de l'utérus : en effet, quand l'utérus

3. ᾗπερ ἂν..... γίνηται Gal.

μόνον αὐτῷ προσγένηται τὸ μεμυκέναι, μηδὲν κατὰ ἄλλο τῆς ἀρ-
χαίας κατασκευῆς ἐξεσ7ηκότι, τῆς διοικούσης τὰ σώματα φύσεως
αὐτῆς ἔργον ἐσ7ὶ τὸ τοιοῦτον, καὶ κύειν ἀνάγκη τὴν ἄνθρωπον· ὅταν
δὲ σὺν τῷ μεμυκέναι καὶ σκληρὸν ᾖ, τῶν προειρημένων τι παθῶν
ἐνοχλεῖ τὸν αὐχένα τῶν ὑσ7ερῶν, ὡς καὶ αὐτὰ πάλιν τὰ πάθη διο-
ρισμοὺς ἰδίους ἔχειν· τὸ μὲν γὰρ ἐσκληρύνθαι κοινὸν ἁπάντων σύμ-
πτωμα, πρόσεσ7ι δὲ τῷ διὰ φλεγμονὴν ἢ σκίῤῥον πεπονθότι παρὰ
φύσιν ὄγκος τοῦ μέρους, τῷ δὲ διὰ ξηρότητα πλέον τοῦ δέοντος ἡ
ἰσχνότης πρὸς τῷ μηδὲ λαθεῖν δύνασθαι τὸν καθιέμενον δάκτυλον
τὴν τοσαύτην ξηρότητα διὰ ἣν ἠναγκάσθη μύειν τὸ στόμα. Πάλιν 11
δὲ αὖ φλεγμονῆς καὶ σκίῤῥου διορισμὸς σαφὴς αὐτῇ τῇ ἁφῇ, θερ-
μὴν μὲν εὑρισκούσῃ τὴν φλεγμονὴν, τὸν σκίῤῥον δὲ οὐχ ὅπως θερ-
μότερον τοῦ κατὰ φύσιν, ἀλλὰ καὶ ἧτ7ον θερμόν. Καὶ μέντοι καὶ 12
κατὰ τὰς προσβολὰς τῶν δακτύλων ὀδυνᾶται μὲν τὰ φλεγμαίνοντα,

ne présente aucun autre symptôme que l'occlusion, et ne s'écarte nulle-
ment, sous aucun autre rapport, de sa structure primitive, c'est là un effet
de l'action de la nature qui administre le corps, et il est de toute nécessité
que la femme soit enceinte; si, au contraire, outre l'occlusion, la matrice
est dure, le col de cet organe est atteint d'une des affections susdites, de
telle façon cependant que ces affections présentent à leur tour des signes
spéciaux qui les font reconnaître : car l'endurcissement est un symptôme
commun à toutes, mais l'utérus souffrant d'inflammation ou de squirrhe
présente, en outre, une tuméfaction contre nature de la partie, tandis
que l'utérus endurci par excès de sécheresse présente une diminution
de volume, sans compter qu'une sécheresse assez forte pour forcer l'ori-
fice de l'utérus à se fermer ne saurait rester cachée au doigt explorateur.
Mais on peut distinguer clairement aussi l'inflammation du squirrhe à 11
l'aide du toucher; par lui, on s'aperçoit que l'inflammation est chaude,
tandis que le squirrhe non-seulement n'est pas plus chaud que l'organe
dans son état naturel, mais l'est même moins. De plus, au contact des 12
doigts, les parties enflammées éprouvent de la douleur, tandis que les
parties affectées de squirrhe non-seulement ne sont pas douloureuses,

5. αὐχένα τῶν παθῶν, εἰ (ἢ) καὶ δὲ διά F. — Ib. σκίῤῥον τῷ πεπον- μᾶλλον τῶν ὑσ7έρων F. — 7. δὲ τῷ θότι F.

τὰ σκιῤῥούμενα δὲ οὐχ ὅπως ὀδυνηθείη ἂν, ἀλλὰ οὐδὲ αἰσθάνοιτο τῷ
13 κατὰ φύσιν ὁμοίως. Καὶ εἰ ἐπινέμοιτο πλείονα τόπον ἡ φλεγμονὴ, ὅ περ ὡς τὰ πολλὰ συμβαίνειν εἴθισται· σπάνιον γὰρ αὐτοῦ που μένον περὶ τὰ ἔξω πέρατα στῆναι τὸ κακόν· ἀνάγκη πυρετὸν ἐπιγενέσθαι· τοῖς σκίῤῥοις δὲ οὐχ ἕπεται πυρετὸς, ὥστε καὶ φλεγμο-
14 νῆς καὶ σκίῤῥου σαφεῖς οἱ διορισμοί. Πέρας δὲ τῆς τοῦ στόματος μύσεως καὶ τῆς τοῦ κυουμένου κατὰ τὰς μήτρας μονῆς ἡ τελείωσις, ἡνίκα λοιπὸν ἡ μὲν καθεκτικὴ δύναμις ἡσυχάζει, κινεῖται δὲ ἡ τέως ἠρεμοῦσα ἡ ἀποκριτικὴ, καὶ ἀνοιγνῦσα τὸ στόμιον προωθεῖ τὸ περιεχόμενον· καλῶς γὰρ ἁπάντων γινομένων τῶν κατὰ τὴν κύησιν ἡ ἀποκριτικὴ δύναμις ἡσυχάζει τελέως ὡς οὐκ οὖσα· κακοπραγίας δέ τινος γενομένης ἢ περὶ τὸ χορίον, ἢ περί τινα τῶν ἄλλων ὑμένων, ἢ περὶ τὸ κυούμενον αὐτὸ, καὶ τῆς τελειώσεως αὐτοῦ παντάπασιν ἀπεγνωσμένης, οὐκ ἀναμένουσι τὸν ἐννεάμηνον αἱ μῆτραι χρόνον, ἀλλὰ ἡ μὲν καθεκτικὴ δύναμις αὐτίκα δὴ πέπαυται καὶ παραχωρεῖ κινεῖσθαι τῇ πρότερον ἀργούσῃ· πράττει δὲ ἤδη τι καὶ πραγμα-

mais n'ont pas même une sensibilité égale à celle des parties dans leur
13 état naturel. Si l'inflammation envahit un espace plus étendu (ce qui est le cas le plus ordinaire, car il est rare que, bornant ses progrès, le mal s'arrête aux parties extérieures), il survient nécessairement de la fièvre; les squirrhes, au contraire, ne sont pas accompagnés de fièvre: par conséquent, les signes distinctifs entre l'inflammation et le squirrhe sont clairs.
14 Le terme de l'occlusion de l'orifice de la matrice et du séjour du fœtus dans cet organe est l'évolution complète de ce dernier : à cette époque, la force retentrice se repose, tandis que la force expulsive, qui, jusque-là, avait chômé, se réveille, ouvre l'orifice et expulse le contenu de la matrice; lors donc que tout ce qui constitue la gestation se passe comme il faut, la force expulsive reste complétement en repos, comme si elle n'existait pas; mais, s'il y a quelque dérangement du côté du chorion, ou d'une des autres membranes, ou du fœtus lui-même, et si son évolution échoue complétement, la matrice n'attend pas l'accomplissement des neuf mois; au contraire, la force retentrice cesse immédiatement son action et cède le rôle actif à la force qui auparavant était en repos; mais alors la force dite

10. μὲν γάρ Gal. — 12. χωρίον F et sic fere semper. — 16. ἤδη om. F.

τεύεται χρηστὸν ἡ ἀποκριτικὴ καὶ προωστικὴ καλουμένη δύναμις.
Καὶ τῶν γε φθείρειν μελλουσῶν ἰσχνοὶ μὲν ἀεὶ προηγοῦνται τιτθοὶ, 15
σκληροὶ δὲ καὶ πλήρεις οὐκ ἀεί· τοὐπίπαν γὰρ ἐπὶ τούτων εἰς ἕτε-
ρόν τι μόριον ἡ φύσις ἀποτίθεται τὸ περιττόν· εἴ γε μὴν ἐπὶ τὰς
μήτρας αὐτὸ διώσαιτο, γενήσονται δὲ καὶ τότε πάντως ἰσχνοί.
Μήτε οὖν ἰσχνοὶ φαινέσθωσαν οἱ τιτθοὶ καθάπερ ὅτε ἦν ἀκύμων ἡ 16
γυνή· τοῦτο γὰρ τὸ σημεῖον αἵματος ἔνδειαν ἐνδείκνυται, καὶ διὰ
τοῦτο ἐπὶ αὐτῶν διαφθείρεται τὸ ἔμβρυον· μήτε οὕτω μεστοὶ τυγχα-
νέτωσαν ὡς ἀποῤῥεῖν τὸ γάλα, καὶ μάλιστα κατὰ τοὺς πρώτους
μῆνας· πληροῦνται γὰρ ἐπὶ πλεῖον, ὀλίγον ἀναλίσκοντος τοῦ κυου-
μένου, τοῦτο δὲ αὐτὸ γίνεται διὰ τὴν ἀσθένειαν αὐτοῦ. Διηρμένοι 17
τοίνυν εἰς τοσοῦτον ἔστωσαν ὡς στερεοὺς αὐτοὺς ἁπτομένοις φαί-
νεσθαι· μέση γὰρ ἡ τοιαύτη κατάστασίς ἐστι τῶν ἀντιτύπων διὰ τὸ
πεπληρῶσθαι σφοδρῶς καὶ τῶν μαλακῶν τε καὶ χαλαρῶν διὰ τὴν
ἔνδειαν τοῦ αἵματος. Τὰ μὲν οὖν ἄῤῥενα τοὐπίπαν ἐν τοῖς δεξιοῖς 18

expulsive, ou propulsive, entre en action et produit quelque effet efficace.
Chez les femmes qui doivent avorter, les mamelles commencent toujours 15
par s'amaigrir, mais il faut remarquer qu'elles ne deviennent pas toujours
dures et pleines; car, en général, chez ces femmes, la nature dépose ses
résidus dans quelque autre organe; cependant, si elle les pousse vers la
matrice, dans ce cas les mamelles s'amaigriront nécessairement aussi.
Les mamelles ne doivent donc pas paraître aussi maigres que si la femme 16
n'était pas enceinte; car ce signe indique une pénurie de sang, et, pour
cette raison, dans cet état des seins la femme avorte; mais les seins ne
doivent pas non plus être tellement pleins, qu'il y ait écoulement de lait,
surtout dans les premiers mois; car les seins se remplissent fortement
quand le fœtus consume peu, et cela même tient à sa faiblesse. Les ma- 17
melles doivent donc être gonflées à tel point qu'elles paraissent fermes au
toucher, car un tel état tient le milieu entre celui des mamelles résis-
tantes par excès de plénitude et celui des mamelles molles et lâches
par défaut de sang. En général, les fœtus mâles sont portés dans le côté 18

1. *καλουμένη δύναμις* om. Gal. — 3. *τῶν τοιούτων* Gal. — 4. *ἐναποτίθεται* Gal. — 5. *μήτρας ἀποδιώσεται* F. — Ib. *δέ* om. Gal. — 6. *ὅταν* F. — 7. *ἔνδειαν* om. F. — 9. *τό* om. F. — 11. *Διηρημένοι* F.

μέρεσι τῶν μητρῶν κυΐσκεται, τὰ δὲ θήλεα ἐν τοῖς ἀρισ7εροῖς, καὶ
19 *σπάνιόν ἐσ7ι τὸ ἐναντίον. Συλλαβούσης γοῦν τῆς γυναικὸς χάσκει*
μὲν τὸ κατὰ εὐθὺ τῆς μὴ συνειληφυίας· δῆλον γὰρ ὡς ἡ μὲν δεξαμένη
20 *τὸ σπέρμα μύσει, ἡ δὲ ἑτέρα ἀνεσ7ομωμένη. Ἀχρουσ7έρα τέ ἐσ7ιν*
ἑαυτῆς ἡ κύουσα θῆλυ γυνὴ, εὐχρουσ7έρα δὲ ἡ ἄῤῥεν· συμβαίνει δὲ
τοῦτο οὐ διηνεκῶς· ἐνδέχεται γὰρ οὕτω καλῶς ἅπαντα πρᾶξαι τὴν
γυναῖκα μετὰ τὸν τῆς συλλήψεως καιρὸν ὡς εὔχρουν γενέσθαι, ὡς
ὁ διδάσκαλος ἡμῶν Ἱπποκράτης φησὶν ἐν τῷ ε′ τμήματι τῶν ἀφο-
ρισμῶν κεφαλαίῳ μ′· γυνὴ ἂν μὲν ἄῤῥεν κύῃ, εὔχρους ἐσ7ίν· ἂν δὲ
21 *θῆλυ, δύσχρους. Ὡς δῆλα φάναι τοῖς πᾶσι, γνωρίσματα τοῦ κύειν*
ἄῤῥεν καὶ τὸ πλῆθος καὶ ἡ ἰσχύς ἐστι τῶν κινήσεων, οὐδὲ αὐτὰ τῶν
διηνεκῶν ὄντα σημείων· ἐνδέχεται γάρ ποτε κατὰ τὸ σπάνιον καὶ
θῆλυ κυούμενον ῥωμαλεώτερον ἄῤῥενος ἰσχυράς τε ἅμα καὶ πολλὰς
22 *κινήσεις κινεῖσθαι, καὶ ἄῤῥεν ἐναντίως. Τὰ θήλεα δὲ τῶν ἀῤῥένων*

droit de l'utérus et les fœtus femelles dans le côté gauche; le contraire
19 est rare. Après la conception, le côté de l'utérus correspondant à la par-
tie où il n'y a pas eu de conception est béant, car il est clair que le côté
20 qui a admis le sperme sera fermé et l'autre ouvert. La femme enceinte
qui porte un fœtus femelle est moins bien colorée que de coutume; celle,
au contraire, qui est grosse d'un garçon, a meilleur teint; mais ce n'est
pas là un signe constant, car la femme grosse d'une fille peut, après la
conception, si bien accomplir toutes ses fonctions, qu'elle conserve une
belle couleur, comme notre maître Hippocrate le dit dans le quaran-
tième paragraphe de la cinquième section des *Aphorismes :* « Une femme
« enceinte a bonne couleur si elle porte un garçon, mauvaise si elle porte
21 « une fille. » Si on veut dire des choses claires pour tout le monde, la
multiplicité et la vigueur des mouvements sont des signes que le fœtus
contenu dans l'utérus est du sexe masculin; mais ce ne sont pas là non
plus des signes constants; car il peut arriver quelquefois qu'une fille est
plus robuste qu'un garçon et accomplit dans le sein de sa mère des mou-
vements à la fois vigoureux et multiples, tandis que le contraire peut
22 avoir lieu pour un garçon. L'accouchement des filles se fait avec plus

2-3. *χάσκει μὲν, τουτέσ7ιν ἀντὶ τοῦ κέχηνε* F. — 5. *εὐχρ… ἄῤῥεν* om. Gal. — 7-9. *ὡς ὁ… κεφ. μ′* om. Gal. — 10. *Ὡς….. πᾶσι*] *δῆλον δὲ ὅτι καὶ ἄλλα ἐσ7ὶ* Gal.— 11. *ἄῤῥεν ὥσπερ αὐτοῦ τοῦ κυουμένου τό πλ.* Gal. — Ib. *ἐσ7ι* om. Gal.

βραδύτερον καὶ δυσχερέσΊερον ἀποτίκτεται, καὶ κακοπαθοῦσι μᾶλ-
λον αἱ μητέρες αὐτῶν ἐν τῷ τόκῳ. Ταῖς δὲ ἔτι κατὰ γασΊρὰ ἐχούσαις 23
ἅπαξ μὲν ἢ δὶς ὀλίγον ἐκκριθὲν αἷμα πολλάκις ἐπιφαίνεται χωρὶς
τοῦ πεπονθέναι τι τὸ ἔμϐρυον· ὅταν δὲ μηδὲν ἀπολίπηται τοῦ πλή-
θους τῆς τῶν ἐμμήνων καθάρσεως, ἐφεξῆς δὲ σώζῃ τὴν προθεσμίαν
τῶν περιόδων κατὰ τοὺς μῆνας, ἀδύνατον ὑγιαίνειν τὸ ἔμϐρυον,
εἴπερ γε τὸ ἐῤῥωμένον εἰς τὴν τροφὴν τὴν ἑαυτοῦ καταχρῆται τῷ
φερομένῳ πρὸς τὰς μήτρας ἐξ ὅλου τοῦ σώματος. Ἐρυθροῦ δὲ τῆς 24
γυναικὸς τοῦ προσώπου γενομένου καὶ πυρετῶν ἀσωδῶν καὶ φρι-
κωδῶν καὶ τοῦ σώματος ὅλου κοπώδους, ὀδύνης τε κατὰ τοῦ βάθους
τῶν ὀφθαλμῶν καὶ βάρους τῆς κεφαλῆς, εὔλογόν ἐσΊι διαφθείρεσθαι
τὸ ἔμϐρυον. Ἥ γε μὴν ἔκκρισις ἡ γινομένη ταῖς κυούσαις ἐκ τῶν 25
κατὰ τὸν αὐχένα φλεϐῶν ἔοικεν ἐπιφαίνεσθαι· τῶν γὰρ ἔνδον ἐν
αὐτῷ τῷ κύτει τῆς μήτρας ἐξῆπΊαι τὸ χορίον ὥσΊε οὐδὲν διὰ ἐκεί-
νων εἰς τὸν γυναικεῖον κόλπον ἐκκριθῆναι δύναται. Φυλακτέος δὲ 26

de lenteur et plus de difficulté que celui des garçons, et, dans le premier
cas, les mères souffrent davantage pendant le travail. Pendant le cours de la 23
grossesse, il se montre souvent une ou deux fois un écoulement de sang
peu considérable sans que l'enfant en éprouve le moindre dommage;
mais, si la quantité de cet écoulement ne reste point du tout en deçà de
celle des règles, et si, plus tard, il suit le cours régulier des époques men-
suelles, il est impossible que le fœtus continue à se bien porter, car
un enfant robuste emploie pour se nourrir le sang qui de tout le corps
se porte vers la matrice. Si la figure de la femme est rouge, si elle 24
éprouve des fièvres accompagnées d'anxiété et de frisson, si elle a un
sentiment de fatigue par tout le corps, s'il y a de la douleur au fond
des orbites et de la pesanteur à la tête, il est probable qu'elle aura un
avortement. L'écoulement qui se montre chez les femmes enceintes 25
semble provenir des veines du col, car le chorion est attaché à celles
qui se trouvent dans l'intérieur de la cavité de l'utérus : il est donc im-
possible que, par ces veines, il coule quelque chose dans le vagin. Il faut 26

3. ἢ om. F. — 4. πεπονθέναι] περὶ ποθένεν F. text.; τοῦ περιποθέναι marg. — Ib. δή F. — Ib. ἀπολείπηται Gal. — 12. γενομένη F. — 14. ἐξήρτηται Gal.

ἐστιν ὅ τε κατὰ τὴν πρώτην γένεσιν τοῦ ἐμβρύου χρόνος καὶ ὁ
μετὰ ταῦτα ἤδη τελειωθέντος· ἔν τε γὰρ τῷ πρώτῳ χρόνῳ, κἂν
ἅλλεσθαι συμβῇ ποτε τὴν γυναῖκα ἢ καταπεσεῖν ὀλισθοῦσαν, ἤ
πως ἄλλως σφοδρότερον ἢ κατὰ ψυχὴν, ἢ κατὰ σῶμα κινηθῆναί τι,
ῥᾳδίως ἀποῤῥήγνυται· παραπλησίως δὲ κἀπειδὰν ἤδη τέλεον τυγ-
χάνῃ· ὁ δὲ μεταξὺ χρόνος ἀσφαλεστέραν ἔχει τὴν πρόσφυσιν ὥστε
κινήσεων σφοδροτέρων ἀνέχεσθαι τὴν κύουσαν ἄνευ τοῦ βλαβῆναι
27 τὸ ἔμβρυον. Τῆς δὲ κυήσεως οὐκ ἦν ὡρισμένος χρόνος, οὔτε τῆς
τῶν ἑπταμήνων βρεφῶν, οὔτε τῶν ἐννεαμήνων καὶ δεκαμήνων, καὶ
εἰς ὅσον γε διαφέροντας ἐκ τῆς πείρας ἐφώρασα τοὺς χρόνους ἐπὶ τῶν
ἑπταμήνων, νῦν ἐρῶ, μηνύσας τὰ διὰ ὅλου τοῦ βίου μοι γνωσθέντα
πάνυ φιλοπόνως βουληθέντι γνῶναι τὰς ἀκριβῶς παραφυλαχθείσας
ταῖς γυναιξὶ συλλήψεις τοῦ σπέρματος, ὧν ἀγνοουμένων οὐδὲ ὁ τῆς
28 κυήσεως χρόνος εὑρεθῆναι δύναται. Τὰς μὲν δὴ πλείστας εὗρον ἐν

prendre garde à l'époque de la formation primitive du fœtus, et, plus tard,
à celle où il a déjà achevé son évolution : en effet, si, durant la première
époque, il arrive par hasard à la femme de sauter, de faire une chute
en glissant, ou d'accomplir, de quelque autre façon que ce soit, un
mouvement violent, soit de l'âme, soit du corps, le fœtus est facilement
arraché [de la matrice]; il en est de même lorsqu'il a déjà achevé son évo-
lution; mais, pendant l'époque intermédiaire, il y tient plus solidement,
de sorte que la femme supporte des mouvements plus violents sans faire
27 du tort à son enfant. Il n'y a pas de durée fixe pour la grossesse, ni pour
celle des enfants de sept mois, ni pour celle des enfants de neuf mois,
ni pour celle des enfants de dix mois; je dirai maintenant ce que l'ex-
périence m'a appris par rapport aux variations de durée de la grossesse
de sept mois; j'exposerai, à cet effet, ce que j'ai reconnu pendant tout
le cours de ma vie, m'étant attaché avec la plus grande assiduité à me
renseigner par une observation exacte sur le moment où les femmes con-
çoivent le sperme; car, si on ne saisit pas ce moment, il n'est pas possible
28 non plus de découvrir la durée de la grossesse. J'ai donc trouvé que la

3. γυναῖκα καὶ καταπεσεῖν F. — Ib. ὀλισθήσασαν Gal. — 4. ὁπωσοῦν ἄλλως Gal. — Ib. τι ex em.; τε F; om. Gal. — 6. σύμφυσιν Gal. — 11. νῦν om. Gal. — Ib. μηνύσας om. Gal. — 12, ἄκρως F.

τῷ μεταξὺ τῶν ρζ' καὶ σ' ἡμερῶν τετοκυίας, ὀλίγας δὲ ἤτοι πρωϊαίτεραν, ἢ ὀψιαίτερον, οὐδεμίαν δὲ θᾶττον τῶν ρπδ' ἡμερῶν, οὔτε ἐξωτέρω τῶν σδ', καί τινα μίαν οἶδα γυναῖκα τεκοῦσαν ρπδ' ἡμέρας συμπληρωθείσης. Ἰστέον δὲ ὅτι πολλαῖς τῶν γυναικῶν ὠδῖνες βίαιοι 29
τὰς μήτρας ὅλας ἐκπεσεῖν ἠνάγκασαν, παραπλησίου τινὸς γινομένου τῷ πολλάκις ἐν παλαίστραις τισὶ συμβαίνοντι ὅταν ἀνατρέψαι τε καὶ καταβαλεῖν ἑτέρους σπεύδοντες αὐτοὶ συγκαταπέσωσιν· οὕτω γὰρ καὶ αἱ μῆτραι τὸ ἔμβρυον ὠθοῦσαι συνεξέπεσον ἐνίοτε, καὶ μάλιστα ὅταν οἱ πρὸς τὴν ῥάχιν αὐτῶν δεσμοὶ χαλαροὶ φύσει τυγχάνωσιν ὄντες.

δ'. Πότε ἄρχεται τὸ σπέρμα καὶ πότε λήγει; ἐκ τῶν Ἀθηναίου.

Ἄρχεται μὲν τοῖς πλείστοις ἀπὸ τῶν τεσσαρεσκαίδεκα ἐτῶν 1
ἐκκρίνεσθαι τὸ σπέρμα· γόνιμον δὲ γίνεσθαι, τισὶ μὲν ἀπὸ τῶν

plupart des femmes accouchent entre le cent quatre-vingt-dixième et le deux centième jour; que, chez un petit nombre, cette époque avance ou retarde, mais que, chez aucune, la parturition n'a lieu, ni avant le cent quatre-vingt-quatrième jour, ni après le deux cent quatrième, et je connais une femme qui a accouché après cent quatre-vingt-quatre jours accomplis.
Il faut savoir que, chez beaucoup de femmes, des douleurs violentes de 29
l'accouchement amènent une chute de l'utérus tout entier; cet accident est l'analogue de ce qui arrive souvent à certaines gens dans les palestres, lorsque, s'évertuant à renverser et à terrasser leurs adversaires, ils tombent eux-mêmes avec eux : en effet, en poussant le fœtus, la matrice tombe quelquefois conjointement avec lui, surtout quand les ligaments qui attachent cet organe à l'épine du dos sont naturellement lâches.

4. QUAND COMMENCE ET QUAND FINIT LA SECRÉTION DU SPERME. — TIRÉ D'ATHÉNÉE.

Le sperme commence à être secrété, chez la plupart des hommes, à 1
partir de quatorze ans; il commence à devenir fécond chez quelques-uns dès dix-huit ans, mais, chez le plus grand nombre, c'est vers l'accom-

2. *οὐδεμίας οὔτε θ*, Gal. — 3. *ρπδ'*] *ρπϛ' καὶ ἡμίσιος* (sic) *καὶ τινων ὡρῶν* Gal. — 5. *τινός* om. F. — 6. *τοῦ* F. — Ib. *πάλαις τισὶ καὶ φιλονεικίαις* Gal. — Ib. *συμβαίνοντος* F. — 9. *τὸν αὐτὸν δεσμόν* F; *αὐτῶν σύνδεσμοι* Gal.

2 ὀκτωκαίδεκα, τοῖς δὲ πλείστοις περὶ τὰς τρεῖς ἑβδομάδας. Ἄγονον δὲ γίνεται περὶ τὰς ἐννέα ἑβδομάδας· τοῖς δὲ εἰς τὸ παντελὲς γῆρας ἀφικνουμένοις καὶ εἰς τέλος ἐκλείπει.

ε'. Περὶ ὀκταμήνων· ἐκ τῶν Ἀριστοτέλους τοῦ φιλοσόφου.

1 Περὶ τῶν ὀκταμήνων εἰσί τινες οἵ φασιν οὐθὲν ζῆν· τοῦτο δέ ἐστι ψεῦδος· ζῇ γάρ, καὶ τοῦτο μάλιστα μὲν ἐν Αἰγύπτῳ δῆλον διὰ τὸ τρέφειν τε πάντα τὰ γινόμενα τοὺς Αἰγυπτίους, καὶ ἔτι τὰς γυναῖκας ἐκφόρους εἶναι, καὶ τῶν παίδων τὴν τροφὴν μὴ εἶναι ἐπίκαιρον, εἴτε διὰ τὴν κουφότητα τοῦ ὕδατος· ὥσπερ γὰρ ἀφηψη-
2 μένον τὸ τοῦ Νείλου ὕδωρ ἐστίν· εἴτε καὶ διὰ ἄλλας αἰτίας. Οὐ μὴν
ἀλλὰ καὶ ἐν τῇ Ἑλλάδι τηροῦσιν ἔστιν ἰδεῖν οὕτως ἔχειν, ὥστε τὸ μὲν ἅπαντα τὰ ὀκτάμηνα μὴ ζῆν οὐκ ἀληθές ἐστιν, ὅτι μέντοι ὀλίγα καὶ ἧττον τῶν ἑπταμήνων τε καὶ τῶν ἐκ τοῦ πλείονος ἀριθμοῦ γενομένων ἀληθές· καὶ γὰρ ἐνδεκάμηνον δοκεῖ γεννᾶσθαι, καὶ δεκά-

2 plissement de la troisième semaine [d'années]. Le sperme devient stérile après environ neuf semaines [d'années] accomplies, et, chez ceux qui parviennent à l'extrême vieillesse, il finit par manquer.

5. DES FOETUS DE HUIT MOIS. — TIRÉ D'ARISTOTE LE PHILOSOPHE.

1 Quant aux fœtus de huit mois, il y a des gens qui prétendent qu'il n'y en a pas un seul qui survive; mais cela n'est pas vrai, car il y en a qui survivent, et on s'en aperçoit surtout en Égypte par le fait que, dans ce pays, on élève tous les enfants qui viennent au monde, que les femmes y sont fécondes, et que les enfants sont à l'abri de ce qui peut leur nuire pendant qu'on les élève, que cela tienne à la légèreté de l'eau (car l'eau du Nil est comme si elle était cuite), ou à d'autres
2 causes. Cependant, si on y fait attention, on peut voir que la même chose a lieu aussi en Grèce : il n'est donc pas vrai que tous les enfants de huit mois ne survivent pas; mais il est vrai que le nombre de ceux qui survivent est petit, et moindre que pour les enfants de sept mois et pour ceux qui naissent après un plus grand nombre de mois; car il

Ch. 5; l. 13. γεννᾶν F.

μηνον. Ὅσα μὲν οὖν γίνεται πρότερον τῶν ἑπτὰ μηνῶν, οὐθὲν οὐδα- 3
μοῦ δύναται ζῆν· τὰ δὲ ἑπτάμηνα γόνιμα γίνεται πρῶτον, ἀσθενῆ
δὲ τὰ πολλά· διὸ καὶ σπαργανοῦσιν ἐρίοις αὐτά· πολλὰ δὲ καὶ
τῶν πόρων ἐνίους ἔχοντα ἀσχίστους, οἷον ὤτων καὶ μυκτήρων,
ἀλλὰ ἐπαυξανομένοις διαρθροῦνται, καὶ βιοῦσι πολλὰ καὶ τῶν
τοιούτων. Τὰ δὲ ὀκτάμηνα περὶ μὲν Αἴγυπτον καὶ ἐν ἐνίοις τόποις, 4
ὅπου εὐέκφοροι αἱ γυναῖκες, καὶ φέρουσί τε πολλὰ καὶ τίκτουσι, καὶ
γενόμενα δύναται ζῆν, κἂν τερατώδη γένηται. Ἐνταῦθα μὲν οὖν ζῇ 5
τὰ ὀκτάμηνα καὶ ἐκτρέφεται· ἐν δὲ τοῖς περὶ τὴν Ἑλλάδα τόποις
ὀλίγα πάμπαν σώζεται, τὰ δὲ πολλὰ ἀπόλλυται, καὶ διὰ τὴν ὑπό-
ληψιν, κἂν σωθῇ τι, νομίζουσιν οὐκ ὀκτάμηνον εἶναι τὸ γενόμενον,
ἀλλὰ λαθεῖν ἑαυτὰς αἱ γυναῖκες συλλαβοῦσαι πρότερον. Πονοῦσι 6
δὲ αἱ γυναῖκες μάλιστα τὸν μῆνα τὸν τέταρτον καὶ τὸν ὄγδοον, καὶ

semble qu'il naît des enfants de onze mois et de dix mois. Aucun des en- 3
fants qui naissent avant le septième mois ne peut donc survivre, dans
quelque pays que ce soit; c'est seulement à sept mois que l'on naît viable,
mais la plupart des enfants de sept mois sont faibles : voilà pourquoi on
les emmaillote avec de la laine; plusieurs d'entre eux naissent même avec
une imperforation de quelques-unes des ouvertures, comme celles des
oreilles et des narines; mais, pendant la croissance, ces ouvertures s'or-
ganisent, et même plusieurs de ces enfants survivent. En Égypte et dans 4
certaines localités où les femmes sont fécondes, portent et mettent au
monde beaucoup d'enfants, ceux de huit mois peuvent survivre après la
naissance, quoique ce soit un prodige. Dans ces pays donc les enfants de 5
huit mois survivent et on mène leur éducation à bonne fin; mais, dans
les localités de la Grèce, il y en a très-peu qu'on conserve; la plupart, au
contraire, périssent, et, lorsqu'il y en a un qui reste en vie, les femmes,
par l'effet d'une opinion préconçue, pensent que l'enfant qui vient de
naître n'est pas un enfant de huit mois, et qu'elles ont conçu plus tôt
sans s'en douter. Les femmes [enceintes] souffrent le plus dans le qua- 6
trième et dans le huitième mois, et, si elles avortent dans ces mois, elles

1. *πρότερα* Arist. — Ib. *τῶν ἑπτα-μήνων* F. — 1-2. *οὐδὲν οὐδαμῇ* Arist. — 4. *ἐλαχίστους* F. — 5. *διαρθροῦται* Arist. — 6-11. *καὶ ἐν..... σωθῇ τι* ex Arist.; om. F. — 11. *γεγενημένον* Arist.

ἐὰν διαφθείρωσι δ' ἢ η' μηνὶ, διαφθείρονται καὶ αὐταὶ ὡς ἐπὶ τὸ πολὺ, ὥστε οὐ μόνον τὰ ὀκτάμηνα οὐ ζῇ, ἀλλὰ καὶ διαφθειρομένων
7 αἱ τίκτουσαι κινδυνεύουσιν. Τὸν αὐτὸν δὲ δοκεῖ τρόπον λανθάνειν καὶ ὅσα φαίνεται τίκτεσθαι πολυχρονιώτερα τῶν δέκα μηνῶν· καὶ γὰρ τούτων ἡ τῆς συλλήψεως ἀρχὴ λανθάνει τὰς γυναῖκας· πολλάκις γὰρ πνευματικῶν γενομένων ἔμπροσθεν τῶν ὑστερῶν, μετὰ ταῦτα πλησιάσασαι καὶ συλλαβοῦσαι ἐκείνην οἴονται τὴν ἀρχὴν εἶναι τῆς συλλήψεως.

ϛ'. Περὶ μύλης.

1 Τίκτουσι γὰρ ὃ καλοῦσι μύλην οἷον συνέβη τινὶ γυναικὶ συγγενομένῃ τῷ ἀνδρὶ καὶ δοξάσῃ συλλαβεῖν, ὅ τε ὄγκος ηὐξάνετο τῆς ὑστέρας
2 καὶ τἄλλα ἐγίνετο τὸ πρῶτον κατὰ λόγον. Ἐπεὶ δὲ ὁ χρόνος ἦν τοῦ τόκου, οὔτε ἔτικτεν, οὔτε ὁ ὄγκος ἐλάττων ἐγίνετο, ἀλλὰ ἔτη τρία ἢ

meurent le plus souvent elles-mêmes; les enfants de huit mois n'ont donc pas seulement l'inconvénient de ne pas survivre, mais, en cas d'a-
7 vortement, ils mettent aussi la mère en danger. C'est de la même manière que les enfants qui semblent venir au monde après un espace de temps plus long que dix mois paraissent avoir été conçus sans qu'on s'en aperçoive; car, pour ces enfants, les femmes ne reconnaissent pas non plus le début de la conception : souvent, en effet, quand l'utérus est préalablement rempli de gaz, et qu'ensuite les femmes ont des rapports sexuels et conçoivent, elles prennent l'époque où le gaz remplissait l'utérus pour le début de la conception.

6. DE LA MÔLE.

1 Les femmes mettent aussi au monde ce qu'on appelle une *môle :* c'est ce qui arriva à une femme chez laquelle, après des rapports avec son mari qui lui firent croire qu'elle avait conçu, le volume de l'utérus augmenta et tout le reste se passa d'abord conformément à cette opinion.
2 Mais, lorsque le temps de l'accouchement fut arrivé, elle n'accoucha pas, le volume [du ventre] ne diminua pas, et elle resta dans cet état trois

4. ἕνδεκα μηνῶν Arist. — 6. πνευμάτων F. — 7. συλλαμβάνουσαι F. — Ch. 6; l. 9-10. συγγενομένης... δοξάσης Arist. (*Hist. an.*). — 10-11. τὸ πρῶτον post συλλαβεῖν Arist. (*Gen. an.*). — 10. γαστρός Arist. (*Gen. an.*). — 12. οὔτε ὄγγος F.

τέσσαρα οὕτω διετέλεσεν ἕως δυσεντερίας γενομένης αὐτῇ καὶ κιν-
δυνευσάσης αὐτῆς δηλονότι ἔτεκε σάρκα εὐμεγέθη ἣν καὶ μύλην κα-
τωνόμασαν· ἐνίαις δὲ συγκαταγηράσκει τὸ πάθος καὶ συναποθνή-
σκει. Πότερον δὲ διὰ θερμότητα δηλονότι γίνεται τὸ πάθος τοῦτο, 3
ὅταν τύχῃ ἡ ὑσΊέρα ξηρὰ καὶ θερμὴ οὖσα, καὶ διὰ ταῦτα σπασΊικὴ
πρὸς ἑαυτὴν, καὶ οὕτως ὡς ἀνελέσθαι καὶ φυλάξαι πρὸς αὐτήν; οὕτω
γὰρ ἐχούσαις ἐὰν μὴ μεμιγμένον ᾗ τὸ ἐξ ἀμφοῖν, ἀλλὰ ὥσπερ ὑπη-
νέμιον δέξηται ἀπὸ θατέρου, τότε γίνεται ἡ καλουμένη μύλη, οὔτε
ζῷον διὰ τὸ μὴ παρὰ ἀμφοῖν, οὔτε ἄψυχον διὰ τὸ ἔμψυχον ληφθὲν
εἶναι ὥσπερ τὰ ὑπηνέμια. Πολὺν δὲ χρόνον ἐμμένει· τῷ γὰρ μὴ 4
ζῷον εἶναι οὐ κινούμενον, οὐ ποιεῖ τὴν ὠδῖνα· ἡ γὰρ κίνησις τῶν
συνδέσμων ὠδίς ἐσΊιν, ἣν διὰ τὸ ζῆν προΐεται τὸ ἔμβρυον. Καὶ ἡ 5

ou quatre ans de suite, jusqu'à ce qu'ayant été prise d'une dyssenterie
qui lui fit courir des dangers, elle accoucha d'un morceau de chair
considérable auquel on donna le nom de *môle;* chez quelques femmes
cette maladie reste compagne de la vieillesse et persiste jusqu'à la
mort. Cette maladie provient-elle du chaud, lorsque l'utérus est sec, 3
chaud, et, pour cette raison, capable d'attirer à soi à un tel degré qu'il
entraîne et conserve dans son intérieur [ce qu'il a attiré]? si, dans
cet état, les femmes n'ont pas de sperme provenant du mélange de ce-
lui des deux sexes, et si l'utérus, au contraire, conçoit, pour ainsi dire,
un œuf de vent (*œuf blanc*), provenant de l'un des deux seulement,
dans ce cas, dis-je, il se forme ce qu'on appelle une *môle,* et cette môle
n'est ni un animal, parce qu'elle ne provient pas des deux sexes, ni
un être inanimé, attendu que ce qui a été conçu était animé comme
les œufs de vent. La môle persiste pendant longtemps : en effet, n'é- 4
tant pas un animal, elle ne se meut pas, et, ne se mouvant pas, elle
ne produit pas les douleurs de l'accouchement, car ces douleurs sont un
mouvement des ligaments excité par le fœtus parce qu'il est vivant. Là 5

1. *διετέλει* Arist. (*Gen. an.*). — Ib. *γινομένης αὐτῆς* F. — 1-2. *κινδυνεύσασα ὑπ' αὐτῆς* Arist. (*Gen. an.*). — 2. *δηλονότι* om. Arist. *utrobique.* — Ib. *εὐμεγέθη* om. Arist. (*Gen. an.*). — 2-3. *ἣν καλοῦσι μύλην* Arist. *utrobique.* — 3-4. *ἀποθν.* F. — 4. *Καὶ γὰρ πότερον διά* F. — Ib. *δηλονότι* om. Arist. — 7. *ᾗ* ex em.; *ἐσΊί* Arist.; *ἔτι* F. — 7-8. *τὸ ὑπην.* Arist. — 8. *δέξηται* ex em.; *ἐδέξαιτο* (sic) F; *ἐνδέξαιτο* Arist. — Ib. *τότε*] *τούτου* F. — 9. *διὰ τὸ ἔμψυχον* om. F.

σκληρότης δὲ ἡ γενομένη τοῦ παθήματος μολύνσεως ἔργον ἐσΊιν·
οὕτω γὰρ γίνεται σκληρὸν, ὥσΊε πελέκει οὐ δύνανται διακόπΊειν.
6 Τὰ μὲν οὖν ἑφθὰ καὶ πάντα τὰ πεπεμμένα μαλακὰ γίνεται· τὰ δὲ
7 μεμολυμμένα ἄπεπΊα καὶ σκληρά. Πολλοὶ δὲ ἰατροὶ ἀγνοοῦντες διὰ
ὁμοιότητα μύλας εἶναι τὸ πάθος φάσκουσιν, ἂν μόνον ἴδωσι τάς
τε κοιλίας ἐπαιρομένας ἄνευ ὕδρωπος καὶ τῶν ἐπιμηνίων σχέσιν,
8 ὅταν χρονίσῃ τοῦτο τὸ πάθος. Τὸ δὲ οὐκ ἔσΊιν· ὀλιγάκις γὰρ
9 γίνονται αἱ μύλαι. Ἄλλοτε μὲν οὖν σύῤῥοια γίνεται ψυχρῶν καὶ
ὑγρῶν περιτΊωμάτων καὶ λεπΊῶν καὶ ὑδαρῶν, ἄλλοτε δὲ παχυτέ-
ρων εἰς τὸν περὶ τὴν κοιλίαν τόπον, ἐὰν τὴν φύσιν τοιαῦτα ἢ τὴν
ἕξιν ὦσιν, ταῦτα δὲ οὔτε ὀδύνην παρέχει, οὔτε θερμαίνεται διὰ
ψυχρότητα, αὔξησιν δὲ λαβόντα, τὰ μὲν μείζω, τὰ δὲ ἐλάτΊω, οὐ-
δεμίαν ἄλλην ἐπισπῶνται νόσον παρὰ ἑαυτὰ, ἀλλὰ ὥσπερ πληρώ-

dureté propre à cette production morbide est la suite d'une coction
imparfaite, car la môle devient tellement dure, qu'on ne saurait la
6 fendre avec une hache. Toutes les choses cuites et amenées à matura-
tion deviennent molles, tandis que les choses qui ne sont parvenues qu'à
7 une maturité imparfaite sont crues et dures. Beaucoup de médecins, in-
duits en erreur par la similitude, disent qu'il s'est formé une *môle* dès
qu'ils voient le ventre se tuméfier sans qu'il y ait hydropisie, et qu'ils
observent une rétention des règles, pourvu, toutefois, que cette maladie
8 dure longtemps. Mais cela n'est pas exact, car les môles sont une ma-
9 ladie rare. Quelquefois donc il y a, vers la région du ventre, accumula-
tion soit de résidus froids, humides, ténus et aqueux, soit de résidus
plus épais, s'il existe [dans le corps] des résidus de cette nature congé-
nitalement, ou par l'effet d'une disposition acquise; mais ces produc-
tions ne causent pas de douleur; elles ne s'échauffent pas, à cause de
leur froideur, et, lorsqu'elles font des progrès plus ou moins considé-
rables, elles ne traînent à leur suite aucune autre maladie, mais restent
en repos, comme si c'étaient des matières inertes destinées à remplir.

1. γινομένη Arist. — Ib. μολύσεως F; κωλύσεως Arist. — 4. Ὅτι πολλοὶ ἰατ. Arist. — 5. λέγουσιν Arist. ed.; πάσχουσιν Codd. Arist. — 7. χρονίζῃ Arist. — Ib. τόδε οὐκ F. — 8. σύῤῥους Arist. — 9. καὶ λεπΊῶν om. Arist. — 10-11. τοιαῦτα ἢ τὴν ἐξίνωσιν F; τοιαῦτα ἢ ἢ τὴν ἕξιν Arist. — 11. δέ ex em.; γάρ F Arist. — 13-p. 68, l. 1. πή-ρωμά τι Arist.

ματα ἡσυχάζει. Ἡ δὲ ἀπόληψις τῶν καταμηνίων γίνεται διὰ τὸ 10
δεῦρο καταναλίσκεσθαι τὰ περιττώματα ὥσπερ καὶ ὅταν θηλάζων-
ται. Ἔστι δὲ ὅτε καὶ εἰς τὸν μεταξὺ τόπον τῆς ὑστέρας καὶ τῆς κοι- 11
λίας συῤῥέον ἐκ τῆς σαρκὸς δοκεῖ μύλη εἶναι, οὐκ οὖσα. Ἔστι δὲ 12
οὐ χαλεπὸν γνῶναι, ἂν μύλη ᾖ θιγγανούσῃ τῆς ὑστέρας· ἂν γὰρ
ᾖ εὐσταλὴς καὶ μὴ ἔχουσα αὔξησιν, δῆλον ὅτι οὐκ ἐν ἐκείνῃ τὸ πά-
θος· ἐὰν δὲ τοιαύτη ᾖ οἵα ὅτε παιδίον ἔχει, μύλη, θερμή τε καὶ
ξηρά ἐστι, διὰ τὸ εἴσω τετράφθαι τὰ ὑγρὰ, καὶ τὸ στόμα τοιαύτη
οἷον ὅταν κύωσιν. Ἐὰν δέ τις ἄλλος ᾖ ὄγκος, ψυχρὰ ἔσται θιγ- 13
γανομένη, καὶ οὐ ξηρὰ, καὶ ἀεὶ τὸ στόμα ὅμοιον. Μάλιστα δὲ λαν- 14
θάνει, ὅσαι οἴονται εἶναι ἀδύνατον συλλαβεῖν, ἐὰν μὴ ἐπιξηρανθῇ
καὶ ἐπιδήλως ἀφανισθῇ τὸ δοθέν. Συμβαίνει δὲ ἐνίοτε προέσθαι 15

La rétention des règles a lieu parce que les résidus sont consumés en vue 10
de l'accroissement de la môle, de même que cela a lieu [en vue du lait]
pendant la lactation. Quelquefois aussi ce qui, en venant des chairs, con- 11
verge vers l'espace intermédiaire entre le canal intestinal et l'utérus,
semble constituer une môle, quoique ce n'en soit pas une. Il n'est pas dif- 12
cile, pour une sage-femme, de reconnaître, en touchant l'utérus, s'il existe
une môle; en effet, si cet organe est mobile et en bon état, et si son vo-
lume n'a pas augmenté, il est clair que la maladie ne réside pas en lui;
si, au contraire, il est dans le même état que lorsqu'il contient un
enfant, il y a une môle, l'utérus est chaud et sec, parce que les liquides
se sont tournés vers l'intérieur, et l'orifice de l'utérus est dans le même
état que pendant le grossesse. S'il existe quelque autre tumeur, l'utérus 13
sera froid, mais non sec, au toucher, et son orifice restera toujours dans
le même état. La conception s'opère dans certains cas sans qu'on en ait 14
conscience, surtout chez les femmes qui pensent qu'elles ne sauraient
concevoir, à moins que le sperme que leur fournit leur mari ne se des-
sèche et ne disparaisse manifestement. Quelquefois il arrive que la 15

1. ἀπόλειψις Arist.; ἀπόλυσις F. — 5. ἐὰν ἡ μύλη ᾖ F; ἂν μύλη Arist. — Ib. θιγγανούσῃ ex em.; θιγγάνουσα F; — θιγγάνουσα ᾖ Arist. — Ib. ἐάν F. — 7. οἵαν ὅταν F; οἷον ὅτε Arist. — Ib. μύλην Arist. — 7-8. θερμή τε καὶ ψυχρὰ καὶ ξηρά Arist. — 8. ἔσται Arist. — 8-9. τοιαύτη..... κύωσιν om. F. — 9. τι ἄλλο ᾖ ὁ ὄγκος Arist. — 12. προΐεσθαι Arist.

πλέον καὶ αὐτὴν καὶ τὸν ἄνδρα, οὗ ἂν δύνηται ἀφανίσαι, καὶ τοῦ
16 *ἱκανοῦ. Ὅταν οὖν σπάσῃ μὲν ἱκανὸν, λειφθῇ δὲ πολὺ, τότε λανθά-*
17 *νουσι κυϊσκόμεναι. Ὅτι δὲ τοιοῦτον ἐνδέχεται γίνεσθαι, καὶ οὐκ ἐξ ἅπαντος γίνεται τὸ πάθος, δηλοῖ ὅσα τῶν ζῴων ἀπὸ μιᾶς ὀχείας πολλὰ τίκτεται, καὶ ἡ τῶν διδύμων γένεσις, ὅταν ἀπὸ μιᾶς γένηται· δῆλον γὰρ ὅτι οὐκ ἐξ ἅπαντος ἐγένετο, ἀλλὰ μέρος τι αὐτοῦ ἔλαβέ τις τόπος, τὸ δὲ περιελείπετο πολλαπλάσιον.*

ζʹ. Περὶ συλλήψεως καὶ ἐπικυήσεως.

1 *Αἱ δὲ συλλήψεις γίνονται μὲν οὐ πολὺ μετὰ τὰς καθάρσεις, ὀλιγάκις δὲ καὶ πρὸ τῆς καθάρσεως αὐταῖς τοσοῦτον ἐχούσαις τὸ περίσσευμα, ὅσον ἐσ7ὶ ταῖς ἄλλαις πρὸς τῷ λήγειν ἤδη γενομένης τῆς καθάρσεως· οὔτε δὲ μὴ γινομένων ὅλως τῶν καταμηνίων, οὔτε*

femme aussi bien que l'homme éjaculent plus de sperme qu'il n'en faut
16 et que l'utérus ne peut faire disparaître. Si donc l'utérus attire suffisamment, mais qu'il en reste beaucoup, les femmes sont enceintes sans
17 s'en douter. La possibilité de ce fait et aussi cet autre, que l'affection ne provient pas de tout le sperme, sont prouvés manifestement par les animaux qui viennent au monde en grand nombre à la suite d'une seule copulation, ainsi que par l'engendrement de jumeaux, lorsqu'ils proviennent d'un rapprochement sexuel unique : en effet, il est évident que l'affection ne provient pas de tout le sperme, mais qu'il y a un certain endroit qui en a pris une partie, tandis qu'il en restait tout autour une quantité beaucoup plus considérable.

7. DE LA CONCEPTION ET DE LA SUPERFÉTATION.

1 La conception se fait peu de temps après les règles, rarement aussi [immédiatement] avant cet écoulement chez les femmes qui alors ont une quantité de résidus aussi grande que les autres en ont quand les règles touchent déjà à leur fin ; mais la conception ne saurait se faire, ni quand les règles manquent complétement, ni longtemps après leur cessation ; la con-

1. *δύναιτο* F. — 2. *λειφθῆναι* F text.; *ληφθῆναι* corr. — 3-4. *οὐξ ἄπ.* F. — 5. *ἡ* om. F. — 6. *ἐξ οὐχ* Arist. — Ch. 7; l. 10. *γινομένης* F.

πεπαυμένων πρὸ πολλοῦ δυνατὸν γενέσθαι σύλληψιν· οὐδὲ μὴν ἀκμαζούσης τῆς καθάρσεως· ἔμπροσθεν μὲν γὰρ τῶν καθάρσεων τετυλωμένης τῆς μήτρας, οὐχ οἷόν τε προσφυῆναι τὸ σπέρμα· οὐδὲ μὴν ἀκμαζουσῶν· ἐκκλύζεται γὰρ ὑπὸ αὐτῶν ὁ γόνος· οὐδὲ πάλιν κατὰ πᾶν πεπαυμένων, καὶ τῆς μήτρας ἀνεξηραμμένης ἤδη καὶ κατεψυγμένης· ληγούσης δὲ τῆς καθάρσεως, καὶ τῆς μήτρας ἀκμὴν ἐναίμου τε οὔσης καὶ διαθέρμου, καὶ διὰ ταῦτα ὀργώσης πρὸς τὴν παραδοχὴν τοῦ σπέρματος, καιρὸς εὐφυὴς πρὸς σύλληψιν.
Γ*ίνεται δέ τισιν ἐπισύλληψις καὶ ἐπικύησις, αἷς ἐστιν ἑλκωσίς τε* 2
περὶ τὴν μήτραν καὶ τροφὴ ἱκανή· τισὶ μὲν οὖν ἀπὸ τῆς πρώτης συλλήψεως ἔτι μενούσης ἐπί τινας χρόνους τῆς ἑλκώσεως ὕστερον ἐπισυλλαμβάνουσι, τισὶ δὲ καὶ μετὰ ταῦτα, καταμηνίων ἐπιφανέντων, κατὰ ἄλλα μέρη τῆς ὑστέρας· διὸ καί τινες μετὰ ὀλίγον, τινὲς δὲ μετὰ πλείονα χρόνον, τῷ πρώτῳ ἕτερον ἐπιτίκτουσιν. Τ*ῶν δὲ* 3
ἐπικυουμένων τὰ μέν ἐστιν ἀτελῆ καὶ ἀδιάρθρωτα καὶ σαρκοειδῆ·

ception ne peut pas non plus avoir lieu quand les règles sont au plus fort de leur écoulement : en effet, avant les règles, l'utérus est calleux, et, pour cette raison, le sperme ne saurait s'agglutiner; la conception ne se fait pas non plus au plus fort des règles, parce qu'elles chassent le sperme en lavant; elle ne se fait pas non plus quand l'écoulement a complétement cessé et que l'utérus est déjà desséché et refroidi; mais quand l'écoulement est en train de cesser, que l'utérus est justement encore sanguinolent, pénétré de chaleur, et, pour cette raison, turgescent d'appétit pour accueillir le sperme, c'est là le moment favorable pour la concep-
tion. Chez certaines femmes qui présentent une ulcération de la matrice, 2
et qui ont des matériaux nutritifs en abondance, il se fait une conception supplémentaire et une superfétation; chez quelques-unes, cette seconde conception a lieu consécutivement quand l'ulcération persiste encore quelque temps après la première; chez d'autres, au contraire, elle ne se fait que plus tard dans une autre partie de l'utérus après une apparition des règles : c'est pour cette raison aussi que quelques femmes mettent au monde un second enfant peu après le premier, tandis que
d'autres ne le font qu'après un espace de temps plus prolongé. Parmi 3
ces enfants accessoires, quelques-uns sont incomplets, mal développés

τὰ δὲ διηρθρωμένα μὲν, ἀσθενῆ δέ· τινὰ δὲ αὐτῶν ἰσχυρότερα γίνεται τῶν ἔμπροσθεν.

η'. Περὶ διαπλάσεως ἐμβρύου. Ἐκ τῶν Γαληνοῦ.

1 Συνεχὲς ἑαυτῷ μένον τὸ σπέρμα κατὰ ὃν ὑπὸ τῆς μήτρας ἕλκεται
καιρὸν, ἐκτείνεται μὲν δήπου καὶ πλατύνεται, πάντων τῶν μορίων
τῆς μήτρας ὁμοίως ὀριγνωμένων αὐτοῦ, τῷ δὲ εἶναι γλίσχρον τε
καὶ παχὺ καὶ θερμοῖς ὁμιλεῖν σώμασιν ὑμενοῦται μὲν ῥᾳδίως,
ἀφίσταται δὲ ἀπὸ αὐτῶν, ὥσπερ τὸ ἴτριον ἀπὸ τοῦ χαλκοῦ σκεύους·
2 οὐ γὰρ οἷόν τε λεῖον λείῳ συναφθῆναι. Μεγίστη δὲ τοῦ λόγου πί-
στις· ἔνθα τραχύς ἐστι τῆς μήτρας ὁ χιτών· ἔστι δὲ δήπου τοιοῦτος
3 ἐν τοῖς στόμασι τῶν ἀγγείων· ἐκείνοις μόνοις συνδεῖται. Ἔχει δὲ
ὕλας οἰκείας, ἃς ἕλξειν ἤμελλε παρὰ τῆς μήτρας, αἷμα καὶ πνεῦμα
4 διὰ τῶν στομάτων οἷς συνῆπται. Καὶ τοίνυν εὐθὺς ταῦτα ἐπεσπάσατο
5 διὰ τοῦ περιέχοντος ὑμένος οὐδέπω σκληροῦ γεγονότος. Ἅμα τε οὖν

et semblables à une masse de chair; d'autres sont bien organisés, mais faibles; d'autres, enfin, naissent plus robustes que les premiers.

8. DE LA FORMATION DU FOETUS. — TIRÉ DE GALIEN.

1 Le sperme, qui, au moment où il est attiré par l'utérus, forme un
corps continu sans interruption, s'étend et s'affaisse parce que toutes les
parties de l'utérus le recherchent avec la même ardeur, et, comme il
est visqueux, épais, et en contact avec des corps chauds, il se transforme
facilement en membrane, et se détache de ces corps, comme l'itrion se
détache de l'ustensile de bronze : car il est impossible qu'un corps lisse
2 s'attache à un autre corps lisse. La preuve la plus forte de la vérité de
ce que je viens de dire, c'est que le sperme s'attache uniquement aux
endroits de la matrice où sa tunique est raboteuse; or elle est ainsi
3 faite sur les bouches des vaisseaux. A travers les bouches auxquelles il
est attaché, le sperme se procure les matériaux qui ont de l'affinité avec
4 lui, qu'il devait attirer de l'utérus et qui sont le sang et le pneuma. Il
attire donc tout de suite ces substances à travers la membrane qui l'en-
5 vironne et qui ne s'est pas encore durcie. En même temps que les

Ch. 8; l. 7. ὥστε ἴτριον ὑπό F. — 8. οὐδὲ οἷόν τε F.

ἐφέρετο τὰ παρὰ τῆς μήτρας ἐκ τῶν ἀγγείων ἑλκόμενα, καὶ ὁ ὑμὴν ἀεὶ καὶ μᾶλλον ἐγίνετο σκληρὸς, καὶ τέλος οὕτω μὲν ἤδη σύμπας ἦν σκληρός τε καὶ συνεχὴς ὅλον ἐν κύκλῳ περιλαμβάνων τὸ κύημα, μόνα δὲ ἐκεῖνα διετέτρητο, διὰ ὧν ταῖς ὕλαις ἦν ἡ φορά· ἅτε γὰρ οὐδένα χρόνον ἡσυχαζούσης τῆς ὁλκῆς, ἔμενεν ἀεὶ τὸ τρῆμα, τοῦ ὑμέ-νος οὐ δυναμένου συμφῦναι διὰ τὸ μηδὲ ἄλλο μηδὲν ἕτερον ἑτέρῳ δύ-
νασθαι συμφῦναι, μέσων ἱσῖαμένων ἀεικινήτων σωμάτων. Οὐ μό- 6
νον τοίνυν οὐ συμφύεται τὸ τρῆμα τοῦ ὑμένος, ἀλλὰ καὶ διὰ παντὸς εὐρύνεται πρὸς λόγον τοῦ πλήθους τῶν συῤῥεόντων, καὶ δὴ καὶ τῷ χρόνῳ συριγγουμένην τε ἅμα καὶ τυλουμένην τὴν ὁδὸν ἀγγεῖον
γίνεσθαι ἀναγκαῖόν ἐσῖιν. Τοῦτο μὲν οὖν συνίσῖαται· πάλιν δὲ 7
ἐπανέλθωμεν ἐπὶ τὴν ἀρχήν· ὅταν γὰρ ὑπὸ τὸν αὐτὸν χρόνον ἅμα τῷ ἄῤῥενι τὸ θῆλυ σπερμαίνῃ, διὰ ἑκατέρας τῶν κεραιῶν ἐξακοντι-ζόμενον τὸ σπέρμα καὶ φερόμενον εἰς μέσον τῆς μήτρας τὸ κύτος,

matières provenant de la matrice s'acheminent attirées hors des vaisseaux, la membrane se durcit toujours de plus en plus, et, de cette manière, elle devient enfin entièrement dure et continue, et entoure circulairement tout le produit de la conception, n'étant percée qu'aux seuls endroits à travers lesquels les matières cheminent : en effet, comme l'attraction ne chôme pas un seul instant, le trou de la membrane persiste toujours, et cette membrane ne saurait se coller en raison même de la cause pour laquelle aucune autre chose ne peut se réunir à une seconde, s'il existe dans l'espace intermédiaire des corps en mouvement
perpétuel. Par conséquent, le trou de la membrane non-seulement ne 6
s'agglutine pas, mais il s'élargit même toujours [de plus en plus] en raison de la quantité des matières qui affluent, et, comme, par l'effet du temps, la route se creuse et s'élargit en même temps qu'elle devient calleuse, il
doit indispensablement en résulter un vaisseau. Ce vaisseau donc se 7
forme; mais nous devons derechef revenir à notre point de départ : en effet, quand le mâle et la femelle éjaculent du sperme vers le même temps, celui qui est lancé à travers les deux cornes et s'achemine vers le milieu de la cavité de l'utérus, forme à la fois un enduit pour la route

1. *τά* om. F. — 2. *ἀεὶ καί*] *ἔτι* F. — Ib. *τελέως* Gal. — 9. *τοῦ διαῤῥέοντος* Gal. — 10. *τελεουμ.* Gal. — 11. *ἀναγκ. ἐσῖιν* om F.

ἅμα μὲν ὑπαλείφει τὰς ὁδοὺς, ἅμα δὲ ἐξικνεῖται πρὸς τὸ τοῦ ἄῤῥενος σπέρμα καὶ αὐτῷ μίγνυται τούτῳ, καὶ οἱ ὑμένες ἀλλήλοις ἐπιπλέκονται, οὗτός τε καὶ ὃν κατὰ τὴν οἰκείαν ὁδοιπορίαν εἰργάσατο τὸ τοῦ θήλεος σπέρμα τῷ κυήματι· λεπτότερον μὲν γάρ ἐστιν αὐτοῦ καὶ ψυχρότερον, οἰκειότερον δὲ ἄλλου παντὸς εἰς θρέψιν· ὅ τι γὰρ ἂν τῶν στομάτων ἅψηται τοῦ σπέρματος, ἐπισπᾶται διὰ αὐτοῦ τὴν τροφὴν ἐκεῖνο πρὸς ἑαυτὸ, τιτραμένου τοῦ ὑμένος, ὡσὰν ἔτι μαλακοῦ τε καὶ νεοπαγοῦς ὄντος, εἶτα ἐν τῷ χρόνῳ, καθάπερ ὀλίγον ἔμπροσθεν εἶπον, ἀγγεῖον γίνεται συμφυές τε ἅμα καὶ ὅμοιον τῷ
8 τῆς μήτρας. Καί σοι πάρεστι θεάσασθαι κατὰ τὰς τῶν ἐγκυμόνων ζώων ἀνατομὰς μετὰ ἀρτηριῶν καὶ φλεβῶν τὸν ἔξωθεν ὑμένα τῶν ἐμβρύων· ὀνομάζεται δὲ χορίον ὁ ὑμὴν οὗτος ὁ ἔξωθεν ὃν διοδεύουσιν αἱ ἀρτηρίαι τε καὶ αἱ φλέβες, ὕλας ἐκ τῆς μήτρας εἰς τὸ κυούμενον ἄγουσαι, τὴν ἀρχὴν τῆς γενέσεως ἐκ τῶν κατὰ τὰς μήτρας ἀρτη-

et parvient jusqu'au sperme du mâle, et se mêle avec lui, et les deux membranes, celle dont nous avons déjà parlé et celle que, pendant sa propre route, le sperme de la femelle a construite pour le produit de la conception, s'entrecroisent, car ce dernier sperme est plus ténu et plus froid que l'autre, et il est plus propre à servir à la nutrition que toute autre chose : en effet, toute partie du sperme tire par elle-même à elle la nourriture à travers les bouches avec lesquelles elle est en contact, en perçant la membrane, attendu qu'elle est encore molle et de formation récente; ensuite, par l'effet du temps, comme nous l'avions déjà dit un peu plus haut, il en résulte un vaisseau semblable à celui de la matrice et ne for-
8 mant qu'un tout avec lui. En disséquant des animaux pleins, vous pouvez voir cette membrane extérieure du fœtus conjointement avec les artères et les veines; or on appelle chorion cette membrane extérieure, traversée par les artères et les veines qui charrient des matières de la matrice au produit de la conception et qui doivent le commencement de leur origine aux artères et aux veines de la matrice, puisqu'il n'existe pas d'autre com-

2. οἱ om. F. — Ib. ὑμέσιν Gal. — 2-3. ἐπιπλέκ. οὓς τότε κατά Gal. — 5. ἀλλ' οὐ πάντως F. — Ib. ὅ τι καὶ γάρ F. — 7. τετρημένου Gal. — 9. τὸ ἀγγεῖον F. — 11-12. ὑμένα τῶν φλεβίων ἢ καὶ μᾶλλον τῶν ἐμβρύων F. — 12-13. διοδεύουσιν ἀρτηρίαι F. — 14. κατὰ τῆς F.

*ριῶν καὶ φλεϐῶν ἔχουσαι, διὰ τούτων μόνον τῆς κοινωνίας οὔσης
τοῖς κυουμένοις ϖρὸς τὰς κυούσας· οὐδαμόθι γὰρ ἀλλαχόθι τέτρη-
ται τὸ χορίον, ἀλλὰ οὐδὲ ψαύει τῆς μήτρας ἢ κατὰ ταῦτα μόνα·
τὸ δὲ ἄλλο κύτος αὐτοῦ τὸ μεταξὺ ταῖς μήτραις μὲν ἔνδον ὑποτέτα-
ται, ψαύει δὲ αὐτῶν μόνον ἄνευ συμφύσεως, καὶ διὰ τούτου μόνου
συνάπτεται τῇ μητρὶ τὸ κυούμενον· ἐπὶ ἑκάστῳ γὰρ δὴ στόματι
τῶν εἰς τοὐντὸς τῆς μήτρας ἀγγείων, διὰ ὧνπερ καὶ τὸ καταμήνιον
εἰς αὐτὴν ἐφέρετο, γεννᾶται ϖαρὰ τὸν τοῦ κύειν καιρὸν ἕτερον ἀγ-
γεῖον, ἀρτηρία μὲν ἐπὶ τῷ τῆς ἀρτηρίας στόματι, φλὲψ δὲ ἐπὶ τῷ
τῆς φλεϐὸς, ὥστε εἶναι τὸν ἀριθμὸν ἴσα τὰ γεννώμενα τοῖς εἴσω
τῆς μήτρας ϖεραίνουσι στόμασιν.* Τέτταρα *γοῦν ἐνταῦθα τὰ ϖάντα* 9
*ἔστιν ἀγγεῖα, δύο μὲν ἀρτηρίαι, δύο δὲ φλέϐες, μέσον ἑαυτῶν ϖερι-
λαμϐάνουσαι τὸν ϖόρον ὃν οὐραχὸν καλοῦσι, διὰ οὗ συντέτρηται
ϖρὸς τὸν ϖυθμένα τῆς κύστεως ὁ ἀλλαντοειδὴς ὑμὴν, καὶ τὸ συγ-
κείμενον ἐκ τῶν ϖέντε τούτων γίνεται ὁ καλούμενος ὀμφαλός.* Πρῶ- 10

munication entre le fœtus et sa mère qu'à travers ces vaisseaux; en effet, le chorion n'est percé dans aucun autre endroit; qui plus est, il n'adhère à aucun autre endroit de la matrice, si ce n'est à leur niveau; tout le reste de sa cavité, intermédiaire entre les vaisseaux, est étendu sur la surface intérieure de la matrice; mais il est seulement en contact avec elle sans qu'il y ait cohérence, et c'est par là seulement que le fœtus est attaché à sa mère, car, sur chaque bouche d'un des vaisseaux qui se rendent dans l'intérieur de la matrice, et à travers lesquels le sang menstruel y arrivait, il se forme, pendant l'époque de la grossesse, un autre vaisseau, une artère sur la bouche d'une artère, et une veine sur celle d'une veine, de sorte que ces vaisseaux de nouvelle formation sont égaux en nombre aux bouches qui pénètrent dans l'intérieur de la
matrice. Il y a donc là en tout quatre vaisseaux, deux artères et deux 9
veines, qui entourent un canal placé au milieu d'eux, qu'on appelle *ouraque,* et qui établit une communication entre le fond de la vessie et la membrane allantoïde, et la réunion de ces cinq organes forme ce qu'on
appelle le cordon ombilical. La nature a donc d'abord placé le chorion au- 10

3. *τῆs* ex em.; *κατὰ τῆs* F; *κατά γε* *μόνον* ex em.; *μόνων* F Gal. — Ib. *μέ-τὰs* Gal. — 4-5. *ὑποτέτακται* F. — 5. *σου* Gal. — 11. *τά* ex em.; om F.

τον μὲν οὖν ἔξωθεν τῷ ἐμβρύῳ περιτέθεικεν ἡ φύσις τὸ χορίον, ἅμα δὲ αὐτῷ τὸν ἀλλαντοειδῆ πεποίηκεν ὑμένα, τὴν ὀνομασίαν ἀπὸ τοῦ σχήματος ἔχοντα· παραπλήσιος γάρ ἐστιν ἀλλᾶντι, κατὰ μὲν τὰς πρώτας ἡμέρας συνεργασόμενον, ὡς εἴρηται, τῷ χορίῳ τὴν γένεσιν, διαπλασθέντος δὲ τοῦ ζώου τὸ οὖρον ὑποδεξόμενον· ἀνάγκη γὰρ ἦν καὶ τῷ κυουμένῳ ζώῳ περιττώματα γενέσθαι τοσαῦτά τε καὶ τοιαῦτα κατὰ γένος ὅσα περ ὑπάρχει καὶ οἷα τοῖς ἀπολελυμένοις ἤδη τῆς μήτρας, ἀλλὰ οὖρον μὲν καὶ ἀποπάτημα διαπεπλασμένων τε καὶ διηρθρωμένων ἤδη τῶν μορίων, ἐξ ἀρχῆς δὲ εὐθέως τὸν ἀποῤῥέοντα τοῦ κυήματος ἀτμὸν ὃς ἀνάλογόν ἐστι τῷ τῶν τελείων
11 ζώων ἱδρῶτι. Καὶ τούτῳ τοίνυν ἀναγκαῖον ἦν γενέσθαι τινὰ ὑμένα, καθάπερ τῷ οὔρῳ τὸν ἀλλαντοειδῆ, καὶ δὴ καὶ γέγονεν ὁ ἄμνειος ὀνομαζόμενος ὅλον ἐν κύκλῳ τὸ κύημα περιλαμβάνων· ὁ γὰρ ἀλλαντοειδὴς, καίτοι πρότερος τοῦ ἀμνείου γεγονὼς, λεπτὸς ἦν καὶ

tour du fœtus, mais elle a construit conjointement avec cette membrane la membrane allantoïde, qui emprunte son nom à sa figure, puisqu'elle ressemble à une saucisse (ἀλλᾶς); cette dernière membrane, qui, pendant les premiers jours, doit, ainsi que nous l'avons dit, coopérer avec le chorion à la formation [du fœtus], est destinée, après la configuration de l'animal, à recueillir l'urine : car il était nécessaire que l'animal contenu dans le sein de sa mère eût des résidus égaux en nombre et en espèce à ceux qui sont propres aux animaux déjà détachés de la matrice, mais il ne devait avoir de l'urine et des excréments alvins qu'après la configuration et l'organisation des parties, tandis que la vapeur qui découle du produit de la conception, et qui est l'analogue de la sueur des animaux complets, devait exister tout de suite dès le commencement. Il
11 était donc nécessaire que cette vapeur eût aussi une membrane, comme l'urine possède la membrane allantoïde; et, en effet, la membrane dite amnios s'est produite, membrane qui entoure circulairement tout le produit de la conception : car la membrane allantoïde, quoiqu'elle se forme avant l'amnios, est mince et faible, puisque le sperme dont elle se forme

3-4. τῆς πρώτης ἡμέρας F. — 7. κατὰ γένος om. Gal. — 10. ἀνάλογόν ex em.; ἀνάλογός Gal.; ἀνάγων F. — 12. ἄμνιος F et sic sæpius.

ἄτονος, ἐξ ὀρωδεστέρου γεγονὼς σπέρματος· ἐχρῆν δὲ τὸν περιέξοντα τὸ ἔμβρυον ὑμένα πάχος ἔχειν ἰσχυρὸν, ὡς ἂν οὐ μόνον ἱδρῶτος ἀγγεῖον αὐτὸ γενησόμενον, ἀλλὰ καὶ πρὸς τὰς μελλούσας ἔσεσθαι τῶν κώλων κινήσεις ἀνθέξοντα. Τὸ μὲν οὖν ἱδρῶτος λόγῳ 12
κατὰ τὸν ἄμνειον ἀθροιζόμενον ἐν κύκλῳ περικέχυται τῷ κυουμένῳ, μηδὲν βλάπτειν αὐτοῦ τὸ δέρμα δυνάμενον· ἰδίᾳ δὲ αὐτοῦ ἀπῆκται τοῦδε καὶ ἀποκεχώρισται τὸ οὖρον, οὔτε τοῦ δέρματος, οὔτε τῶν κατὰ τὸ χορίον ἁπτόμενον φλεβῶν, ὅπως μηδὲν ὑπὸ τῆς δριμύτητος αὐτοῦ τὰ πλησιάζοντα βλάπτοιτο. Χρεία δὲ οὐ σμικρὰ καὶ ἥδε τοῦ 13
κατὰ τὸν ἄμνειον ὑγροῦ· κουφίζει γὰρ καὶ ἀνέχει καθάπερ ἐννῆχον ἑαυτῷ τὸ κυούμενον, ὅπως ἧττον εἴη βαρὺ τοῖς πρὸς τὴν μήτραν ἀρτήμασιν. Προσέρχεται δὲ καὶ ἄλλη τις χρεία τοῖς ὑγροῖς τοῖσδε 14
κοινὴ κατὰ τὴν ἀποκύησιν τοῦ ζώου γινομένη [τὸ] ῥᾷον ἐκπίπτειν τοῦ τῆς μήτρας αὐχένος τὸ κυούμενον ὑγρότητι πολλῇ τεγγόμενον, ῥηγνυμένων ἐξ ἀνάγκης τηνικαῦτα τῶν ὑμένων· οὐ μόνον γὰρ εἰς

se rapproche davantage du sérum; il fallait aussi que la membrane destinée à entourer le fœtus eût des parois épaisses et solides, puisqu'elle ne devait pas seulement être un réceptacle pour la sueur, mais résister aussi aux futurs mouvements des membres. Donc le liquide qui s'ac- 12
cumule en guise de sueur dans l'amnios est répandu circulairement autour du fœtus, parce qu'il ne saurait faire aucun tort à sa peau, mais l'urine est spécialement tenue éloignée et séparée de lui, et ne touche ni à la peau, ni aux veines du chorion, afin que son âcreté ne nuise en aucune façon aux parties avoisinantes. C'est encore une utilité assez importante 13
du liquide contenu dans le chorion, que la suivante : il soulève et supporte le fœtus, qui nage, pour ainsi dire, sur lui, afin qu'il pèse moins sur les liens qui l'attachent à la matrice. Il s'y ajoute encore une autre 14
utilité, qui est commune à tous ces liquides et qui se révèle lorsque l'animal est mis au monde : c'est celle de faciliter la sortie du fœtus à travers le col de la matrice, humecté qu'il est par une grande quantité de liquide, puisque les membranes doivent nécessairement se déchirer à ce moment : en effet, le liquide ne contribue pas seulement au glissement du

2. οὐ μόνον om. F. — 6. αὐτοῦ om. Gal. — 10. κουφίζεται γάρ Gal. — 13. [τό] ex em.; om. F Gal. — Ib. ἐκπίπτει F.

ὄλισθον συμβάλλεται τοῖς ἐμβρύοις ἡ ὑγρότης, ἀλλὰ καὶ τὸν αὐχένα
τῶν μητρῶν ἕτοιμον εἰς τὸ διαστέλλεσθαι μέχρι ϖλείστου ϖαρα-
σκευάζει· βρεχόμενος γὰρ ὑπὸ τῶν ϖροειρημένων ὑγρῶν μαλα-
15 κώτερός τε γίνεται καὶ διαστέλλεται ῥᾷον. Οὕτω δέ εἰσι λεπτοὶ καὶ
ἀραχνοειδεῖς οἱ ὑμένες ὥστε εἰ μὴ μετρίως τις αὐτῶν ψαύοι κατὰ τὰς
16 ἀνατομὰς, ῥήγνυσθαι ῥᾳδίως. Ὅλῳ μὲν οὖν τῷ κυουμένῳ ϖανταχό-
θεν ὁ ἄμνειος ϖεριβέβληται, τούτῳ δὲ ἔξωθεν ὁ ἀλλαντοειδὴς ἐπί-
κειται κατὰ τῶν κυρτῶν αὐτοῦ μερῶν οὗ τελευτῶντος τὰ ϖέρατα
17 ϖρὸς τὰς κεραίας· τούτοις δὲ ἔξωθεν ϖερίκειται τὸ χορίον. Ταυτὶ
μὲν οὖν ἔξωθέν ἐστι τοῦ κυουμένου· τὴν φυτικὴν δὲ ἀρχὴν ἁπάντων
ϖρώτην ἔχει τὸ συλληφθὲν δημιουργοῦσαν οὐκ ἐξ αἵματος, ἀλλὰ ἐξ
αὐτοῦ τοῦ σπέρματος ἀρτηρίας, καὶ φλέβας καὶ νεῦρα καὶ ὀστᾶ καὶ
ὑμένας· ὅσα μὲν γὰρ σαρκώδη τὴν ἰδέαν ἐστὶ, ἐξ αἵματος ἐγένετο·
18 τὰ δὲ ὑμενώδη ϖάντα ἐκ σπέρματος ἐτάθη. Καὶ διὰ τοῦτο τὰ μὲν
ἐξ αἵματος εἰ φθαρείη ϖοτὲ, γεννᾶται ϖάλιν ῥᾳδίως, ὡς ἂν τὴν

fœtus, mais il rend aussi le col de la matrice capable de subir une très-
grande dilatation, car, étant trempé par les liquides dont nous venons
15 de parler, il devient plus mou et se dilate plus facilement. Ces mem-
branes sont tellement minces et semblables à des toiles d'araignée, que,
si on ne les traite pas avec ménagement pendant la dissection, elles se
16 déchirent facilement. Ainsi l'amnios entoure de tous côtés le fœtus tout
entier; l'allantoïde est placée sur lui à l'extérieur vers sa partie convexe,
et, là où l'allantoïde se termine, ses extrémités sont situées vers les
17 cornes; le chorion environne à l'extérieur ces deux membranes. Voilà
donc les parties situées à l'extérieur du fœtus; mais le produit de la
12 ποτε τυγχάνει· ὑγιεινότερον διαφέρουσιν. Αἱ δὲ πλείω καθαιρό-
μεναι, αἱ μὲν καὶ ἀμβλίσκουσιν αὐτίκα, αἱ δὲ εἴπερ κατέχοιεν, ἐν
13 τῷ χρόνῳ λεπτὰ καὶ ἀσθενῆ τίκτουσιν. Χρὴ οὖν πάντων μάλιστα
φυλάσσεσθαι τὰς πλησμονὰς καὶ μὴ ῥᾴθυμον εἶναι πρὸς τοὺς πό-
νους· διὰ τοῦτο γὰρ καὶ θεραπαινὶς καὶ ἄλλη τις γυνὴ χερνῆς
ῥᾳδίως μὲν διήνεγκε τὴν γαστέρα, ῥᾳδίως δὲ ἔτεκε, μέγα δὲ καὶ
τρόφιμον παῖδα ἐποιήσατο, ὅτι οὔτε ἐμαλακίσθη ἐν τῇ διαίτῃ· οὐ
γὰρ οἷόν τε ἦν διακονουμένην μαλακίζεσθαι· οὔτε σιτίων ὑπερε-
14 πλήσθη· ἀγαπητῶς γὰρ τὰ δέοντα εἰσπορίζοι ἄν. Τοῦτο δὲ ἔστω
15 δίδαγμα ταῖς κυούσαις τῆς ὀρθῆς διαίτης. Φυλάσσεσθαι δὲ καὶ πη-
δᾷν, καὶ ἐξαίρειν βάρος, καὶ κατακύπτειν εἰς πολύ, καὶ τοὺς μεγά-

11 incommodités. La femme souffrira moins de ces accidents, si elle se résigne
à suivre, dès le commencement, le régime que nous venons de prescrire;
car les femmes qui, pendant la grossesse, continuent à avoir les règles, ce
qui a lieu quelquefois, mènent à bien la grossesse, et ont même une meil-
12 leure santé, pourvu que l'évacuation soit peu abondante. Au contraire, les
femmes qui ont une évacuation plus abondante, ou avortent immédiate-
ment, ou bien, si elles retiennent le fœtus, mettent au monde, à l'époque
13 voulue, des enfants maigres et faibles. Les femmes enceintes doivent donc,
plus que toute autre chose, éviter la réplétion, et ne pas être paresseuses
à s'exercer : c'est en effet là la raison pourquoi les servantes et les autres
femmes indigentes arrivent facilement au terme de leur grossesse, ac-
couchent aisément, et mettent au monde un enfant grand et bien nourri,
parce qu'elles n'ont pas suivi un régime délicat, attendu qu'il ne leur était
pas possible de mener une telle vie en remplissant leur devoir de do-
mestique; elles ne se sont pas non plus gorgées outre mesure d'aliments,
14 puisqu'à peine elles pouvaient se procurer le nécessaire. Que ceci soit,
pour les femmes grosses, une leçon qui leur enseigne leur véritable ré-
15 gime. Elles doivent aussi se garder de sauter, de soulever des poids et
de se baisser fortement, et éviter les bruits très-forts, car on a vu des

2. καταλαμβάνειν εἴη ἡ F. — 8. χερνῆ F. — 12. εἰσπορίζειν. Τοῦτο F.

λους ψόφους· καὶ γὰρ ὑπὸ βροντῆς ἀπέφθειράν τινες, καὶ ἄλλως
ψόφῳ δείσασαι· αἱ δὲ καὶ λυπηθεῖσαι ἀπέφθειραν, αἱ δὲ καὶ φόβῳ
τινὶ ἐκπλαγεῖσαι. Περὶ δὲ ἀφροδισίων ταῖς κυούσαις οὔτε ἀπέχεσθαι 16
παντελῶς συμφέρει, οὔτε ἀεὶ μίσγεσθαι· καὶ γὰρ ἀπεχομέναις οἱ
τόκοι χαλεπώτεροι γίνονται· συνεχῶς δὲ μισγομέναις ἀσθενεῖ τὸ
ἔμβρυον· ποτὲ δὲ καὶ θᾶσσον τοῦ καιροῦ πρὸς τὰ ἄρθρα μεθίστα-
ται· οὕτω γὰρ ἡ μίξις προτρέπει. Χρὴ δὲ διὰ παντὸς μεμνῆσθαι 17
τῶν εἰρημένων, καὶ μάλιστα ἐν τῷ ὀγδόῳ μηνί· οὗτος γὰρ ὁ μὴν ταῖς
κυούσαις ἐπισφαλέστατος, καὶ οὔτε ταῖς ἀποφθειρούσαις χρηστὸς,
οὔτε ἐχούσαις ἄπονος, ἀλλά ποτε μὲν θανατῶδες τὸ ἀποφθείρειν,
ἐπίπονον δὲ τὸ φέρειν. Καὶ οὐκέτι ἄνω πρόσκειται τὸ παιδίον, 18
ἀλλὰ ἤδη βαρύνει κάτω ὥσπερ οἱ τῶν δένδρων καρποὶ, ἡνίκα παρὰ
τοῦ δένδρου ἔχουσι τὸ δέον, καὶ αὐτοὶ νεύουσι κάτω. Δεδοικέναι οὖν 19
τηνικαῦτα ὅσα τε ἀμβλωτήριά ἐστι, καὶ μέθας καὶ ἀπεψίας, καὶ κό-

femmes avoir des fausses couches à la suite d'un coup de tonnerre, ou
pour avoir eu peur de quelque autre bruit; d'autres avortent affligées
par la douleur, ou glacées par la frayeur. Quant aux rapports sexuels, 16
il ne convient aux femmes grosses ni de s'en abstenir complétement,
ni d'y recourir continuellement; car, chez les femmes qui vivent dans
la continence, l'accouchement devient plus difficile, tandis que, chez
celles qui se livrent constamment au coït, l'enfant est faible; quelque-
fois aussi il se transporte avant le temps aux parties génitales [externes];
car c'est jusqu'à ce point-là que le coït a une action expulsive. Il faut 17
toujours se rappeler ce que nous venons de dire, mais surtout au hui-
tième mois, car ce mois-là est très-dangereux pour les femmes enceintes;
il n'est ni avantageux à celles qui avortent, ni exempt de tourments
pour celles qui retiennent le fœtus; au contraire, quelquefois la fausse
couche est mortelle, et la persistance de la grossesse pénible. A cette 18
époque, le fœtus n'est plus situé en haut, mais il pèse déjà en bas,
comme les fruits des arbres, lesquels penchent vers le bas, quand l'arbre
leur a fourni ce dont ils avaient besoin. Alors donc il faut craindre tout 19
ce qui provoque l'avortement, l'ivresse, la mauvaise digestion, la fatigue,

2. φοδείσασαι F; inter l. ψο. — 5. σμιγομέναις F et sic sæpius.

20 πους, καὶ ψύχους ὑπερβολὴν καὶ καύματος. Λουτροῖς δὲ οὐκ ἂν εἴη
ἄπο τρόπου πυριᾷν· καὶ γὰρ ὑπνῶδες καὶ ἄκοπον καὶ τὰς κινήσεις
τοῦ ἐμβρύου τὰς σφοδρὰς παύει, ὑπὸ ὧν μάλιστα ταλαιπωροῦσιν αἱ
21 κύουσαι. Ὃ δὲ χρὴ οὐδενὸς ἧσσον δεδοικέναι ἐν ἁπάσῃ τῇ κυήσει, οἱ
πταρμοί εἰσιν, ὑπὸ ὧν πολλάκις ἐνσειόντων βίᾳ ἐκπίπτει τὸ ἔμ-
22 βρυον. Φυλακτέον οὖν ὀσμάς τε πταρμικῶν καὶ κατάῤῥους τοὺς τῆς
κεφαλῆς· γίνονται δὲ οὗτοι τοῦ θερμοῦ μήτε ἐκπεσόντος, μήτε ξη-
23 ραίνοντος. Τρίψεσιν οὖν τῆς κεφαλῆς καὶ κτενισμοῖς καὶ σμήξεσι
ταῖς διὰ τῶν νίτρων καὶ ψύξεως φυλακῇ πειρᾶσθαι τοὺς κατάῤῥους
24 καὶ τοὺς ἐπὶ τούτοις πταρμοὺς κωλύειν. Καί τις οὕτω διαιτηθεῖσα
γυνὴ αὐτή τε ἂν ὑγιάναι κύουσα καὶ τὸ παιδίον ἐν χρόνῳ τῷ ἱκνου-
25 μένῳ ὑγιαῖνον τέκοι. Ὡς μὲν δὴ κεφάλαια εἰπεῖν, εἴρηται τὸ σύμπαν·
τῶν δὲ συμπιπτόντων ταῖς κυούσαις, ἐπειδὴ ταῦτα μάλιστα ἐνοχλεῖ,
τὸ περισσαίνειν καὶ συνεχῶς ἐμεῖν καὶ πτυελίζειν καὶ καρδιώσσειν

20 l'excès de froid, ou de chaleur. Il ne sera pas hors de propos de se fo-
menter à l'aide de bains; car cela procure du sommeil, enlève la fatigue
et impose silence aux mouvements violents du fœtus, qui tourmentent
21 surtout les femmes enceintes. Une chose qu'il faut redouter plus que
toute autre pendant le cours entier de la grossesse, ce sont les éternu-
ments, qui souvent, par leurs secousses violentes, font tomber le fœtus
22 de la matrice. On évitera donc l'odeur des médicaments sternutatoires,
ainsi que les catarrhes de la tête, or ces catarrhes tiennent à ce que
23 la chaleur ne sort pas et ne dessèche pas non plus. Par conséquent, on
préviendra les catarrhes et les éternuments qui en sont la conséquence
par des frictions sur la tête, par l'usage du peigne et des compositions
24 détersives à la soude brute, et en évitant le refroidissement. Une
femme qui suit ce régime se portera bien pendant sa grossesse, et met-
25 tra au monde un enfant bien portant en temps opportun. Pour les points
importants, nous avons exposé tout ce que nous avions à dire, mais,
comme, parmi les accidents qui arrivent aux femmes enceintes, ceux
qui les affligent le plus fréquemment sont la surcharge [de l'estomac],
les vomissements fréquents, la salivation, la cardialgie et l'aversion pour

4. οὐδέν F. — 5. ἐφ' F. — 12. ὑγιαίνων F.

καὶ ἀποσιτεῖν, οὐ χεῖρον καὶ πρὸς ταῦτα ὑποθήκας γράψαι. Περί- 26
πατοι δὲ οἱ ἐν ἄλσεσιν εὐώδεσι καὶ ταῖς τῶν ἀνθῶν εὐωδίαις, καὶ τὸ
διατριβὰς ἐξευρίσκειν πρεπούσας, καὶ ὄψα μήτε ἄγαν σΊρυφνὰ, μήτε
ἄγαν γλυκέα· εἰς γὰρ ταὐτὸν ἥκει τῇ τε ἄλλῃ ἀηδίᾳ καὶ τῷ ὑγραί-
νειν τὰ ὑπερβάλλοντα ἤδη· καὶ οἶνοι κιῤῥοὶ καὶ εὔοσμοι, πενταε-
τεῖς μάλισΊα, καὶ τὸ μέτριον ποτὸν, ταῦτα πάντα τοῦ περισσαίνειν
καὶ τοῦ ἐμεῖν ἰάματα· ὡς δὲ φάρμακα, πολύγονον μὲν τὴν πόαν ἐν
ὕδατι ἐφθὴν πίνειν, καὶ ἄνηθον· ὡσαύτως δὲ καὶ τῆς Ποντικῆς ῥίζης,
καλεῖται δὲ ἐπιχωρίως ῥᾶ· τοῦτο δὲ καὶ ἐπὶ τῷ σιτίῳ καὶ πρὸ τοῦ
σιτίου ἐσθίειν. Ἔξωθεν δὲ οἰνάνθην καὶ βαλαύσΊιον καὶ κυτίσου καὶ 27
σμυρνίου κόμην καὶ μαράθου, κοινῇ τε καὶ ὡς ἂν μίσγειν θέλῃς, μετὰ
φοινίκων καὶ οἴνου παλαιοῦ καταπλάσσειν τὸ προκάρδιον· ἰσχυ-
ρῶς γὰρ βοηθεῖ, καὶ προσέτι θερμοτάτῳ ὕδατι ἀπόνιψις ἄκρων

les aliments, il ne sera pas trop mauvais de donner aussi des conseils
contre ces accidents. Des promenades dans des bosquets odoriférants, ou 26
dans une contrée parfumée par les fleurs, le choix d'un lieu d'habitation
convenable, des mets secondaires ni trop fortement âpres, ni d'un goût
trop sucré (car cela revient au même, tant sous le rapport de l'humidité
excessive que sous celui du dégoût que ces aliments causent), des vins
paillets et odoriférants, surtout ceux de cinq ans, la modération dans
les boissons, tous ces moyens sont des remèdes contre la surcharge de
l'estomac et contre les vomissements; à titre de médicaments, on boira
l'herbe appelée renouée, ou l'aneth, bouillis dans l'eau; on agira de
même pour la racine du Pont, qu'on appelle dans sa patrie *rha;* mais
on pourra aussi manger celle-là après et avant le repas. A l'extérieur, 27
on appliquera sur la région de l'estomac des cataplasmes faits avec les
fleurs de vigne sauvage, ou de grenadier sauvage, les feuilles de luzerne
en arbre, de smyrnium ou de fenouil, soit qu'on prenne ces médica-
ments tous ensemble, soit qu'on les mêle d'une autre façon quelconque,
pourvu qu'on y ajoute des dattes et du vin vieux : en effet, ce traitement
apporte un secours efficace, et, de plus, la lotion de l'extrémité des doigts
avec de l'eau très-chaude, l'attouchement de quelque corps légèrement

1. ἀσιτεῖν F. — Ib. ταῦτα ὑποχείρων (ριον?) ἢ καὶ μᾶλλον ὑποθήκας F. — 9. δὲ καί ex em.; γὰρ καί F. — 10. δὲ οἶον οἰνάνθην F. — 11. θέλη F.

δακτύλων, καὶ τὸ ἅπτεσθαί τινος ὑποθέρμου, καὶ ψηλαφηθῆναι τὼ
πόδε, καὶ δεθῆναι τὰ ἄκρα, ὥσπερ ἐν ταῖς πτύσεσι ποιεῖν εἰθίσμεθα.
28 Τούς τε καρδιωγμοὺς ἐπικουφίζει τό τε ἐπιῤῥοφεῖν θερμοῦ ὕδατος
καὶ τὸ ἡσυχῇ ἀναπαύεσθαι, καὶ τὸ σκεπάζειν τὸ ὑποχόνδριον ἐρίῳ
29 μαλακῷ. Μέγα δὲ εὐθυμία καὶ ἡδονὴ τοῖς παροῦσιν, ὡς ῥᾷστον μὲν
γυναικὶ κυούσῃ καὶ λυπηθῆναι καὶ χαλεπῆναι ἐπὶ τῇ τυχούσῃ προ-
30 φάσει, ῥᾷστον δὲ ἐντεῦθεν καὶ καρδιῶξαι. Τὰς δὲ ἀποσίτους προ-
τρέποι ἂν ἐσθίειν τά τε ποικίλα σιτία καὶ τὰ πρὸς ἡδονὴν καὶ
31 ἄμυλον ξηρόν. Τοῦτο δὲ τῇ ἄλλῃ ἡδονῇ πρόσφορον καὶ τῷ τρέφειν,
32 εἰ καὶ ὀλίγον προσενεχθείη. Μᾶλλον δὲ ἂν συνενέγκοι ταῖς ἐπιθυ-
μούσαις γῆν ἐσθίειν· χωρὶς γὰρ τοῦ μηδὲν βλάπτειν ἀλλὰ καὶ ὠφε-
λεῖ τὰ μέγιστα· ἐγγύτατα [γὰρ] μεμίμηται τῆς γῆς τὴν πρόσαρσιν·
33 μέγα δὲ ἐπὶ πᾶσιν ἐοικέναι τῷ ἡδίστῳ τὸ συμφέρον. Εὔσιτον δὲ
καὶ οἱ πόνοι καὶ αἱ μακρότεραι ἀποδημίαι, ὡς εἰς πολλὰ τοῦτο λυ-

chaud, le chatouillement des pieds et la ligature des extrémités, comme
28 nous avons l'habitude de la faire dans les crachements [de sang]. On
soulage la cardialgie en humant de l'eau chaude après [le repas], en se
reposant doucement, et en se recouvrant l'hypocondre de laine molle.
29 La gaieté et le plaisir sont aussi des points importants dans la circonstance
dont il s'agit, car les femmes enceintes sont très-portées à s'affliger et à
s'irriter pour la moindre cause, et cela donne lieu très-facilement à une
30 cardialgie. On excitera à manger les femmes qui ont de l'aversion pour
les aliments, par la variété des mets, par ceux qui servent à flatter le
31 goût, et par l'amidon sec. Ce dernier mets est profitable, tant parce qu'il
nourrit, même quand on en mange peu, que par le goût agréable qu'il a
32 du reste. Il sera surtout utile pour les femmes qui ont envie de manger
de la terre : en effet, outre qu'il ne cause aucun dommage, il fait un bien
très-considérable; car il imite de très-près la terre qu'on a l'habitude
de manger [dans l'état de grossesse]; or c'est, en toutes circonstances,
un point important que le remède utile ressemble à la chose la plus
33 agréable. Les fatigues et les voyages lointains sont encore un moyen pour
exciter l'appétit; aussi est-il avantageux, sous plusieurs rapports, aux

12. [γάρ] om. F.

σιτελεῖ τῇ κυούσῃ εἰ μόνον ἐκ προσαγωγῆς μελετήσειε τῶν κινήσεων
ἀνέχεσθαι, καὶ οἶδα πολλὰς καὶ ἐπὶ ζεύγους καὶ ἄλλως ὁδοιπορίαις
μακραῖς μὴ ἀχθεσθείσας. Ἥ τις δὲ εἰθίσθη ἀταλαιπώρως διαιτᾶσθαι 34
κυοῦσα, αὕτη οὐ χρηστῶς ἤνεγκε τὰς ἐξαπιναίους κινήσεις. Κάλ- 35
λιστος δὲ ὁ πόνος καὶ ἀσφαλέστατος ᾠδὴ καὶ μέλος πονεῖν. Καὶ 36
οὐκ ἂν εἰς οὐδὲν μέμψαιο οὔτε σιτία διδοὺς, οὔτε εἰς ἄλλο τι τῶν
ἐπὶ ταῖς κυήσεσι συμπιπτόντων. Καὶ τὸ δριμέων δέ ποτε γεύεσθαι, 37
καὶ μάλιστα νάπυος, ἐπιτήδειον τῇ ἀποσίτῳ· τὸ γάρ τοι πλέον καὶ
εὐθὺς ἐπὶ τῇ πρώτῃ κυήσει ὕποπτον· αἷς δὲ προσέχεται τὸ ἔμβρυον
ἰσχυρῶς, οὐδὲν ἂν εἴη καὶ τὰ τοιούτου τινὸς προσάπτεσθαι. Ἐν 38
τοίνυν τοῖς εἰρημένοις ἔνεστι καὶ τῶν ἄλλων ἰάματα· τίς γὰρ ἂν
ἢ πτύσαι πλεῖον, ἢ ἀχροιῆσαι παρὰ τὸ ἀναγκαῖον, ἢ οἰδῆσαι πόδας
διαιτωμένη ὡς εἴρηται; Πρὸς δὲ τὰ οἰδήματα τῶν ποδῶν ἐξαίρετα 39

femmes enceintes, si elles s'habituent seulement peu à peu à supporter
les exercices; et j'en ai connu plusieurs qui ne furent pas incommodées
par des voyages lointains faits, soit en voiture, soit d'une autre façon.
Mais une femme qui est habituée à vivre sans se fatiguer pendant sa gros- 34
sesse, ne supporte pas sans inconvénient des mouvements soudains.
L'exercice le meilleur et le plus sûr est le chant et la récitation des 35
poëmes lyriques. Vous n'encourrez pas non plus le moindre reproche si 36
vous donnez des aliments [soit dans ce cas], soit contre quelque autre
accident qui accompagne la grossesse. Il convient aussi aux femmes 37
grosses qui ont de l'aversion pour les aliments, de goûter parfois quelque
substance âcre, et surtout de la moutarde : en effet, cette substance, si
on la donne en trop grande quantité immédiatement au commencement
de la grossesse, peut causer quelque incommodité, mais cela ne fait rien
pour les femmes dont le fœtus est solidement attaché, d'essayer quelque
substance de ce genre. Les conseils que nous venons de donner con- 38
tiennent aussi des moyens de guérir les autres accidents des femmes
enceintes : en effet, comment une femme cracherait-elle trop, ou pré-
senterait-elle une couleur plus pâle qu'il n'est nécessaire, ou aurait-elle
des gonflements aux pieds, si elle observait le régime que nous venons
de décrire? Cependant il y a, pour les gonflements des pieds, des traite- 39

1. μελετήσειε ex em.; μελετήσει F. — 3. ἀχθεσθείσας ἤτοι βαρυνθείσας F. — Ib. Εἶ F. — 7. τὰς κυήσεις F. — 8. γάρ τι πλέον τὸ καί F.

ἀνθυλλὶν ὄξει βεβρεγμένην ἐπιδεῖν, καὶ φύλλα κράμβης πλατέα ἐπι-
40 τιθέναι, καὶ γῆν κιμωλίαν μετὰ ὄξους ἐπιχρίειν. Ἀγαθὸν δὲ καὶ τῶν
Μηδικῶν καλουμένων μήλων ἑψήσαντα ἐν ὕδατι καταιονίζειν τοὺς
41 πόδας. Τὰ δὲ ἄλλα ὅσα χρὴ περὶ τοὺς τόκους καὶ τὴν λεχὼ πραγμα-
τεύεσθαι, πρὸ βραχὺ ἐρῶ.

ζ'. Παρασκευὴ πρὸς παιδοποιίαν. Ἐκ τῶν Ἀθηναίου.

1 Τοὺς δὲ ἐπὶ παιδοποιίαν ἰόντας καὶ ψυχῇ καὶ σώματι χρὴ διακεῖσθαι κράτιστα· τοῦτο δέ ἐστι τῆς μὲν ψυχῆς εὐσταθούσης καὶ μήτε λύπαις, μήτε μερίμναις σὺν πόνοις, μήτε ἄλλῳ πάθει κατεχομένης· τοῦ δὲ σώματος ὑγιαίνοντος καὶ κατὰ μηδὲν ἁπλῶς ἐλασσουμένου· ἀπὸ γὰρ τῶν εὐσταθῶν καὶ τῶν ὑγιεινῶν οὐχὶ μόνον, ἀλλὰ καὶ τῶν νοσερῶν ὑγιῆ καὶ νοσερὰ κατὰ ὅλον τε τὸν ὄγκον καὶ κατὰ ἕκαστον αὐτοῦ μέρος· διὸ καὶ προδιαιτᾶσθαι χρήσιμον, γυμνα-

ments spéciaux, qui consistent à lier, sur cette partie, de l'*anthyllis* ma-
céré dans du vinaigre, à mettre dessus des feuilles de chou larges, et à y
40 faire des onctions avec de la terre de Cimole combinée au vinaigre. Il est
bon aussi de faire sur les pieds des affusions avec de l'eau dans laquelle
41 on a fait bouillir des pommes dites de Médie (*citrons*). J'exposerai un peu
plus bas tous les autres soins qu'on doit prendre lors de l'accouchement,
ainsi que pour les femmes en couche.

7. PRÉPARATION POUR AVOIR DES ENFANTS. — TIRÉ D'ATHÉNÉE.

1 Ceux qui se proposent d'engendrer des enfants doivent avoir l'âme et le corps dans la meilleure condition possible; en d'autres termes, l'âme doit être tranquille, et complétement exempte soit de douleur, soit de soucis accompagnés de fatigue, soit de quelque autre affection; il faut que le corps soit sain, et qu'en un mot il ne soit détérioré sous aucun rapport: car ce ne sont pas seulement les gens tranquilles et bien portants qui engendrent des enfants sains, mais les gens maladifs ont aussi des enfants maladifs, tant pour ce qui regarde tout le corps en général que pour ce qui regarde chaque partie en particulier : voilà pourquoi il est utile de s'y préparer par un régime approprié, en employant

3. ἑψείσας F. — Ch. 7; l. 10. γάρ] δέ F. — 10-11. οὐχὶ ἀλλὰ τῶν F.

σίοις μὲν αὐτάρκως καὶ χωρὶς πάσης κακοπαθείας κεχρημένους,
τροφαῖς δὲ εὐκατεργάστοις καὶ εὐχύμοις καὶ εὐτρόφοις καὶ μετρίως
ὑγροτέραις καὶ θερμοτέραις, ἀπεχομένους τῶν θερμαντικωτέρων,
ὀποῦ, πηγάνου, καρδάμου, εὐζώμου, θύμβρας, κρομμύων, σκορό-
δων, κοινῶς τῶν δριμέων καὶ ὀξέων καὶ πικρῶν καὶ ἁλυκῶν. Καὶ 2
πρὸς τούτοις εὐτακτείτω καὶ τάσδε καὶ τὰς ἔμπροσθεν ἡμέρας,
ὅπως ἱκανόν τε καὶ πεπεμμένον ὑπάρχῃ τὸ συνηγμένον σπέρμα,
καὶ ὁρμὴ καὶ ὑπόμνησις καῇ γε περὶ τῆς μίξεως, ὀργῶντος τοῦ σώ-
ματος· οἱ γὰρ συνεχῶς πλησιάζοντες ὠμὰ καὶ ἄωρα τρυγῶσι τὰ
σπέρματα, καθά φησιν Ἀνδρέας. Καθόλου δὲ ταῖς παιδογονίας 3
προνοουμέναις διάλειμμα δοτέον τῆς συλλήψεως· αἱ γὰρ συνεχῶς
καθόλου συλλαμβάνουσαι αὐταί τε ἀτροφώταται καὶ κακοφυέστεραι
γίνονται τοῖς σώμασι, καὶ τὰ βρέφη τίκτουσι καὶ αὐτὰ παραπλή-
σια. Τὸ δὲ ἀνάλογον ἔοικε συμβαίνειν καὶ περὶ τὰ φυτά· τὰ γὰρ 4

des exercices suffisants, mais incapables de produire la moindre incommo-
dité, et des aliments faciles à digérer, remplis de bons sucs, nourrissant
bien, modérément humides et modérément chauds, et en s'abstenant des
aliments trop échauffants, comme sont le suc de Cyrène, la rue, le cresson
d'Alep, la roquette, le *thymbre*, les ognons, l'ail, et en général les mets
âcres, acides, amers ou salés. De plus, on devra mener une vie réglée, 2
aussi bien le jour même [du rapprochement sexuel] que les jours pré-
cédents, afin que le sperme qu'on accumule soit bien élaboré, et en
quantité suffisante, et qu'il y ait un attrait et un penchant ardents pour
le coït, le corps étant en effervescence, car, dit Andréas, ceux qui font
un usage continuel du coït récoltent une semence crue et verte. En gé- 3
néral, il faut accorder aux femmes qui s'appliquent à avoir des enfants
un espace de temps intermédiaire entre les conceptions successives : car
celles qui, dans leur état habituel, conçoivent continuellement, compro-
mettent gravement la nutrition du corps, gâtent leur taille, et mettent
au monde des enfants qui leur ressemblent. Quelque chose d'analogue 4
semble avoir lieu dans les plantes : car les troncs fertiles et riches en

3. ἀπεχομένοις F. — 6. εὐτακτιτώτας (syllabæ τι superscriptum κω) δεὶ καὶ ταύτας τὰς ἔμπρ. F. — 8. καῇ γε conj.; καίγε F. — 12. αὖται F et sic sæp.

πολύφορα καὶ πολύκαρπα καὶ αὐτὰ θᾶττον καταγηρῶσιν, τὰ δὲ στεριφὰ καὶ ὀλιγόκαρπα χρονιώτερα. Πολλάκις οὖν ὑπερκαρπήσαντες δένδροι διὰ εὐθένειαν εὐρωτίασαν, διὰ τὸ ἐξαναλῶσαι τὴν φύσιν εἰς τοὺς καρπούς.

η'. Περὶ ἀφροδισίων. Ἐκ τῶν Γαληνοῦ.

1 Περὶ δὲ ἀφροδισίων ὅτι μὲν καὶ στήθει καὶ πνεύμονι καὶ κεφαλῇ καὶ νεύροις ἐπίπονα, οὐ χαλεπὸν εἰδέναι· παρέχει δὲ καὶ ταῦτα τὴν μὲν γνώμην ἵλεων, εἴ γε δὴ μελαγχολίαν μὲν καὶ μανίαν εἰς τὸ ἐμφρονέστερον καθίστησιν, τὸν δὲ ἐρῶντα τῆς τε ἄγαν ὁρμῆς ἐκλύει, καὶ ἣν ἑτέρᾳ τις μιγῇ, τά τε ζῷα ἀγριαίνοντα περὶ τὰς λοχείας μιγέντα ἡσυχέστερα ἀποδείκνυνται.
2 Κατὰ μὲν ψυχὴν τοσοῦτον δύναται· κατὰ δὲ σῶμα τέως οὐδέν τι τὸ ἄῤῥεν τοῦ θήλεος διαφέρει, εἰ μὴ ὅσον τοῖς μορίοις· διέκρινε [δὲ] σαφεστέροις ἐν τῷ ἡβάσκειν

fruits vieillissent plus vite que les autres, tandis que les troncs stériles et pauvres en fruits durent plus longtemps. Souvent aussi des arbres qui ont produit des fruits trop abondants se couvrent de moisissure, à cause de leur exubérance même, parce que la nature épuise [tous ses matériaux] en faveur des fruits.

8. DES RAPPORTS SEXUELS. — TIRÉ DE GALIEN.

1 Il n'est pas difficile de reconnaître que les rapports sexuels sont fatigants pour la poitrine, le poumon, la tête et les nerfs; mais cet acte prédispose aussi l'âme à la tranquillité : il ramène en effet l'homme mélancolique et furieux à un état plus sensé, et, chez un individu amoureux, il affaiblit l'ardeur par trop immodérée, même quand cet homme a des rapports avec une autre femme [qu'avec celle qu'il aime]; de plus, les animaux, qui sont féroces quand ils ont mis bas, s'adoucissent après le
2 coït. Voilà l'effet que les rapports sexuels peuvent produire sur l'âme; quant au corps, celui du mâle ne présentait, jusqu'à un premier rapport, aucune différence avec celui de la femelle, si ce n'est pour les parties génitales; mais les rapports sexuels les distinguent, à l'époque de

1. καταγηροῦσιν F. — 3. εὐρωτίασαν conj.; εὐρώθεισαν vel εὐρύνθεισαν F. — Ch. 8; l. 8. τῆς τὰν ὁρμῆς F. — 9. ἑταίρᾳ *Ad Eun.* — 12. δέ ex em.; om. F.

σημείοις. Τοῦτο οὖν ἐμοὶ δοκεῖ τεκμήριον αὐτῶν μέγα εἶναι τῆς 3
ἰσχύος, εἰ ὅτε πρῶτον ἥκει, λασιώτεροι ἀντὶ ψιλοτέρων, μείζους δὲ ἀντὶ ἐλασσόνων, ἀῤῥενώτεροι δὲ ἀντὶ θηλυτέρων, καὶ φωνῇ καὶ τῷ σύμπαντι ὄγκῳ. Ἀλλὰ ὅτι μὲν οὐ παντάπασι κωλυτέοι μίσγε- 4
σθαι, ἔκ τε τούτων καὶ ἐξ ἄλλων ἄν τις ῥαδίως δεικνύοι· καί μοι δὴ τῷ μὲν καθεστηκυῖαν πεπορισμένῳ δίαιταν [δίαιται] εἰρήσονταί ποτε ὕστερον· ὅσοι δὲ τὰ προστυχόντα διαπραττόμενοι ὑγιαίνουσι, τούτοις ἐξαρκεῖ πεφυλάχθαι πλησμονὴν καὶ ἔνδειαν, καὶ μᾶλλον οἴνου πλησμονὴν καὶ σίτου ἔνδειαν ἐπί τε ἐμέτοις καὶ ταῖς κάτω φαρμακείαις, καὶ εἰ δή ποτε αὐτόματα τύχοι ῥυέντα. Πεφυλάχθαι 5
δὲ καὶ κόπον καὶ ἀπεψίας καὶ ὅ τι ἄλλο εἰς ὑγίειαν ἀνθρώπῳ εἴη ὕποπτον, καὶ τῶν ὡρῶν τοῦ ἐνιαυτοῦ τὸ φθινόπωρον μάλιστα, καὶ ἥν τις ἄλλη ὥρα φέρῃ ἐπιδήμια. Ἡλικία δέ, ἡ μὲν τῶν ἀφηλικε- 6
στέρων οὔτε αὐτὴ πρόθυμός ἐστι, καὶ ἐσχάτως ἄχθεται, ἡ δὲ τῶν

la puberté, par des signes plus apparents. C'est une preuve très-forte 3
de leur efficacité, ce me semble, que, dès que ces rapports existent, on devient velu, grand et viril, tandis qu'on était auparavant glabre, petit, et qu'on ressemblait aux femmes, tant sous le rapport de la voix que sous celui de tout le corps. On peut démontrer facilement, à l'aide de ces 4
arguments, ainsi que par d'autres encore, qu'il ne faut pas défendre complétement aux gens de se livrer au coït, et j'exposerai peut-être plus tard un régime pour celui qui s'est déjà fait une vie réglée; pour ceux qui se portent bien en faisant tout ce que le hasard leur suggère, il suffit de se garder du trop plein et du trop peu, et surtout du trop plein en fait de vin, ainsi que de la pénurie de nourriture, qui suit les vomissements, les purgations par le bas, et les flux [intestinaux] qui pourraient survenir spontanément. Il faut éviter aussi la fatigue, l'indigestion, et tout 5
ce qui, du reste, pourrait être suspect à l'homme, eu égard à la santé; quant aux saisons de l'année, on se gardera surtout de l'automne et de toute autre saison qui pourrait amener des épidémies. Pour ce qui regarde 6
l'âge, l'homme qui décline n'a pas lui-même des désirs bien ardents, et

2. τῶν ἀντιψηλωτ. F. — 3. δὲ τῶν ἀντιθηλειωτ. F. — Ib. φωνῆς F. — 4. οὖν F. — 5. δεικνύει F. — 6. [δίαιται] om. F. — 9. πλησμ. καὶ ἐνδ. *Ad Eun.*; πλησμ. ἢ σίτου ἐνδ. F. — Ib. ἐπί τε *Ad Eun.*; ἔπειται F.

ἡβώντων τῇ ἄγαν ὁρμῇ σφαλερωτέρα, καὶ πολλοὶ ἤδη ἐξ ἀφροδι-
σίων ἀνήκεστα ἔπαθον ἄχρι παντὸς ἐνθυμούμενοι λαθμᾶσθαι* τοὺς
7 καιρούς. — Καὶ εἰ μέν τις πρὸ σίτου καὶ λουτροῦ ἀφροδισιάσῃ,
εὐαπάλλακτον μὲν καὶ ἀταλαίπωρον, ἀσθενὲς δὲ, εἴπερ τι καὶ ἄλλο,
ὥστε εἰ θέλει μετὰ τοῦτο ἕτερον πόνον προσθέσθαι, ὁποῖα πρὸ
τῶν λουτρῶν εἰθίσμεθα καὶ διαπαλαίοντες καὶ τρέχοντες καὶ ἄλλως
σφᾶς αὐτοὺς ἐκπονοῦντες, ἀῤῥωστότατον εἴη ἂν τῷ μιγέντι, ἀλλὰ
ἐξαρκεῖ τρῖψίς τε ὀλίγη καὶ τὸ λουτρὸν παρηγορήσασθαι τὸν ἐπὶ
8 τῇ μίξει πόνον. — Καιρὸς δὲ πλείω καὶ ἀλυπότερον φαγόντα, ὅσα
καὶ τροφὴ τῷ σώματι ἱκανὴ καὶ ἰσχύς ἐστι πρὶν κατακοιμηθῆναι
μίσγεσθαι· καὶ γὰρ ὑπνοῦντι ἐφεξῆς καθίσταται ὁ πόνος, καὶ ἐκ τοῦ
9 παρόντος ἀφαιρεῖται ὅσα παρὰ τοῦ ἀνδρός. Οὗτος δὲ ὁ καιρὸς καὶ
εἰς παιδοποιίαν ἄριστος τά τε ἄλλα καὶ ὅτι ἡ γυνὴ ὑπνώσασα κατέ-

il est extrêmement fatigué par le coït; l'âge de la puberté présente plu-
tôt des dangers par son excès d'ardeur, et beaucoup de jeunes gens sont
déjà, à cet âge, attaqués de maladies incurables, à cause des rapports
sexuels, pour avoir voulu, à toute force, faire violence au temps prescrit
7 par la nature. Si l'on exerce le coït avant le repas et avant le bain, ce
coït est, il est vrai, exempt de fatigue, et on se débarrasse facilement
de ses suites, mais il est inefficace plus qu'aucun autre; si donc on veut,
après le coït, y ajouter quelque autre fatigue, celle à laquelle nous avons
l'habitude de nous livrer avant le bain, en luttant, en courant, ou en
nous fatiguant nous-mêmes de quelque autre manière, on aura très-peu
de force pour ces exercices; cependant, une légère friction et un bain suf-
8 fisent pour assoupir la fatigue provenant du coït. Le temps opportun
pour les rapports sexuels est le moment où on va s'endormir, après avoir
fait un repas assez abondant, mais qui n'incommode pas, en prenant
des aliments suffisants pour nourrir et pour renforcer le corps : en effet,
quand on dort après, on se remet de sa fatigue, et ce qui est fourni par
9 l'homme est pris à des matériaux qui préexistent déjà. Ce temps-là est
aussi le meilleur pour avoir des enfants, tant à cause des autres raisons
que parce que la femme retient mieux le sperme en dormant : en effet,

2. πάντα ἐνθυμούμενον F. — 7. αὐτοῖς F. — 12. ἀφερεῖν τᾶ τ' ἄλλα ὅσα F. — 12-13. Οὗτος..... ἄλλα *Ad Eun.*; om. F. *Ad Eun.* omet les mots ὁ et ἄριστος et, au lieu de τά τ' ἄλλα, donne διά τε τὰ ἄλλα.

χει μᾶλλον· ταῦτα γὰρ καὶ μὴ μαθοῦσιν οὕτω τὰ πολλὰ ἐκ τῆς φύσεως ὁρμᾷ. Μεσούσης δὲ νυκτὸς ἐπιχειρεῖν ἀφροδισίοις σφαλερὸν ἐπὶ ἡμιέργῳ τῷ σιτίῳ· σφαλερὸν δὲ καὶ ἕωθεν μήπω διακεχωρηκότος, καὶ εἴ τις τύχοι μὲν μὴ καλῶς ἐκπέψας, εἴ γε δὴ καὶ τύχοι, μέλλοντί γε ἄλλων ἔργων ἔχεσθαι.

θʹ Ἄλλο περὶ ἀφροδισίων. Ἐκ τῶν Ῥούφου.

Τοὺς δὲ πλησιάζοντας, καὶ πολλῷ μᾶλλον τοὺς ἀφειδέστερον τοῦτο πράσσοντας, ἐπιμελέστερον ἑαυτῶν προνοητέον, ἵνα ὡς ὅτι ἄριστα διακείμενοι τῷ σώματι ἧσσω φέρωσι τὴν ἐκ τῶν ἀφροδισίων βλάβην, περιπάτοις τε κεχρημένοι συμμέτροις, τρίψει πράᾳ, λουτρῷ θερμῷ, οἷς σύνηθες, τροφῇ καθαρᾷ καὶ εὐτρόφῳ καὶ εὐσταλεῖ, ὑγρῷ πλείονι εὐκράτῳ, ὕπνῳ ἱκανῷ, καὶ μὴ προκαταπεπονημένοι

par un instinct naturel, on penche le plus souvent vers cette manière d'agir, même sans l'avoir apprise. Mais il est dangereux d'essayer des rapprochements sexuels au milieu de la nuit, quand les aliments sont à moitié digérés; il est dangereux aussi de le faire le matin, avant que les aliments aient passé par les intestins, ou si, par hasard, on n'a pas bien digéré; même dans le cas contraire, on doit encore se livrer à d'autres travaux.

9. AUTRE CHAPITRE SUR LES RAPPORTS SEXUELS. — TIRÉ DE RUFUS.

Ceux qui se livrent aux rapports sexuels, et surtout ceux qui s'y livrent sans beaucoup de ménagement, doivent prendre soin d'eux-mêmes d'une manière plus rigoureuse que les autres, afin qu'en mettant leurs corps dans la meilleure condition possible, ils ressentent moins les effets nuisibles de ces rapports; pour cela ils recourront à l'usage de promenades modérées, de frictions douces, de bains chauds, s'ils en ont l'habitude, d'aliments purs, nourrissants et légers, d'une quantité assez abondante de boissons bien tempérées; ils prendront un sommeil suffisant, et éviteront de se fatiguer auparavant par la colère, la douleur, la joie, les affai-

Ch. 9; l. 11. προκαταπεπονημένους F.

ὀργαῖς, λύπαις, χαραῖς, ὑπερτεταμέναις ἐκλύσεσι, πυρίαις, ἀφιδρώσεσιν, ἐμέτοις, μέθαις, κόποις, ἐγκαύσεσιν, ἐμψύξεσιν.

ι'. Περὶ σπέρματος κακοχύμου πλεονάζοντος. [Ἐκ τῶν Γαληνοῦ.]

1 Μοχθηροτάτη δὲ σώματός ἐστι κατασκευὴ καὶ ἡ τοιάδε· σπέρμα πολὺ καὶ θερμὸν ἔνιοι γεννῶσιν ἐπεῖγον αὐτοὺς εἰς ἀπόκρισιν, οὗ μετὰ τὴν ἔκκρισιν ἔκλυτοί τε γίνονται τῷ στόματι τῆς κοιλίας καὶ τῷ σώματι παντὶ καταλύονταί τε καὶ ἀσθενεῖς γίνονται καὶ ξηροὶ καὶ λεπτοὶ καὶ κοιλοφθαλμιῶντες οἱ οὕτω διακείμενοι, κἂν ἐκ τοῦ ταῦτα πάσχειν ἐπὶ ταῖς συνουσίαις μίξεως ἀπέχοιντο ἀφροδισίου, δύσφοροι μὲν τῇ κεφαλῇ γίνοιντο, δύσφοροι δὲ καὶ τῷ στομάχῳ καὶ ἀσώδεις, οὐδέν τε μέγα διὰ τῆς ἐγκρατείας ὠφελοῦνται· συμβαίνει γὰρ αὐτοῖς ἐξ ὧν ἐνταῦθα ἐξονειρώττουσιν, ἐν παραπλησίαις γίνεσθαι
2 βλάβαις αἷς ἔπασχον. Χρὴ τοίνυν βρωμάτων ἀπέχεσθαι τῶν γεν-

blissements excessifs, les bains de vapeur, les sueurs, les vomissements, l'ivresse, les travaux, les échauffements ou les refroidissements.

10. DE LA SURABONDANCE D'UN SPERME FORMÉ D'HUMEURS MAUVAISES. — TIRÉ DE GALIEN.

1 C'est aussi une très-mauvaise condition du corps que la suivante : certaines gens ont un sperme abondant et chaud, qui éveille incessamment le besoin de l'excrétion ; cependant, après son expulsion, les gens qui sont dans cet état éprouvent de la langueur à l'orifice de l'estomac, de l'épuisement, de la faiblesse et de la sécheresse dans tout le corps ; ils s'amaigrissent, leurs yeux se creusent, et si, pour avoir encouru ces accidents à la suite du coït, ils s'abstiennent des rapports sexuels, ils ressentent du malaise à la tête et à l'orifice de l'estomac avec des nausées, et ils ne recueillent aucun avantage important de leur continence : il advient, en effet, qu'à la suite de ce qu'ils évacuent dans ce cas par des pollutions nocturnes, ils éprouvent des incommodités semblables à celles dont ils souffraient
2 auparavant. Il faut donc s'abstenir des aliments qui produisent du

Ch. 10; l. 5. ἐκκρ. ἔνιοι ἐκλ. F. — om. Gal. — Ib. ἐνταῦθα conj.; εἰς ταῦτα
7. λεπτοὶ καὶ ὠχροί Gal. — 11. ἐξ ὧν F; om. Gal. — 12. μὲν ἀπέχ. Gal.

νώντων τὸ σπέρμα, προσφέρεσθαι δὲ οὐ βρώματα μόνον, ἀλλὰ καὶ
φάρμακα τούτου σβεστικὰ, γυμνάζεσθαι δὲ γυμνάσια τὰ διὰ τῶν
ἄνω μορίων μᾶλλον, ὁποῖόν ἐστι τό τε διὰ τῆς μικρᾶς σφαίρας καὶ
τὸ διὰ τῆς μεγάλης, καὶ τὸ διὰ ἀλτήρων, μετὰ δὲ τὸ λουτρὸν ὅλην
τὴν ὀσφὺν ἀλείφεσθαι τῶν ψυχόντων τινὶ χρισμάτων, ἔστι δὲ τὰ
τοιαῦτα τό τε καλούμενον ὀμφάκινόν τε καὶ ὠμοτριβὲς ἔλαιον, ῥό-
δινόν τε καὶ μήλινον ἐκ τοῦ τοιούτου γεγονὸς ἐλαίου. Συνέθηκα 3
δὲ αὐτῶν ἐνίοις καὶ παχύτερα τῇ συστάσει χρίσματα πρὸς τὸ μὴ
ῥαδίως ἀποῤῥεῖν.

ιαʹ. Περὶ τῶν σκοπῶν τῆς ὑγιεινῆς πραγματείας.

Οὗτος ἀγαθὸς ὑγιείας ἔσται φύλαξ ὁ πάντας ἐξευρὼν τοὺς τρό- 1
πους κατὰ οὓς διαφθείρεται· καὶ γὰρ διττοί εἰσιν οὗτοι κατὰ γένος·
αἱ γὰρ δὴ βλάβαι τε καὶ διαφθοραὶ τοῦ σώματος ἡμῶν αἱ μέν τινες
αὐτῶν ἀναγκαῖαί τέ εἰσι καὶ σύμφυτοι, αἱ δὲ οὐκ ἀναγκαῖαι μὲν,
οὐδὲ ἐξ ἡμῶν αὐτῶν ὁρμώμεναι, διαφθείρουσαι δὲ οὐδὲν ἧττον ἐκεί-

sperme, et recourir non-seulement aux aliments, mais aussi aux médicaments qui le tarissent, employer les exercices, surtout ceux qui se rapportent aux parties supérieures, comme celui de la petite et de la grande boule, et le balancement des haltères; après le bain on oindra toute la région des lombes avec quelque onguent refroidissant, classe à laquelle appartient l'huile dite *omphacine* ou *verte*, ainsi que l'huile aux roses, ou
aux pommes, faites avec cette huile-là. Pour quelques-uns de ces gens, 3
j'ai composé des onguents d'une consistance plus épaisse, pour empêcher qu'ils ne coulent trop facilement.

11. DU BUT DE L'HYGIÈNE.

Pour être un bon gardien de la santé, il faut avoir découvert toutes 1
les manières dont elle se perd, car il y en a de deux espèces : en effet, les lésions et la ruine de notre corps sont en partie inévitables et naturelles, en partie non inévitables et ne provenant pas de nous-mêmes; cependant les dernières ne détruisent pas moins notre corps que les

6. ὀμφάκιόν τε καὶ τὸ ὠμ. F. — Ch. 11; l. 11. καθὰ διαφθ. F.

2 νων τὸ σῶμα. Μία μὲν οὖν ἐδείχθη σύμφυτος ἀναγκαία φθορὰ διὰ
ὑπερβάλλουσαν ξηρότητα γινομένη, καλεῖται δὲ ἡ τοιαύτη διάθεσις
γῆρας, δευτέρα δὲ τῆς ὅλης οὐσίας ἡ ῥύσις, διὰ ἣν ἐσθίειν καὶ πί-
νειν ἀναγκαῖον· εἰ γὰρ μή τις ἕτερον ὅμοιον ἀντεισάγοι τῷ ἀποῤ-
ῥέοντι, διασκεδασθήσεταί τε καὶ διαφορηθήσεται σύμπαν οὕτω
τὸ σῶμα, τούτῳ δὲ ἀκολουθεῖ, καθὼς ἐδείχθη, τῶν περιττωμάτων
3 ἡ γένεσις. Ὄργανά τε οὖν πρὸς τὴν ἀπόκρισιν αὐτῶν ἡ φύσις
παρεσκεύασε, καὶ δυνάμεις αὐτοῖς ἐνέθηκε διὰ ὧν κινούμενα τὰ μὲν
4 ἕλκει, τὰ δὲ παραπέμπει, τὰ δὲ ἐκκρίνει, τὰ περιττώματα. Καὶ χρὴ
δήπου ταῦτα μήτε ἐμφράττεσθαι κατά τι, μήτε ἀῤῥωστεῖν κατὰ τὰς
ἐνεργείας ὑπὲρ τοῦ καθαρὸν ἀεὶ καὶ ἀπέριττον διαφυλάττεσθαι τὸ
5 σῶμα. Καί σοι δύο μὲν ἤδη σκοποὺς τούσδε πρὸς δίαιταν ὑγιεινὴν
ὁ λόγος ὑφηγήσατο, τὸν μὲν ἕτερον ἀναπλήρωσιν τῶν κενουμένων,
τὸν δὲ ἕτερον ἀπόκρισιν τῶν περιττωμάτων· ὁ γὰρ δὴ τρίτος ὁ
περὶ τοῦ μὴ ταχύγηρον γίνεσθαι τὸ ζῷον ἐξ ἀνάγκης ἕπεται τοῖς

2 premières. Nous avons donc montré qu'une des causes de ruine essen-
tielles et inévitables tient à l'excès de sécheresse, état qu'on appelle
vieillesse, et qu'une seconde consiste dans la fonte de toute notre subs-
tance, laquelle nous oblige de manger et de boire : en effet, si on ne
remplace pas les matériaux qui s'écoulent par d'autres semblables, tout
le corps se dissipera et s'évaporera; une conséquence de cette nécessité
3 est, ainsi que nous l'avons dit, la production des résidus. La nature a
donc construit des organes pour l'expulsion de ces résidus, et elle a doué
ces organes des forces qui les mettent en mouvement pour attirer cer-
tains matériaux, pour en mettre d'autres en mouvement, et pour en
4 expulser d'autres encore, lesquels sont les résidus. Il est de toute né-
cessité que ces organes ne s'obstruent en aucune façon, et que leurs
fonctions ne languissent pas, pour que le corps reste toujours pur et
5 exempt de résidus. Notre discours vous a donc déjà enseigné les deux
buts suivants du régime salubre : le premier est le remplacement des
matériaux évacués, le second l'excrétion des résidus, car le troisième
but, qui consiste à empêcher l'individu de vieillir trop vite, est une con-
séquence nécessaire de ceux dont nous venons de parler : si, en effet,

9. ἐκπαραπέμπει Gal. — Ib. τῶν Gal. — 15. τοῦ μή est à la marge περιττωμάτων F. — 11. φυλάττεσθαι dans F.

εἰρημένοις· εἰ γὰρ μηδὲν ἁμαρτάνοιτο, μήτε ἐν τῷ τὸ κενούμενον
ἀναπληροῦσθαι, μήτε ἐν τῷ τὰ περιττώματα κενοῦσθαι, ὑγιαίνοι
τε ἂν ἐν τῷδε τὸ ζῷον, ἀκμάζοι τε μέχρι παμπόλλου. Διττὸν μὲν 6
οὖν, ὡς εἴρηται, τὸν πρῶτον τρόπον ἐξ αὑτου φθείρεται σῶμα πᾶν·
τῶν δὲ ἔξωθεν προσπιπτόντων ἓν μὲν ἀχώριστόν τέ ἐστι καὶ διὰ
παντὸς ὑπάρχον αὐτῷ καὶ, ὡς ἂν εἴποι τις, σύμφυτον, ὁ περιέχων
ἀὴρ, τὰ δὲ οὔτε ἀναγκαῖα καὶ κατὰ χρόνους τινὰς ὁμιλοῦντα, τὰ μὲν
ὥσπερ ὁ περιέχων ἀὴρ τῷ θερμαίνειν ἀμέτρως, ἢ ψύχειν, ἢ ξηραί-
νειν, ἢ ὑγραίνειν βλάπτοντα, τὰ δὲ τῷ θλᾷν, ἢ διασπᾷν, ἢ τιτρώ-
σκειν, ἢ ἔξαρθρόν τι ποιεῖν. Ἐπεὶ δὲ, ὡς ἐδείχθη, τῆς κατὰ πλάτος 7
ὑγιείας ἡ μὲν εὔκρατός τε καὶ ἄμεμπτός ἐστιν, ὡς πρὸς αἴσθησιν,
ἡ δὲ οἷον δύσκρατός τε καὶ μεμπτὴ, διττὴν θέμενοι τὴν οὐσίαν αὐ-
τῆς, ἴδιον ἑκατέρας σκοπὸν ἀποδῶμεν, ἐπὶ μὲν τῆς ἀμέμπτου τὴν

on ne commet aucune erreur, ni dans le remplacement des matériaux
évacués, ni dans l'expulsion des résidus, l'individu se portera bien et
aura une vieillesse tardive. Ainsi que nous l'avons dit, il y a donc d'abord 6
pour tout le corps deux manières primitives de se ruiner par soi-même;
mais, parmi les causes de ruine qui viennent de l'extérieur, il y en a une
qui est inséparable de notre corps, qui l'accompagne toujours et qui lui
est, pour ainsi dire, naturelle : c'est l'air qui nous environne; parmi les
influences non nécessaires, et avec lesquelles nous ne sommes en con-
tact que de temps en temps, quelques-unes, aussi bien que l'air qui nous
environne, nous font du tort, en échauffant, en refroidissant, en dessé-
chant, ou en humectant outre mesure; d'autres, au contraire, le font
en causant des contusions, des déchirements, des plaies, ou des luxa-
tions. Comme la santé, prise dans son acception la plus large, est, ainsi 7
que nous l'avons montré, tantôt bien tempérée et irréprochable, autant
que nos sens peuvent le constater, tantôt, pour ainsi dire, mal tempérée
et présentant quelque chose à redire, et que, par conséquent, nous
avons admis que l'essence de la santé était de deux espèces, nous ensei-
gnerons un but spécial pour chacune de ces espèces : pour la santé irré-
prochable, c'est sa conservation rigoureuse, et pour la santé chancelante

2. τά om. F. — 8. ἢ τῷ θερμαίνειν Gal.

8 ἀκριβῆ φυλακήν, ἐπὶ δὲ τῆς μεμπτῆς τὴν οὐκ ἀκριβῆ. Πρότερον δὲ
χρὴ διελθεῖν, ὅπως ἂν τῆς ἀρίστης φύσεως διαφυλάττοι τις τὴν
9 ὑγίειαν. Ὁ δὲ τῆς ἀρίστης κατασκευῆς ὢν ἄνθρωπος, ὑπὸ τὴν ὑγιει-
νὴν ἀγόμενος τέχνην, εὐτυχὴς μὲν ἂν εἴη τις, εἰ μετὰ τὴν πρώτην
ἀποκύησιν ἐπιστατοῖτο πρὸς αὐτῆς· οὕτω γὰρ ἄν τις καὶ εἰς τὴν
ψυχὴν ὀνίναιτο, τῆς χρηστῆς διαίτης ἤθη χρηστὰ παρασκευαζού-
σης· οὐ μὴν ἀλλὰ καὶ εἰ κατά τινα τῶν ἑξῆς ἡλικιῶν εἰς χρείαν
10 τῆς τέχνης ἀφίκοιτο, καὶ οὕτως ὀνήσεται τὰ μέγιστα. Ῥηθήσεται δὲ
πρῶτον τὸ πῶς δεῖ γινώσκειν τὸ ὑγιεινὸν βρέφος ἄρτι γεγενημέ-
νον, ἔπειτα τὴν δίαιταν τοῦ νεογενοῦς παιδίου.

ιβ'. Περὶ παιδοτροφίας.

1 Τὸ τοίνυν νεογενὲς παιδίον, τοῦτο δὴ τὸ ἄμεμπτον ἐν ἁπάσῃ τῇ κατασκευῇ, πρῶτον μὲν τὸν ὀμφαλὸν ἀποτεμνέσθω ἀπὸ τεσσάρων δακτύλων τῆς γαστρὸς σμιλίῳ ἐπάκμῳ, παραιτουμένους τὴν ἄλλην

8 une conservation non rigoureuse. Mais il faut exposer d'abord comment
on conserve la santé chez un individu dont la nature est complétement
9 bonne. Si un homme aussi bien constitué que possible est soumis à l'in-
fluence d'un médecin habile dans l'art de conserver la santé, ce sera
un homme heureux, s'il est placé sous sa direction dès l'instant de sa
naissance : de cette manière, en effet, son âme même en ressentira les
bons effets, puisqu'un bon régime produit un bon caractère ; toutefois,
si c'est seulement à une des autres périodes de la vie qu'il lui arrive de
se laisser guider par cet art, il en recueillera encore des avantages très-
10 considérables. Mais nous dirons d'abord comment il faut reconnaître si
l'enfant nouveau-né est bien portant, ensuite nous exposerons le régime
qui lui convient.

12. DE LA MANIÈRE D'ÉLEVER LES ENFANTS.

1 Chez l'enfant nouveau-né, bien entendu chez celui qui jouit d'une structure complétement irréprochable, on coupera donc d'abord le cordon ombilical à quatre doigts de distance du ventre avec un couteau très-tranchant, et en rejetant toute autre espèce de matière, comme le roseau,

1. *δέ* om. F. — 3. *δή* Gal. — 6. *ὀνίνεται* F.

ὕλην καλάμου καὶ ὑάλων χάριν τοῦ μηδεμίαν παράθλασιν γενέσθαι, εἶτα τὸ ἐν αὐτῷ περιεχόμενον αἷμα θρομϐῶδες ἐκθλίϐειν καὶ ἀποσφογγίζειν ἐρίῳ ἐσΊραμμένῳ, ἔπειτα συμμέτροις ἁλσὶ κατὰ ἕνα τοῖς λεπΊοτάτοις περιπατΊόμενον σπαργανούσθω, ὅπως αὐτῷ σΊεῤῥότερόν τε καὶ πυκνότερον ᾖ τὸ δέρμα τῶν ἔνδον μορίων· ἐν γὰρ τῷ κυΐσκεσθαι πάντα ὁμοίως ἦν μαλακά· νῦν δὲ ἀποκυηθὲν ἐξ ἀνάγκης ὁμιλεῖν μέλλον κρύει καὶ θάλπει καὶ πολλοῖς σκληροτέροις ἑαυτοῦ σώμασι χρῄζει τὸ σύμφυτον αὐτοῦ σκέπασμα παρασκευασθῆναί πως ὑπὸ ἡμῶν ἄρισΊον εἰς δυσπάθειαν. Ἀρκεῖ δὲ ἡ διὰ μόνων τῶν 2
ἁλῶν παρασκευὴ τοῖς γε κατὰ φύσιν ἔχουσι βρέφεσιν· ὅσα γὰρ ἤτοι μυρσίνης φύλλων ξηρῶν περιπατΊομένων, ἤ τινος ἑτέρου τοιούτου δεῖται, μοχθηρῶς δήπου διάκειται· ἔσΊιν ὅτε καὶ σὺν ἐλαίῳ ἐπὶ τῶν τρυφερωτέρων· ἀποσμήχειν δὲ καὶ ὅλον τὸ σῶμα χυλῷ πΊισάνης, ἢ τήλεως. Καὶ ὕδατι χλιαρῷ πρῶτον περιπλύνειν τὸ 3
ἐπικείμενον τῷ σώματι γλίσχρασμα καὶ δακτύλοις ἐκθλίϐειν τὸ

ou le verre, afin d'empêcher qu'il se fasse la moindre contusion; ensuite on exprimera le sang coagulé contenu dans le cordon et on l'essuiera avec de la laine roulée entre les doigts; puis on emmaillotera l'enfant, en le saupoudrant successivement avec une quantité modérée de sel très-fin, pour rendre sa peau plus ferme et plus dense que les parties intérieures; car, pendant la grossesse, toutes les parties étaient également molles; mais, une fois qu'il est né, il doit nécessairement être en contact avec le froid, la chaleur et un grand nombre de corps plus durs que lui; nous aurons donc, en quelque sorte, à rendre son enveloppe naturelle aussi apte que possible à résister aux lésions. Saupoudrer avec le sel seul suffit pour 2
les enfants qui sont dans l'état normal; car ceux qui ont besoin d'être saupoudrés de feuilles de myrte sèches, ou de quelque autre agent analogue, se trouvent déjà dans de mauvaises conditions; quelquefois on y ajoute encore de l'huile chez les enfants un peu délicats; mais on détergera aussi tout le corps avec une décoction passée d'orge mondée ou de fenugrec. D'abord on enlèvera, en lavant avec de l'eau tiède, l'enduit vis- 3
queux qui recouvre le corps, on exprimera avec les doigts la substance glu-

2-3. ἀποσφογγ. ex em.; ἀποσπογγ. Aët.; ἀποσφίγγειν F — 3. ἐξασμένῳ Aët. — 3-4. κατὰ..... λεπΊ. om. Gal. — 4. αὐτοῦ Gal. — 13. ἀπομίσων (sic) F.

ἐγκείμενον ταῖς ῥισὶ γλοιῶδες, ἀποκαθαίρειν δὲ τὸ σ7όμα καὶ τοὺς τῶν ὤτων πόρους, διασ7έλλειν δὲ καὶ τὰ βλέφαρα καὶ ἀπομάτ7ειν τοὺς ὀφθαλμοὺς ἔλαιον αὐτοῖς ἐνσ7άζοντα, διασ7έλλειν δὲ δακτύλοις καὶ τὸν δακτύλιον· παραχρῆμα γοῦν ἐκκρίνει διὰ τῆς ἕδρας τὸ κα-
4 λούμενον συνήθως μηκώνιον. Κατὰ δὲ τοῦ ὀμφαλοῦ πλυγμάτιον ἐλαιοβραχὲς ἐπιῤῥίπ7ειν ἐσχηματισμένον ὀμφαλοῦ τρόπον, παραιτεῖσθαι δὲ κύμινον αὐτῷ ἐπιπάτ7ειν, ὥς τινες, διὰ τὸ δριμὺ, εἶτα διαπλώσαντα τὸν ὀμφαλὸν καὶ τῷ ἐριδίῳ ἐντυλίξαντα πρᾴως συν-
5 τιθέναι αὐτὸ κατὰ τὸ μεσώτατον. Εἶτα σπαργανούσθω τὸ βρέ-
6 φος κατὰ τὸ ἔθος. Δοτέον δὲ αὐτῷ πρὸ πάσης τροφῆς μέλι κάλλισ7ον ἀπηφρισμένον, ἢ σακχάριτος καλοῦ ἐκλείχειν, παραιτουμένους τὸ βούτυρον ὡς κακοσ7όμαχον, εἶτα χλιαρὸν ὑδρόμελι παρενσ7ά-
7 ζειν. Εἶτα προαπομέλξασα ἡ μητὴρ τῶν μασθῶν τὸ παχὺ καὶ πυριάσασα αὐτοὺς ὕδατι θερμῷ διδότω τὸ γάλα τῷ βρέφει· βέλτιον

tineuse qui se trouve dans les narines, on nettoiera la bouche et les conduits des oreilles, on ouvrira les paupières, on détergera les yeux en y faisant tomber quelques gouttes d'huile, et on dilatera l'anus avec les doigts; l'enfant expulse alors tout de suite par le siége ce qu'on appelle le
4 *meconium*. Sur l'ombilic on placera une petite compresse trempée dans l'huile, compresse à laquelle on donnera la forme de l'ombilic même; mais on se refusera à saupoudrer cette compresse de cumin, comme quelques-uns le font, à cause de l'âcreté de cette substance; ensuite on étendra le cordon ombilical, on l'enroulera dans un peu de laine, et on
5 le placera doucement tout à fait au milieu [du ventre]. Après cela on
6 emmaillottera l'enfant comme c'est la coutume. Avant toute autre nourriture, on donnera à sucer à l'enfant du miel de qualité supérieure écumé, ou du bon *sucre*, et on rejettera le beurre, parce qu'il fait du tort à l'orifice de l'estomac; ensuite on fera retomber dans la bouche de l'en-
7 fant quelques gouttes d'hydromel tiède. Après cela la mère tirera de ses mamelles ce qu'elles contiennent d'épais, puis elle donnera à teter à son enfant, après s'être fomenté les seins avec de l'eau chaude; cependant,

1. ἐπικείμ. F. — 2. ἀπόματ7ειν] ἐγχυματίζειν Sor. — 3. διὰ τοῦ σμικροῦ δακτύλου προαπωνυχισμένου Sor. — 7. ἐπιπάτ7ειν Aët.; ἐπιπλάτ7ειν F. — 9. τὸ μεσαίτατον Aët.; τὴν μεσότητα Sor. — 10. Δοτέον Aët.; Δέον F. — 13. ἡ μητήρ Aët.; ἡμέρα F; ἡμέραν μίαν καὶ δυοῖν 2ª m. — 14. τὸ βρέφος F.

δὲ τὸ μὴ λαμβάνειν τῆς μητρὸς τὸ γάλα αὐτίκα μέχρι τῆς τετάρτης
ἡμέρας. Λούειν δὲ τὸ παιδίον χρὴ διαστήσαντα χρόνον τινὰ μετὰ 8
τροφὴν δὶς τῆς ἡμέρας. Ἐκπεσόντος δὲ τοῦ ὀμφαλοῦ μετὰ τὴν τρί- 9
την ἢ τὴν τετάρτην ἡμέραν, κογχύλης ὄστρακον κεκαυμένον ἐπί-
πασσε τῷ τόπῳ λεῖον, ἢ ἀστράγαλον χοίρου κεκαυμένον, ἢ μόλυ-
βδον κεκαυμένον ἐπίχριε μετὰ οἴνου καὶ ἐπίδησον.

ιγ'. Περὶ ἐκλογῆς τιτθῆς.

Πρὸ δὲ τούτων πάντων ἐκλεκτέον τὴν τιτθὴν, μηδὲ ὁτιοῦν νό- 1
σημα ἔχουσαν, ἐπεὶ τὸ ταύτης νόσημα ἕξει τὸ παιδίον, καὶ μήτε
ἄγαν νεωτέραν, μήτε ἄγαν πρεσβυτέραν. Ἔστω δὲ ἡ μὲν νεωτέρα 2
ἕως ἐτῶν κε', ἡ δὲ πρεσβυτέρα ἐτῶν λε'· εἰ μὲν γὰρ πάνυ εἴη πρε-
σβυτέρα, οὔτε ἂν πολὺ ἔχοι γάλα, οὔτε χρηστὸν εἴη· εἰ δὲ πάνυ
νεωτέρα εἴη, ἔχοι μὲν ἂν γάλα ἱκανὸν, οὐκ εἰς τοσοῦτον δὲ εὔπε-
πτον ὑπάρχει εἰς ὅσον αἱ καθεστηκυῖαι ἤδη· εἰ δὲ ἅμα μὲν ἐν μέσῳ

jusqu'au quatrième jour, il vaut mieux que l'enfant ne prenne pas tout
de suite le lait de sa mère. On lavera l'enfant deux fois par jour; mais 8
on attendra quelque temps après son repas. Quand le cordon sera tombé, 9
après le troisième ou le quatrième jour, on saupoudrera le lieu de son
implantation avec une coquille ou avec l'astragale d'un jeune porc brû-
lés et pulvérisés; ou bien on l'oindra avec du plomb brûlé et du vin, et
on y appliquera un bandage.

13. DU CHOIX D'UNE NOURRICE.

Avant tout cela, il faut choisir une nourrice qui n'ait pas la moindre 1
maladie (car l'enfant prendrait sa maladie), et qui ne soit ni trop jeune
ni trop vieille. La nourrice la plus jeune doit avoir au moins vingt-cinq 2
ans, et la plus âgée ne doit pas dépasser trente-cinq : en effet, si elle est
trop âgée, elle n'aura pas beaucoup de lait, et celui qu'elle a ne sera pas
bon; au contraire, si elle est trop jeune, elle aura assez de lait, il est vrai,
mais ce lait ne sera pas aussi facile à digérer que celui des femmes d'un
âge déjà mûr; si la nourrice est d'un âge moyen, et si elle a en même

1. εἰκοστῆς Sor. — 10. κε' καὶ κθ' Syn.; κ' Aët., Sor. — Ib. μ' Aët., Sor.

εἴη τῆς ἡλικίας ἡ τιτθὴ, ἅμα δὲ ὁμῆλιξ οὖσα τύχοι τῇ μητρὶ, τοῦτο
3 ἂν εἴη μέγιστον τῷ παιδίῳ ἀγαθόν. Καὶ στῆθος μέγα ἡ τιτθὴ ἐχέτω,
εὐμεγέθης δὲ τῷ σώματι καὶ εὐεκτοῦσα, εὔστερνος, μασθοὺς ἔχουσα
συμμέτρους, ἀῤῥυσώτους, θηλὰς μήτε μεγάλας, μήτε μικρὰς, μήτε
στενωτέρας, μήτε ἄγαν εὐρυτέρας, ἢ σηραγγώδεις· οἱ γὰρ μεγάλοι
τιτθοὶ πλέον τοῦ δέοντος παρασκευάζουσι τὸ γάλα, καὶ μένον ἐν
αὐτοῖς διαφθείρεται καὶ ἀδικεῖ τὸ βρέφος μετὰ τοῦ καὶ τὴν γυναῖκα
βαρύνειν· οἱ δὲ μικροὶ ὀλίγον παρέχουσι τὸ γάλα, καὶ αἱ μὲν με-
γάλαι θηλαὶ θλίβουσι τὰ οὖλα καὶ κωλύουσι τὴν γλῶτταν συνερ-
γεῖν τῇ καταπόσει· αἱ δὲ μικραὶ δύσληπτοι, καὶ διὰ τοῦτο κακοπα-
θεῖ ταῖς σιαγόσι τὰ βρέφη πρὸς τὰς ἐκμυζήσεις, ὡς ταῖς φλεγμοναῖς
4 ἐπιπίπτειν. Καὶ αἱ μὲν στεναὶ θηλαὶ οὐ ῥᾳδίως πέμπουσι τὸ γάλα,
καὶ διὰ τοῦτο κόπον παρέχουσι ταῖς σιαγόσι τῶν βρεφῶν, ἀλλὰ
καὶ ἀκοντιζόμενον διὰ τῶν στενῶν πόρων τὸ γάλα πλήττει τὸν
ὑπαλείφοντα ὑμένα τὸ στόμα καὶ ἄφθαν γεννᾷ· αἱ δὲ εὐρύτεραι καὶ

temps le même âge que la mère, ce sera là un très-grand avantage pour
3 l'enfant. Elle doit avoir la poitrine large, une grande taille, une certaine
corpulence, la complexion bonne, le sternum bien développé, les seins
de grandeur moyenne et non ridés, les papilles ni grandes, ni petites, ni
trop étroites, ni trop larges non plus, ou creusées de conduits tortueux :
en effet, les seins volumineux produisent plus de lait qu'il n'en faut; ce
lait se gâte en y séjournant et fait du tort à l'enfant, en même temps qu'il
incommode la nourrice par son poids; les mamelles petites, au contraire,
donnent peu de lait, et les grandes papilles compriment les gencives et
empêchent la langue de coopérer à la déglutition; les petites papilles,
au contraire, sont difficiles à saisir, et, pour cette raison, les enfants
souffrent des mâchoires pendant la succion, d'où il résulte que ces or-
4 ganes sont pris d'inflammation. Les papilles étroites ne laissent pas faci-
lement échapper le lait, et, par conséquent, elles fatiguent les mâ-
choires des enfants; mais, de plus, le lait, qui est lancé à travers des
conduits étroits, frappe la membrane qui revêt la bouche, et produit des
aphthes, tandis que les papilles trop larges et creusées de conduits tor-

2. τὸ παιδίον F. — 3. εὐμεγέθους F. — Ib. εὐεκτοῦσαν, εὔστερνον F. — 8. ὀλίγον Aët.; ὀδειγόν F. — 11. τῶν βρεφῶν F. — Ib. ταῖς ἄφθαις Sor.

στηραγγώδεις θηλαὶ ἀθρόον ἀφιεῖσαι τὸ γάλα πνιγμοῦ αἴτιαι γί-
νονται. Πρὸς τούτοις δὲ χρὴ εἶναι τὴν τιτθὴν σώφρονα, ἀμέθυσον, 5
καθαρὰν, ἀόργητον, εὔχυμον καὶ μὴ ἐπίληπτον. Φυλασσέσθω δὲ 6
αὐτὴ ἐνδείας καὶ πλησμονὰς καὶ τάραξιν καὶ στάσιν τὴν ἄγαν τῆς
γαστρός· τὸ μὲν γὰρ ἐνδεὲς, τὸ δὲ περιττωματικόν. Σιτία δὲ καταρ- 7
χὰς μὲν ἐσθιέτω ἄρτους ἀπὸ σιτανίων πυρῶν κλιβανίτας· κουφό-
τατοι γὰρ καὶ ἥδιστοι τά τε ἄλλα καὶ τῇ ὀπτήσει· καὶ ῥοφήματα
ἀπὸ πτισάνης ῥοφείτω, ἢ ἀπὸ πυρῶν σιτανίων ἐπτισμένων· ταῦτα
γὰρ ὁμοιότατα· διὸ καὶ ὠνόμαζον οὕτως οἱ ἀρχαῖοι, τὰς μὲν κριθὰς
κάχρυς, τοὺς δὲ σιτανίους πυροὺς καχρυδίας, ὡς ἂν εἰ λέγοις κρι-
θώδεις. Κάλλιστοι δὲ οἱ πετραῖοι τῶν ἰχθύων καὶ κρεῶν τὰ ἄκρεα 8
καὶ οἱ ἁπαλοὶ ὄρνιθες. Ὅταν δὲ τῇ αὐξήσει προσάγῃ, ἀνάγκη τῶν 9
ἰσχυροτέρων ἐσθίειν, ὥστε οὐκ ἂν ἁμαρτάνοι ἐσθίουσα καὶ ἰχθύας,
γλαυκίσκους τε καὶ χρυσόφρυς καὶ κεφάλους καὶ τῶν θύννων τὰ

tueux donnent lieu à des étouffements, en laissant sortir trop de lait à la
fois. En outre, la nourrice devra se bien conduire, être sobre, propre, 5
non portée à la colère, pourvue de bonnes humeurs, et non sujette à
l'épilepsie. Elle évitera l'insuffisance des aliments aussi bien que la ré- 6
plétion, et le trouble du ventre aussi bien que la constipation trop pro-
longée : car le premier état donne lieu à une nutrition insuffisante, et le
second à une accumulation de résidus. En fait d'aliments, elle mangera 7
d'abord des pains de blé sitanique cuits dans le petit four, car ces pains-
là sont de tous les plus légers et les plus agréables, tant sous les autres
rapports que sous celui de la cuisson; elle prendra aussi des bouillies faites
avec de l'orge mondée, ou du froment sitanique bluté : car ces graines se
ressemblent beaucoup, et c'est pour cette raison que les anciens se ser-
vaient des noms suivants : l'orge [moulu], ils l'appelaient *cachrys;* et
cachrydias, c'est-à-dire *ressemblant à l'orge,* le froment sitanique [moulu
ou non]. Les meilleurs poissons sont ceux de roche, et les meilleures 8
viandes les extrémités et les oiseaux tendres. Lorsque l'enfant approche 9
de la croissance, il est nécessaire [pour la nourrice] de manger des
choses plus fortes; elle ne commettra donc pas une faute contre la règle
en mangeant, en fait de poissons, des *hiboux marins*, des dorades, des

1. ἀφείη σοι F. — 11. καὶ οἱ κρεῶν F.

μικρότερα, καὶ αὐτὰ ἤδη τὰ κρέα, οἷον χοίρων καὶ ἀρνῶν καὶ ἐρί-
10 φων. Οἶνος δὲ τῇ τιτθῇ ὁ πολὺς αὐτῇ τε ἐκείνῃ κάκιστος καὶ τῷ βρέφει· ὁ μέτριος δὲ ἀγαθὸς ἀμφοτέροις, καὶ εἰς ῥώμην καὶ εἰς πέψιν· πίνειν δὲ μήτε ἄγαν γλυκὺν, μήτε αὖ τῶν στρυφνοτέρων, καὶ
11 τῷ χρόνῳ σύμμετρον. Ἀγαθὸς δὲ καὶ ὁ μελίκρας οἶνος πινόμενος
12 διὰ ἡμερῶν εἴς τε κάθαρσιν τοῦ γάλακτος καὶ εἰς χρηστότητα. Φυλασσέσθω ἡ τιτθὴ καθόλου μὲν τὰ ἁλυκὰ καὶ δριμέα καὶ στρυφνὰ καὶ ὀξέα καὶ πικρὰ καὶ ἰσχυρῶς θερμαίνοντα· φυλασσέσθω δὲ καὶ τὰ πάνυ ξηραίνοντα καὶ τὰ πάνυ δύσοσμα καὶ τὰς ἐπισήμους εὐω-
13 δίας καὶ τὰς ἐπισήμους ἀρτύσεις. Λαχάνων δὲ πονηρότατα εἰς τὰ παρόντα τὸ σέλινον καὶ ἡ μίνθη καὶ τὸ σκόροδον· σέλινον μὲν γὰρ ἄγει τὸ ἐπὶ ὑστέραν, καὶ τὸ παιδίον, εἰ τοῦτο ἐσθίοι ἡ τιτθὴ, κίνδυνος ἐπιληπτικὸν γενέσθαι· εἰ δὲ μὴ, φυμάτων πλῆρες· ἡ δὲ μίνθη τοσοῦτόν ἐστι κακὸν, ὥστε εἰ ἐμβάλοις τὸ γάλα, ὑγρὸν ποιεῖ τὸ γάλα,

muges et des petits thons; alors elle mangera aussi de la viande proprement dite, comme celle des jeunes porcs, des agneaux et des che-
10 vreaux. Du vin pris en grande quantité est très-nuisible, aussi bien pour la nourrice elle-même que pour l'enfant; mais une quantité modérée est bonne pour tous les deux, tant pour donner des forces que pour favoriser la digestion; seulement le vin que boit la nourrice ne devra être
11 ni d'un goût fortement sucré, ni trop âpre, mais d'un âge moyen. Le vin miellé est bon aussi, si on le boit à quelques jours d'intervalle, tant pour favoriser la sécrétion du lait que pour lui donner de bonnes qualités.
12 En général, la nourrice devra éviter les aliments salés, âcres, fortement âpres, acides, amers, ou fortement échauffants; elle évitera de même les ingrédients fortement desséchants, d'une odeur trop mauvaise, ou qui
13 présentent un parfum ou un assaisonnement trop prononcés. Les plus détestables des herbes potagères, dans le cas dont il s'agit, sont le céleri, la menthe et l'ail : en effet, le céleri pousse vers la matrice, et, si la nourrice en mange, l'enfant court le danger de devenir épileptique; sinon, de se couvrir de pustules; la menthe est si mauvaise, que, si on verse du lait dessus, cette plante le rend coulant, et il n'est point du tout coagulé par cette plante : pour cette raison, une décoction de

4. αὖ ex em.; ἂν F.— 8. πικρά Syn.; πυκνά F.— 13. δὲ οὐ μή F.— 14. τὸ κακ. F.

*καὶ οὐδὲν ὑπὸ αὐτοῦ πήγνυται· διὸ καὶ πνιγομένῳ τινὶ ὑπὸ γάλα-
κτος ἴαμα γίνεται ὁ χυλὸς τῆς μίνθης πινόμενος. Τὸ δὲ σκόροδον* 14
*καὶ τῇ ὀσμῇ καὶ τῇ γεύσει κάκιστον καὶ τῇ ἄλλῃ ταραχῇ· καὶ γὰρ
ὁρμᾷ κάτω καὶ τὸ γάλα διαφθείρει· δεύτερον δὲ κρόμμυον καὶ πρά-
σον καὶ ὤκιμον καὶ κάρδαμον, καίτοι ποτὲ ὡς φάρμακα τῇ τιτθῇ
χρήσιμα ταῦτα· ὅπου δὲ ἕκαστον, γράψω. Κάκιστον δὲ καὶ τὸ ἥδυ-* 15
*σμα οἱ ὀποὶ ὅ τε Μηδικὸς καὶ ὁ ἐκ Κυρήνης καὶ ὁ ἀπὸ τῶν Σύρων
οὐ πάλαι κομιζόμενος. Τῶν δὲ ἰχθύων κάκιστα τὰ σελάχια καὶ οἱ* 16
*λιμναῖοι καὶ οἱ ποτάμιοι καὶ ὅσοι ἐν πηλῷ τρέφονται καὶ ἰλύϊ,
κρεῶν δὲ τὰ βόεια καὶ τὰ αἴγεια, καὶ μάλιστα τὰ τῶν κριῶν καὶ
τῶν τράγων· ὀσπρίων δὲ τὰ φυσώδη, οἱ κύαμοι καὶ οἱ φακοὶ καὶ οἱ
δόλιχοι. Τραγήματα δὲ πάντα μέν, ὡς εἰπεῖν, φυλασσέσθω· καὶ γὰρ* 17
*δύσπεπτα καὶ ξηραντικά· μᾶλλον δὲ τά τε Σινωπικὰ κάρυα καὶ τὰς
ἀμυγδάλας· οἱ δὲ φοίνικες καὶ ἰσχάδες τὰ μέτρια προσωφελοῦσιν·*

menthe, prise en boisson, devient aussi un remède pour celui qui est
en proie à l'étouffement par suite du lait. L'ail est très-nuisible, aussi 14
bien par son odeur que par son goût et par les autres troubles qu'il
cause, car il pousse vers le bas et gâte le lait; l'oignon, le poireau, le
basilic et le cresson d'Alep viennent en second lieu, quoique ces herbes
soient quelquefois utiles à la nourrice à titre de médicaments; je dirai
tout à l'heure en quelles circonstances chacune d'elles convient. Les sucs 15
[résineux des silphium] sont un assaisonnement très-mauvais, aussi bien
celui de Médie que celui de Cyrène et celui qu'on vient tout récemment
encore d'importer de Syrie. Les plus mauvais poissons sont les séla- 16
ciens, ainsi que ceux de lac et de rivière, et tous ceux qui vivent dans la
boue et le limon; les viandes les plus mauvaises sont celles de bœuf et de
chèvre, et surtout celle des béliers et des boucs; parmi les graines fari-
neuses, les plus mauvaises sont les espèces flatulentes, comme les fèves,
les lentilles et les haricots. La nourrice devra éviter, pour ainsi dire, 17
tous les mets de dessert, car ces mets sont difficiles à digérer et dessé-
chants, mais surtout les noix de Sinope (*noisettes?*) et les amandes; les
dattes et les figues sèches, au contraire, sont modérément utiles, mais

4. *τοῦ γάλακτος διαφέρει* F. — 5. *καί τι* F.

πικρόχολα δὲ τὰ διὰ τοῦ μέλιτος πέμματα· φλεγματώδεις δὲ οἱ
18 τυροί. Τούτων ἀπεχέσθω ἡ τιτθὴ ἐνθυμουμένη, ὡς ἐγὼ γέγραφα,
19 τὰ λίαν καλὰ καὶ αὐτῇ καὶ τῷ βρέφει. Ἀπεχέσθω δὲ καὶ λαγνειῶν·
φθορὰ γὰρ μεγίστη τῷ γάλακτι εἰ μίσγοιτο γυνὴ θηλάζουσα, ὅτι
20 τὴν ὁρμὴν ἀνάγκη κάτω γίνεσθαι. Πονείτω δὲ ἡ τιτθὴ ἀπὸ τῶν χει-
21 ρῶν καὶ τῶν ὤμων, εἰ μέλλει τι τὸ παιδίον ὠφελεῖν. Καὶ ἀλεσάτω
οὖν καὶ ὑφηνάτω καὶ πτισάτω· ἀρκεῖ δέ που καὶ ἀνιμῆσαι κάδῳ
καὶ σφαῖραν βαλεῖν καὶ ἐπὶ τῆς ἀγκάλης ἔχουσαν τὸ παιδίον πε-
ριελθεῖν· καὶ γὰρ αἰώρα καλλίστη τῷ βρέφει, καὶ ὁ πόνος δίκαιος
φέρειν ἐπὶ ἀγκάλης τρίμηνα καὶ τετράμηνα· τὸ δὲ ἔμπροσθεν οὐκ
22 εὔφορα τῇ ὑγρότητι. Οὕτω μὲν οὖν ἡ τιτθὴ διαιτωμένη κάλλιστα
ἂν ἔχοι καὶ ἑαυτῇ καὶ τῷ βρέφει· τὰς δὲ τοῦ γάλακτος κακίας διορ-
θοῦν χρὴ ὧδε· εἰ μὲν τύχοι παχύτερον, ἐμέτοις ἐξελεῖν δεῖ τοῦ

les fritures au miel engendrent de la bile amère, et les fromages de la pi-
18 tuite. La nourrice doit donc s'abstenir de ces aliments, si elle recherche,
comme je l'ai prescrit, les choses très-profitables aussi bien à elle-même
19 qu'à l'enfant. Elle devra aussi s'abstenir des rapports sexuels, car c'est sur-
tout ce qu'il y a de plus pernicieux pour le lait, si une femme qui allaite
se livre au coït, parce que cet acte produit indispensablement une ten-
20 dance vers le bas. Que la nourrice fasse des exercices avec les bras et les
21 épaules, si elle veut être en quelque chose utile à l'enfant. Elle devra
donc moudre, tisser et blûter; quelquefois il suffit qu'elle puise de l'eau
avec une aiguière, qu'elle lance des boules, ou qu'elle se promène en
tenant l'enfant dans ses bras; car c'est un mouvement très-profitable à
l'enfant et un exercice approprié [pour la nourrice] que de porter dans
ses bras des enfants de trois ou quatre mois; avant cet âge, les enfants
22 ne sont pas faciles à porter, à cause de leur flaccidité. Si donc la nourrice
suit ce régime, tout sera pour le mieux, tant pour elle-même que pour
l'enfant; mais les mauvaises qualités du lait devront être redressées
de la manière suivante : si le lait est trop épais, il faut enlever de la pi-
tuite à l'aide de vomissements, et les meilleurs sont ceux qu'on excite

1-2. δὲ οἱ τυροί ex em.; δεῖ τυρεῖν F. — 2. οἱ τιτθοὶ ἐνθυμούμενοι F. — 3. αὐτοί F inter l. — 5-6. χειρῶν F corr., *Syn.*, Paul.; τιτθῶν F. text. — 8. βαλλεῖν F. — Ib. ἀγκάλης *Syn.*, Paul.; ἀνάγκης F. — 10. φέρειν δὲ ἐπί F *Syn.*, Paul. — 13. χρὴ ὧδε *Syn.*, Paul.; χρειώδη F.

φλέγματος· ἄριστοι δὲ οἱ ἐπὶ τῷ ὀξυμέλιτι. Δεῖ δὲ καὶ τοῖς πόνοις 23
λεπτῦναι τοῖς πρὸ τῶν σιτίων. Ἐνταῦθα δήπου καὶ ὀρίγανον καὶ 24
ὕσσωπον καὶ ἡ θύμβρα καὶ ὁ σκάνδιξ καὶ ὁ θύμος ἐπιτήδεια, τὰ
μὲν ἡδύσματα εἶναι τοῖς σιτίοις, τὰ [δὲ] ἑψήσασαν ἐν ὕδατι πίνειν.
Οἶνοι δὲ ἄριστοι οἱ λευκοὶ καὶ εὔοσμοι καὶ ὑπόλεπτοι, καὶ ὄψων 25
ῥαφανὶς ὀλίγη καὶ τάριχος παλαιὸν τῶν Γαδειρικῶν μετὰ ὀξυμέλι-
τος καὶ χλωρᾶς ὀριγάνου, καὶ ἰχθύες φύκια καὶ πέρκια καὶ ἴουλοι
καὶ κοψιχοὶ καὶ κίχλαι· τῶν ὀστρακίων τελλῖναι καὶ κτένες καὶ
ὕδωρ τὸ ἀπὸ αὐτῶν, ἀνήθου πλέονος ἐπιβεβλημένου. Ὀρνίθων δὲ 26
πόδας καὶ πτέρυγας κάλλιον εἰς ὄξος ἀποβάπτουσαν ἐσθίειν, πεπέ-
ρεως, ἢ ὀποῦ ἐμβεβλημένου. Κρεῶν δὲ καὶ ῥοφημάτων τηνικαῦτα ἀπέ- 27
χεσθαι πλὴν πτισάνης. Τὸ μὲν οὖν παχὺ οὕτω χρὴ διορθοῦσθαι καὶ 28
μὴ ἐᾶν· εἰ δὲ μή, ἐντεῦθεν κίνδυνος καὶ ἐπίληπτον γενέσθαι τὸ παι-
δίον καὶ ἕτερόν τι παθεῖν οὐκ ἐπιτήδειον· εἰ δέ που γένοιτο δρι-

avec l'oxymel. Il faut aussi amaigrir la nourrice à l'aide d'exercices 23
avant le repas. C'est dans ces circonstances que l'origan, l'*hyssope*, le 24
thymbre, l'aiguillette et le *thym*, conviennent aussi, les uns comme con-
diment pour les aliments, les autres pour servir de boisson bouillis
dans l'eau. Les meilleurs vins sont [dans ces circonstances] les vins 25
blancs, odoriférants et légèrement ténus, et les meilleurs mets secon-
daires, le raifort pris en petite quantité, de la vieille salaison de Cadix,
pris avec de l'oxymel et de l'origan vert; en fait de poissons, des boule-
reaux, des perches, des girelles, des tourdes et des merles; en fait de
coquillages, des *tellines* et des peignes, ainsi que l'eau de ces animaux,
à laquelle on ajoute une assez grande quantité d'aneth. Il convient de 26
manger les cuisses et les ailes de poulets, en les trempant dans du vi-
naigre et en ajoutant du poivre, ou du suc de silphium. Dans ce cas on 27
doit s'abstenir de viande et de bouillies, à l'exception de l'orge mondée.
Voilà comment il faut corriger la trop grande consistance du lait, circons- 28
tance qu'on ne doit pas négliger, car, dans ce cas, on risquerait de voir
l'enfant devenir épileptique, ou souffrir de quelque autre affection préju-
diciable; mais, si parfois le lait devient trop âcre et trop ténu, il faut dimi-

1. οἱ *Syn.*, Paul.; om. F. — 3. ὁ σκ. *Syn.*, Paul.; ἡ σκ. F. — 4. [δέ] ex em.; om. F. — 5. ὑπόλεπτοι ex em.; ὑπόλευκοι καὶ ὑπόλευτοι F. — 8. κοψικοί F.

μύτερόν τε καὶ λεπτότερον, ἐνταῦθα τῶν μὲν πόνων κουφίζειν τῶν πολλῶν, εὐωχεῖν δὲ τὴν τιτθὴν ῥοφήμασί τε καὶ κρέασι χοίρων καὶ ἐρίφων καὶ ἀρνίων, καὶ σίραιον διδόναι πίνειν καὶ οἶνον γλυκύν.

29 *Εἰ δὲ ἧσσον γένοιτο, τῶν τε ῥοφημάτων προσφέρειν, καὶ μάλιστα πτισάνης, καὶ τἄλλα δαψιλέστερον διαιτᾷν, καὶ γλεῦκος διδόναι πίνειν καὶ οἶνον γλυκὺν, καὶ πυροὺς ἑφθοὺς μετὰ σιραίου, καὶ φυλάττεσθαι μὲν τὰς ἐκκρίσεις, καὶ μάλιστα ἱδρώτων, ὥστε οὐδὲ λουτρὸν συνεχὲς ἁρμόσει, ἐπανιέναι δὲ τῶν γυμνασίων καὶ ἀνατρίβειν στῆθος καὶ τιτθοὺς, καὶ πάντα τρόπον ταύτῃ ἐρεθίζειν· ταῖς δὲ ἂν*

30 *καὶ σικύα προσβαλλομένη παράσχοι τὸ δέον. Τὰ δὲ φάρμακα οἷς ἄγουσι γάλα, ὅτι μὲν ἀνύει τι, οἶδα· οὐ μὴν συνεχῶς χρῆσθαι κελεύω· συντήκει γὰρ βιαιότερον· ἔστι δὲ μαράθρου τε ῥίζα καὶ ὁ καρπὸς ἐν πτισάνῃ ἡψημένα καὶ γλαῦξ ἡ πόα μετὰ πτισάνης καὶ*

nuer les exercices trop multipliés; on donnera à la nourrice des mets agréables, par exemple des bouillies, de la viande de jeune porc, de chevreau ou d'agneau, et pour boisson du vin doux cuit et du vin d'un goût sucré.

29 Si cette mauvaise qualité du lait existe à un moindre degré, on administrera des bouillies, et surtout de l'orge mondée; on prescrira, du reste, à la nourrice un régime assez abondant; on lui fera boire du vin doux et du vin d'un goût sucré, ainsi que du froment bouilli dans du vin doux cuit; on prendra garde aux excrétions, surtout à celle de la sueur (les bains fréquents ne conviendront donc pas non plus); on diminuera les exercices; on frottera la poitrine et les mamelles, et on produira de toutes les manières possibles une irritation de ce côté-là; chez certaines femmes, l'application d'une ventouse produira l'effet désiré.

30 Je sais que les médicaments administrés pour pousser au lait produisent de l'effet; cependant je n'ordonne pas d'y recourir constamment, car ils produisent une colliquation assez violente; ce sont la racine et la graine de fenouil bouillies dans une décoction d'orge mondée, le cresson sauvage pris avec de l'orge mondée, les feuilles de luzerne en arbre prises

1. *τὸν μὲν πόνον* F text. — 3. *ἀρνείων* F. — 4. *γένοιτο* ex em.; *γένηται* F. — 5. *γλύκος* F. — 9. *στῆθος* *Syn.*, Paul.; *τὸ στῆθος* F. — Ib. *ταύτῃ* ex em.; *ταύτην* F. — 10. *παράσχοι* *Syn.*, Paul.; *πάσχοι* F. — 12. *γάρ* *Syn.*, Paul.; *δέ* F. — 13 *ἑψειμένῳ* F. — Ib. *καὶ γλαῦξ καί* F.

*κυτίσου φύλλα ἐν οἴνῳ μέλανι, ἢ ϖτισάνῃ, καὶ μελάνθιον ἐν γλυκεῖ καὶ
ἄνηθον καὶ ὁ καρπὸς αὐτοῦ καὶ ἡ ῥίζα καὶ ἀλίμου ῥίζα ἐν ϖτισάνῃ,
ἢ οἴνῳ, καὶ σταφυλίνου ῥίζα καὶ οἱ καυλοί. Χρὴ δὲ θερμῷ ϖροαιο-* 31
νήσαντας οὕτω ϖροσφέρειν. Χρὴ δὲ ϖαῖδα ϖαραστησαμένην τῶν 32
μειζόνων θηλάζειν· ϖροτρέπει γὰρ ῥεῖν. Πᾶν μέντοι τὸ ϖονηρὸν 33
*γάλα, καὶ εἰ ϖαχὺ εἴη, καὶ εἰ δριμὺ, καὶ εἰ δυσωδίαν ἔχοι, ϖροα-
μέλξασαν οὕτω ϖροστίθεσθαι τὸ ϖαιδίον· τὸ δὲ δριμὺ μηδέποτε
ἄσιτον διδόναι. Τὰς δὲ δυσωδίας κἂν οἶνος εὐώδης, κἂν σιτίον εὐή-* 34
δυντον, κἂν μελίκρας οἶνος διορθοῦν δύναιτο.

ιδ΄. Περὶ τῆς τροφοῦ.

Ταῦτα οὖν ἅπαντα ϖερὶ τὸ ϖαιδίον εἰς τρίτον ἔτος ἀπὸ τῆς ϖρώ- 1
της γενέσεως ἀξιῶ ϖραγματεύεσθαι, καὶ ϖρὸ τούτου ἔτι τῆς τρεφούσης αὐτῆς οὐ σμικρὰν ϖεποιῆσθαι ϖρόνοιαν, ὡς ἄριστον ἀεὶ τὴν

dans du vin noir, ou dans une décoction d'orge mondée, la nielle prise dans du vin d'un goût sucré, la graine et la racine d'aneth, la racine de soutenelle prise dans une décoction d'orge mondée ou dans du vin, la
racine et les tiges de la carotte. Avant d'administrer ces médicaments, il 31
faut faire des affusions d'eau chaude. La nourrice placera à côté d'elle, 32
pour la teter, un garçon déjà assez grand, car cela excite le lait à cou-
ler. Après s'être fait tirer de cette manière le lait vicieux quelconque, 33
qu'il soit épais, âcre, ou qu'il ait une mauvaise odeur, la nourrice donnera le sein à l'enfant; mais, si la nourrice a du lait âcre, elle ne don-
nera jamais à teter à jeun. On pourra redresser la mauvaise odeur 34
du lait à l'aide de vin odoriférant, d'aliments bien assaisonnés, ou de vin miellé.

14. DE LA NOURRICE.

Je suis d'avis qu'il faut prendre toutes ces précautions pour l'enfant 1
jusqu'à sa troisième année, à compter depuis le premier instant de sa naissance; mais, avant cela, on aura encore un soin tout particulier de la nourrice, afin que son lait ait toujours le meilleur tempérament pos-

4. *ϖαραστησάμενον* F. — Ch. 14; l. 10. *Τοῦτο* F.

2 κρᾶσιν ὑπάρχῃ τὸ γάλα. Γένοιτο δὲ ἂν τοιοῦτο, εἰ τὸ αἷμα χρηστότατον εἴη· γεννᾶται δὲ τὸ τοιοῦτο ἐπί τε τοῖς συμμέτροις γυμνασίοις καὶ τροφαῖς εὐχύμοις τε ἅμα καὶ κατὰ καιρὸν τὸν προσήκοντα καὶ μέτρα τὰ δέοντα λαμβανομέναις, ὥσπερ οὖν καὶ πόμασι εὐκαίροις τε καὶ μετρίοις. 3 Ἀφροδισίων δὲ παντάπασι κελεύω ἀπέχεσθαι τὰς θηλαζούσας παιδία γυναῖκας· αἵ τε γὰρ ἐπιμήνιοι καθάρσεις αὐταῖς ἐρεθίζονται μιγνυμέναις ἀνδρὶ, καὶ οὐκ εὐῶδες μένει τὸ γάλα, καί τινες αὐτῶν ἐν γαστρὶ λαμβάνουσιν· οὗ βλαβερώτερον οὐδὲν ἂν εἴη γάλακτι τρεφομένῳ παιδίῳ· δαπανᾶται γὰρ ἐν τῷδε τὸ χρηστότατον τοῦ αἵματος εἰς τὸ κυούμενον· διόπερ ἐγὼ συμβουλεύσαιμι ἂν, εἰ κυήσειεν ἡ θηλάζουσα τὸ παιδίον, ἑτέραν ἐξευρίσκειν τροφόν.

ιε'. Περὶ τροφοῦ γάλακτος καὶ περὶ δοκιμασίας γάλακτος ἀρίστου. Ἐκ τῶν Μνησιθέου τοῦ Κυζικηνοῦ.

1 Εἰς παιδοτροφίαν τροφὸν μὲν γένει λαμβάνειν Θρέτταν, ἢ Αἰγυ-

2 sible. Or il en sera ainsi, si son sang est éminemment bon, et les conditions requises pour former un pareil sang sont des exercices modérés, des aliments qui contiennent de bons sucs et qu'on prend en temps opportun et en quantité convenable, et aussi des boissons pour lesquelles 3 on observe les mêmes règles. J'ordonne aux femmes qui nourrissent des petits enfants de s'abstenir complétement du coït; car les rapports qu'elles ont avec un homme provoquent le flux menstruel; dans ce cas leur lait ne conserve pas sa bonne odeur, et quelques-unes deviennent enceintes; or il n'y a rien de plus nuisible pour un enfant qu'on élève au sein, que l'état de grossesse de la nourrice : car, dans ce cas, la meilleure partie du sang est consacrée au fœtus contenu dans l'utérus : pour cette raison, je conseillerais de chercher une autre nourrice au cas où celle qui allaitait l'enfant aurait conçu.

15. DU LAIT DE LA NOURRICE ET DE LA MANIÈRE DE RECONNAÎTRE LE MEILLEUR LAIT. — TIRÉ DE MNÉSITHÉE DE CYZIQUE.

1 Pour nourrir un enfant, il faut prendre une femme de nation thrace,

1. Γίγνοιτο F. — 2. τοῖς τοιούτοις συμμ. F.

πλίαν, ἢ ἄλλην παραπλησίαν ταῖς εἰρημέναις. Ἔστω δὲ εὐμεγέθης, 2
εὔπλευρος, εὔσαρκος, καλὴ τὴν ὄψιν, εὔκολος πρὸς ἅπαν σιτίον, μὴ
ἐκταρασσομένη τὴν κοιλίαν. Ἀπολελύσθω δὲ παντὸς πάθους, καὶ 3
μάλιστα ἐπιληπτικῶν καὶ ὑστερικῶν πνιγμῶν καὶ ἐνθεαστικῶν.
Ἔστω δὲ καθάριος κατὰ τὴν ἐσθῆτα καὶ τὴν λοιπὴν δίαιταν, κατὰ 4
τὸν αὐτῆς χρῶτα μὴ δυσώδης, τῇ τε διανοίᾳ ἱλαρὰ, ῥᾴθυμος, πραέα,
ἁπλῆ, ἐτῶν οὖσα μὴ πλεόνων τριάκοντα, ἐλάττων δὲ ἑνὶ, ἢ δυσίν·
εἶτα τὰ καταμήνια μὴ φαίνηται. Ἔστω δὲ αὐστηρὰ πρὸς ἀνδρῶν ὁμι- 5
λίαν, καὶ πλείω παιδία ἐκτετροφυῖα, ἅμα τε τῇ μητρὶ τετοκυῖα
τὸ αὐτὸ γένος. Κράτιστόν τέ ἐστι τὸ γάλα μετὰ μʹ ἡμέρας τοῦ τό- 6
κου τῆς γυναικὸς θηλάζειν. Δοκιμάζομεν δὲ μάλιστα μὲν τὰς τετο- 7
κυίας αὐτάς· εἰ δὲ μὴ, οἰκείας, ἢ συγγενεῖς, ἢ τὰς ὁμοίας ταύτῃ
οὔσας τῷ εἴδει. Μαστοὶ δὲ ἄριστοι εὐμεγέθεις, ὁμαλώτατοι τῇ τῶν 8
σαρκῶν πολυπληθείᾳ, μὴ λαγαροὶ καὶ διάκενοι ἐκ τοῦ κατὰ τὴν

ou égyptienne, ou quelque autre qui leur ressemble. Elle devra avoir 2
une grande taille, la poitrine bien développée, les chairs d'une bonne
nature, être belle à voir, s'arranger facilement de toute espèce d'aliments
et ne pas être sujette aux dérangements du ventre. Elle sera exempte de 3
toute maladie, et surtout de l'épilepsie et des étouffements hystériques,
ou de ceux qui se développent par une influence divine. Elle devra être 4
propre dans ses vêtements ainsi que dans les autres détails de la vie; sa
peau n'aura pas de mauvaise odeur; elle aura un caractère gai, facile,
doux et simple; son âge ne dépassera pas trente ans et restera même en
deçà d'un ou de deux ans; ses règles ne doivent pas paraître pendant
l'allaitement. Qu'elle soit sévère pour le commerce avec les hommes; 5
qu'elle ait déjà achevé l'allaitement de plusieurs enfants, et que son der-
nier enfant soit du même âge et du même sexe que celui de la mère. Son 6
lait doit avoir quarante jours après l'accouchement pour être dans la meil-
leure condition. Nous préférons surtout les mères elles-mêmes, ou, si 7
cela ne se peut pas, leurs proches, leurs parentes, ou les femmes qui leur
ressemblent pour la forme. Les meilleures conditions pour les seins sont 8
d'être volumineux, de présenter une grande égalité, par rapport à la masse
des chairs, de ne pas être lâches ou spongieux à la région moyenne, ou

7. πλέον F. — 8. εἶτα conj.; ἢ F. — 13. ὁμαλότητι τῶν F.

μέσην χώραν, μήτε ἐκ τοῦ κατὰ τὸ στῆθος μέρους ὑπόκενοι καὶ
θυλακώδεις, μήτε λίαν ὀγκώδεις ἔχουσι τὰς θηλὰς μεγάλας, ὀπὰς
9 μαλακὰς, τὰ τρήματα ὁμαλὰ, εὔτρητα. Γάλα δὲ βέλτιστον τὸ σύμ-
μετρον πάχει, πλήθει, ὀσμῇ, χρόᾳ, γεύσει, ἀφρῷ· ἐὰν δὲ μὴ τῷ
10 πλήθει σύμμετρον ᾖ, ἡ τὸ πλεῖον ἔχουσα αἱρετωτέρα τροφός. Αὕτη
μὲν οὖν ἡ διὰ τῶν αἰσθήσεων δοκιμασία κρατίστη· δευτέρα δὲ, εἰς
ἀγγεῖον ἀργυροῦν, ἢ λευκοῦ χαλκοῦ καθαροῦ κοιλότητα ἔχον ἱκα-
νὴν ὥστε πλῆθος ὑγροῦ δέξασθαι ἐγχέας ὕδωρ ἀφηψημένον, ἢ διη-
θημένον, ἢ ὅτι καθαρώτατον, ἐπιστάξαι τοῦ γάλακτος σταγόνας ὅσον
τὸν ἀριθμὸν ι' ἢ ιε', καὶ κατανοεῖν τὴν τοῦ γάλακτος διάχυσιν, εἰ
μήτε ταχεῖα, μήτε βραδεῖα τελέως γίνεται, μέσως δέ· τὸ γὰρ
11 τοιοῦτον ἄριστον· θεωρεῖν δὲ ταῦτα ἐν ὑγείᾳ. Χρήσιμον δέ ἐστι
καὶ τὸ ἐπὶ τοῦ ὄνυχος διαυγάζον· δεῖ δὲ ἐπισταλάξαντα ἐπὶ τὸν
τοῦ μεγάλου δακτύλου ὄνυχα ὑπὸ τὴν αὐγὴν θεωρεῖν ἅμα εἰς τὴν
ἀπόῤῥυσιν ἐν τῷ ἀποκλίνειν τὸν ὄνυχα, εἰ ταχεῖαν, ἢ πάλιν βρα-

vides et semblables à des sacs dans le voisinage de la poitrine, enfin de
ne pas être trop saillants; ils doivent présenter des papilles grandes avec
9 des canaux mous et des ouvertures lisses et bien percées. Le meilleur
lait est celui qui offre des conditions moyennes, sous le rapport de l'é-
paisseur, de la quantité, de l'odeur, de la couleur, du goût et de l'écume;
si la quantité n'est pas moyenne, on préférera une nourrice qui a plus
10 de lait. C'est là la meilleure épreuve qu'on puisse faire à l'aide des sens;
la seconde consiste d'abord à verser de l'eau bouillie, ou filtrée, ou aussi
pure que possible, dans un vase propre d'argent, ou de cuivre blanc,
pourvu d'une cavité assez grande pour recevoir du liquide en quantité,
puis à faire tomber dans cette eau dix ou quinze gouttes de lait; alors on
examinera si la dispersion du lait dans l'eau ne s'opère ni extrêmement
vite, ni très-lentement, mais avec une célérité moyenne, car ce lait-là
11 est le meilleur; il faut faire cette épreuve dans l'état de santé. C'est en-
core une bonne qualité du lait d'être transparent sur l'ongle : on lais-
sera tomber des gouttes de lait sur l'ongle du pouce, et on le regardera
au grand jour, en faisant attention en même temps à la manière dont il

1. μηδέ F. — 2. ἔχουσι conj.; ἔχουσα F. — 4. πάχει *Syn.*, Paul., παχύ F. — 14. θεωρεῖν ex em.; θεωροῦντα F. — Ib. εἰς τό F.

δεῖαν ἴσχει· ἀμφότερα γὰρ ἄχρηστα, τὸ δὲ συμμέτρως ἀποῤῥέον
χρήσιμον. Δοκιμάζειν δὲ καὶ οὕτως· ἐγχέαντα τὸ ὀγδοημόριον τοῦ 12
γάλακτος εἰς ἀγγεῖον ὑέλινον, ἢ κεράτινον, ἢ κόγχον θαλάττιον, ἐμ-
βάλλειν ταμίσου τὸ σύμμετρον, καὶ διαθλίψαι τοῖς δακτύλοις, εἶτα
ἐάσαντα ἕως οὗ παγῇ, θεωρεῖν, εἰ ἔλαττον τὸ τυρῶδες, πλέον δὲ
τὸ ὑδατῶδες γίνεται· τὸ γὰρ τοιοῦτον γάλα ἄχρηστον πρὸς τρο-
φὴν, καὶ τὸ πλεῖστον αὐτοῦ ἐξουρεῖται. Εἰ δὲ τὸ παγὲν πλέον μὲν 13
τὸ τυρῶδες ἔχει, ἔλαττον δὲ τὸ ὑδατῶδες, δύσπεπτον καὶ δυσκατέρ-
γαστον αὐτὸ ὑποληπτέον· ἄριστον δὲ τὸ σύμμετρον μὲν τὸ τυρῶδες
ἐσχηκὸς, σύμμετρον δὲ τὸ ὑδατῶδες. Ποιεῖσθαι δὲ καὶ [ταύτην] τὴν 14
δοκιμασίαν, μάλιστα τῇ ἐαρινῇ ὥρᾳ· ἄγγος τὸ ὑάλινον, ἢ κεράτι-
νον, ἢ κόγχον θαλάττιον ἐμπλήσας τοῦ γάλακτος ἀπὸ ἑσπέρας, ἐν
τόπῳ εὐδιεινῷ θὲς, εἶτα πρωῒ θεώρει τὸν ἐπίπαγον, ἢ καὶ τὸ
γραῶδες, εἰ τελείως πολύ ἐστιν, ἢ τοὐναντίον ὀλίγον, τὸ δὲ ὑγρὸν

s'écoule, rapidement, ou lentement, lorsqu'on abaisse l'ongle, car ces deux
cas sont également mauvais; au contraire, le lait qui s'écoule avec une
lenteur moyenne est bon. On fera encore l'épreuve suivante : on versera 12
la huitième partie d'un cotyle de lait dans un vase en verre ou en
corne, ou dans une coquille marine, on y ajoutera une quantité moyenne
de présure, on écrasera avec les doigts, puis on abandonnera le mélange
à lui-même jusqu'à ce qu'il se coagule; ensuite on examinera si on ob-
tient une quantité plus abondante d'éléments aqueux que d'éléments
caséeux, car un tel lait ne vaut rien comme aliment, et la plus grande
partie en passe par les urines. Si le lait figé contient plus de parties ca- 13
séeuses que de parties aqueuses, il faut croire qu'il se digérera et s'éla-
borera difficilement; le meilleur lait est celui qui contient une quantité
moyenne d'éléments caséeux et une quantité également moyenne d'élé-
ments aqueux. Il faut encore faire l'épreuve suivante, surtout au prin- 14
temps : le soir on remplit de lait le vase en verre ou en corne, ou la
coquille marine, on le place dans un endroit bien exposé au soleil; le
matin on examine le coagulum, ou pellicule, s'il est très-abondant, ou si,
au contraire, il existe en petite quantité, tandis que le liquide est abon-

3. ἢ κεράτ. ex em.; ἐμβαλλεῖν κεράτ. F. — 3-4. ἐμβαλεῖν F. — 6. ἄχρηστον Paul.; χρηστόν F, *Syn.* — 10. [ταύτην] conj.; om. F. — 14. τοὐναντίως F.

πολύ· τὰ γὰρ τοιαῦτα ἀχρεῖά ἐσῖιν· ᾧ δὲ ἡ συμμετρία ἠκολούθη-
15 σεν, ἄρισῖον. Ἐὰν δὲ συμβῇ τοὺς τιτθοὺς ἐλάτῖους, ἢ τὰς Θηλὰς
16 ἔχειν τὴν τροφὸν, τούς τε μασῖοὺς τριβέτωσαν. Καὶ ἀναδεσμεύειν
ἄνωθεν τῶν μασθῶν μαλακῷ λημνίσκῳ, τοὺς μασῖοὺς ἡσυχῇ πιεζοῦν-
17 τας, ἵνα ἐπίῤῥυσις τοῦ γάλακτος πλείων γένηται. Ἐὰν δὲ μεταξὺ
τοῦ γαλακτισμοῦ τοῦ παιδίου [τὸ] γάλα σβεσθῇ, κράτισῖον δὴ τὸ με-
ταβαίνειν ἐπὶ ἄλλον μασῖόν· εἰ δὲ μὴ εἴη δυνατὸν, γάλα κατασκευά-
ζειν, καταντλοῦντας ὕδατι Θερμῷ πολλῷ, προδόντας τι τῶν ἐπα-
κτικῶν καὶ ποιητικῶν πίνειν, οἷον ἱππομαράθρου ἀπεζεσμένου ὅσον
κοτύλας β′ μετὰ οἴνου εὐώδους, ἢ ἱπποσέλινον τὸν αὐτὸν τρόπον, ἢ
18 σελίνου ῥίζαν. Μετὰ δὲ τὰς καταντλήσεις διδόναι τινὶ Θηλάζειν,
καὶ βίᾳ τὴν ἐπίσπασιν ποιεῖσθαι, τρίβειν τε καὶ πάλιν καταντλεῖν,
μετά τε τὸ λουτρὸν δοτέον πιεῖν ἀφέψοντα πράσα κεφαλωτὰ, μα-
λάχην, σέλινον, μάραθρον, καὶ τῶν ἄλλων λαχάνων γένη τινὰ τῶν

dant : ces deux espèces de lait sont mauvaises; celui, au contraire, qui
15 présente une bonne proportion des divers éléments, est le meilleur. S'il
arrive que la nourrice ait les mamelles ou les papilles trop petites, il
16 faudra lui frotter les seins. On relèvera aussi les mamelles, en appli-
quant de haut en bas un bandage de charpie longue et molle, et on pres-
17 sera doucement, afin qu'il y ait un afflux de lait plus abondant. Si, au
milieu de l'allaitement, le lait se tarit, le meilleur est de passer à une
autre nourrice; si cela est impossible, on donnera du lait [à la nourrice],
en faisant des affusions abondantes d'eau chaude, précédées de l'admi-
nistration, sous forme de boisson, de quelque médicament qui puisse
amener ou donner du lait, comme, par exemple, le *fenouil de cheval*,
qu'on fera bouillir à la dose de deux cotyles avec du vin odoriférant, ou
du maceron administré de la même façon, ou de la racine de céleri.
18 Après les affusions, on fera sucer les mamelles par quelqu'un qui tirera
avec violence; on fera des frictions et de nouvelles affusions, et, après
le bain, on donnera à boire deux cotyles d'une décoction d'oignons de
poireau, de mauve, de céleri, de fenouil, ou de quelque autre espèce
d'herbe potagère sauvage (décoction qui devra contenir du froment for-

1. ἐσῖὶν ἢ τοὐναντίον ὀλίγον ᾧ F. — 6. γαλακτισμοῦ conj.; γάλακτος F. — Ib. [τό] conj.; om. F. — Ib. δὴ τό conj.; δὲ τό F. — 9. ποιητ. ποιεῖν πίνειν F. — Ib. ἀνεζ. F. — 11. τῶν καταντλήσεων F.

ἀγρίων· ἐχέτω δὲ ταῦτα πυροὺς καθέφθους· καλῶς ἀπηθήσαντα
κοτύλας δύο, μίξαντα ἀντὶ ἐλαίου οἶνον εὐώδη. Διδόναι [δὲ] καὶ 19
πᾶν σπέρμιον ἑψήσαντα μετὰ κυτίσου, ἤ τινος ἄλλου τῶν εἰρημέ-
νων, ἀπηθήσαντά [τε] τὸ ἴσον πλῆθος μετὰ τοῦ οἴνου διδόναι. Μετὰ 20
δὲ τὴν τούτων δόσιν προσβάλλειν σικύαν κατὰ ἑκάτερον τόπον τῶν μασθῶν καὶ κελεύειν θηλάζειν σφοδρότερον προσπεσόντα, τήν τε τροφὴν ψαθυρὰν καὶ εὐανάδοτον διδόναι, τό τε ποτὸν πλεῖον, οἶνον λεπτὸν εὐώδη θερμὸν πινόμενον, ἔχοντος τοῦ ὕδατός τινας τῶν εἰρημένων δυνάμεις.

ιϛʹ. Περὶ δοκιμασίας γάλακτος. Ἐκ τῶν Γαληνοῦ.

Δοκιμαστέον δὲ τὸ γάλα ἀκριβῶς γεύσει καὶ ὄψει καὶ ὀσφρήσει· 1
καὶ γὰρ γευομένοις καὶ ὀσμωμένοις ἡδὺ καὶ θεωμένοις λευκόν τε καὶ ὁμαλὲς καὶ μέσως ἔχον ὑγρότητος καὶ παχύτητος ὀφθήσεται

tement cuit), qu'on décantera avec soin et à laquelle on mêlera, au lieu
d'huile, du vin odoriférant. On donnera aussi une espèce de graine quel- 19
conque bouillie avec de la luzerne en arbre, ou avec quelque autre des ingrédients susnommés, et on donnera la même quantité, après l'avoir dé-
cantée au tamis avec du vin. Après l'administration de ces médicaments, 20
on appliquera une ventouse sur chaque mamelle, et on ordonnera [à quelqu'un] de sucer [les mamelles] avec assez de force; on donnera des aliments qui aient peu de cohésion et qui se distribuent facilement dans le corps, et des boissons abondantes, par exemple du vin odoriférant et ténu qu'on boira chaud, en ayant soin de mettre dans l'eau [qu'on y mêle], quelqu'un des médicaments que nous venons de nommer.

16. DE L'ÉPREUVE DU LAIT. — TIRÉ DE GALIEN.

Il faut faire soigneusement l'épreuve du lait à l'aide du goût, de la 1
vue et de l'odorat; en effet, le lait qui offre les meilleures qualités est agréable au goût et à l'odorat; à l'œil, il paraîtra blanc et lisse; il présentera une consistance moyenne entre le liquide et l'épais; le mauvais lait,

1. καθέφθους F. — 2. [δὲ] conj.; om. F. — 4. [τε] conj.; om. F. — 5. ἑκάτερον conj.; ἕκαστον F. — 8. θερμὸν τὸ πινόμενον F.

τὸ ἄριστον γάλα· τὸ δέ γε μοχθηρὸν ἤτοι παχὺ καὶ τυρῶδες, ἢ
ὑγρὸν καὶ ὀρῶδες, ἢ πελιδνὸν καὶ ἀνώμαλον ἐν χρόᾳ καὶ συστάσει,
ἢ διαφύσεις ἔχον ξηρὰς, ἢ ἀφρῶδες, ἢ βρομῶδες, ἢ δυσῶδες, ἢ τα-
χέως ἀποξυνόμενον, ἢ γευομένοις πικρότατον, ἢ ἅλμης, ἢ τινος ἑτέ-
ρας ἀλλοκότου ποιότητος ἔμφασιν παρέχον· καὶ γὰρ τὸ τοιοῦτον
2 γάλα μοχθηρὸν, οὐδὲ πρὸς τὴν ὀδμὴν ἡδὺ καθέστηκεν. Ταῦτα μὲν
οὖν ἔστω γνωρίσματα μοχθηροῦ τε καὶ χρηστοῦ γάλακτος· οἷς τεκ-
μαιρόμενον νοσώδη τὴν γυναῖκα ὄντα ἐπὶ ἑτέραν μεταβαίνειν· ἐπὶ δὲ
3 τῶν εὐπορούντων πλείονας εἶναι τὰς τιτθάς. Ὅταν δὲ ἐνδεῶς ἀθροί-
ζηται τὸ γάλα κατὰ τοὺς μαστοὺς, διάσκεψαι περὶ τοῦ αἵματος· ἤτοι
4 γὰρ ἔλαττόν ἐστι τοῦ προσήκοντος, ἢ μοχθηρότερον. Τὸ μὲν οὖν
ἔλαττον ὑγραινούσης τε καὶ θερμαινούσης δεῖται τῆς συμπάσης
διαίτης· τὸ δὲ μοχθηρότερον, εἰ μὲν χολῶδες ὑπάρχει, καθάρσεως
μὲν πρῶτον, εἶτα οἵας εἴρηται διαίτης· εἰ δὲ φλεγματικὸν, φαρμά-
κων θερμαινόντων μὲν, ἤτοι κατὰ τὴν πρώτην, εἶτα ἑξῆς καὶ τὴν

au contraire, sera épais et caséeux, liquide et séreux, ou livide, ou de cou-
leur et de consistance inégales, ou entrecoupé de stries sèches, écumeux,
d'odeur dégoûtante ou désagréable; il s'aigrira vite, il aura une amer-
tume très-prononcée, un goût de saumure, ou quelque autre saveur
peu propre au lait; car un tel lait est mauvais et n'a pas même une
2 odeur agréable. Ce sont là les signes distinctifs entre le bon et le mauvais
lait; si, d'après eux, vous conjecturez que la femme est maladive, vous
passerez à une autre nourrice; chez les gens riches il faut qu'il y en ait
3 plus d'une. Si le lait se rassemble en quantité insuffisante dans les seins,
il faut faire attention au sang : en effet, cette humeur sera en quantité
4 moindre qu'il ne le faut, ou elle sera détériorée. Si donc le sang est
diminué, il exige un régime entièrement approprié à humecter et à
échauffer : quant au sang détérioré, il exige, s'il est bilieux, d'abord
une purgation, ensuite le régime que nous venons de décrire; s'il est
pituiteux, il demande des médicaments qui échauffent au premier, ou,

3-4. ἢ διαφ..... ἀποξ. om. Gal. — 3. ξηρὰς] ἄνθας Aët.; ἐρυθρὰς ἢ σαρκώδεις Sor. — 5-6. καὶ γὰρ..... καθέστηκεν post τιτθάς l. 9 F; om. Aët. — 8-9. ἐπὶ ..... τιτθάς om. Gal. — 14. μέν Gal.; om. F. — 15. εἶτα ἑξῆς] ἢ θεξῆς F.

δευτέραν τάξιν, οὐ μὴν ξηραινόντων γε. Καλλίω δὲ αὐτῶν ὅσα μὴ 5
φάρμακα μόνον εἰσὶν, ἀλλὰ καὶ τροφαὶ, οἷον εὔζωμον, μάραθρον,
ἄνηθον· λέγω δὴ τὰς πόας αὐτὰς χλωρὰς ἔτι καὶ ὑγράς· αἱ γὰρ
ξηραὶ ξηραίνουσιν ἤδη καὶ θερμαίνουσι πλέον πρὸς τὸ παρόν.
Τούτου δὲ τοῦ γένους ἐσlὶ σμύρνιον, σέλινον, σίον, ἐρέβινθοι, 6
γλαῦξ ἡ πόα, πολύγαλον. Καὶ ἀνεμῶναι δὲ προσlιθέμεναι κατα- 7
σπῶσι γάλα. Ἄπειρα δέ ἐσlι τὰ τὸ γάλα βλάπlοντα· καὶ γὰρ ὅσα 8
πλέον ἢ χρὴ θερμαίνει, καὶ ὅσα ξηραίνει, καὶ ὅσα ψύχει, τὰ μὲν
τῇ ποιότητι τοῦ αἵματος λυμαινόμενα, τὰ δὲ τὴν οὐσίαν ὅλην ἐλάτ-
τονα ποιοῦντα κωλύει γεννᾶσθαι τὸ γάλα. Παραπλησίαν δὲ τοῖς 9
εἰρημένοις ἔχει δύναμιν ὅσα προτρέπειν ἢ παύειν καταμήνια πέ-
φυκεν· ὕλη γὰρ ἀμφοῖν κοινὴ τὸ ἐν ταῖς φλεψὶν αἷμα. Ταῦτά τοι 10
κἀπειδὰν ἐπὶ θάτερα τῶν μορίων φέρηται τὸ αἷμα, ξηραίνεται

plus tard aussi, au second degré, mais qui ne dessèchent pas. Les meil- 5
leurs de ces médicaments sont ceux qui ne jouent pas seulement le rôle
de médicaments, mais aussi celui d'aliments, comme la roquette, le
fenouil et l'aneth; je veux parler des herbes elles-mêmes, quand elles
sont encore vertes et humides, car, quand elles sont sèches, elles des-
sèchent et échauffent déjà plus qu'il ne le faut pour le cas actuel. A ce 6
genre appartiennent le smyrnium, le céleri, la berle, les pois chiches,
le cresson sauvage et le polygala. Les [deux espèces d'] anémone donnent 7
aussi du lait, si on les applique à l'extérieur. Les substances qui font du 8
tort au lait sont innombrables: en effet, aussi bien celles qui échauffent
que celles qui dessèchent ou refroidissent outre mesure empêchent la
formation du lait, les unes en détériorant la qualité du sang, les autres
en diminuant sa quantité. Les substances qui sont de nature à provo- 9
quer ou à arrêter l'écoulement des règles ont des vertus analogues à
celles des substances dont nous venons de parler; car le sang contenu
dans les veines est la source commune aussi bien du lait que des règles.
Si donc le sang se porte vers l'un des deux organes, l'autre devient sec. 10

1. γε om. Gal. — Ib. Καλλίον (sic) δ' ἂν αὐτῷ F. — 4. ἤδη ex em.; ἢ δεῖ F (voy. liv. XIV, ch. 63). — 4. πρὸς τὸ παρόν om. Gal. — 5. Τοῦτο F. — Ib. ἐσlὶ καὶ σμύρνιον Gal.; ἐσlὶν οἷον σμ. F. — 6. πολύγαλον Gal.; πολύγονον F. — 6-7. ἀνασπῶσι Gal. — 7. καὶ ὃ γάρ F. — 12. ὕλην γ. ἀμφ. κινεῖ (κοινεῖ inter l.) F. — Ib. τό] καί F. — 12-13. Ταῦτά τε κἀπ. δὲ ἐπὶ θ. F.

11 θάτερα. Θαυμασῖὸν οὖν οὐδὲν εἰ καὶ τὰ διαιτήματα καὶ τὰ φάρμακα παραπλήσια τά τε γεννῶντα καὶ τὰ παύοντα τὴν ἐφεξῆς ἐπὶ ἑκάσῖῳ μηνὶ κάθαρσιν καὶ τὴν ἐν μασῖοῖς τοῦ γάλακτος γένεσιν· τοσόνδε μέντοι διαφέρει ὅτι τμητικωτέρων καὶ θερμοτέρων ἐνίοτε τὰ κατὰ
12 τὰς μήτρας χρήζει· καὶ γὰρ ἀνασῖομοῦσθαι δέονται μᾶλλον. Ὅσα μὲν οὖν τὸ γάλα προτρέπει, ταῦτα καὶ τὰς ἐλλιπεῖς καθάρσεις ὠφελεῖ· τὰς δὲ ἐπὶ πλέον βεβλαμμένας, ἢ καὶ παντάπασιν ἰσχομένας, οὐκέτι οὐδὲν τῶν τοιούτων ἰᾶται, ἀλλὰ βράθυ, καὶ μῆον, ἶρίς τε καὶ καλαμίνθη, καὶ ὅσα τἄλλα τοιαῦτα τὰς παντελεῖς ἐπισχέσεις τῶν
13 κατὰ μήτρας καθάρσεων ἰᾶται. Ταῦτα μὲν ἔσῖω μοχθηροῦ τε καὶ χρησῖοῦ γάλακτος γνωρίσματα.

ιζ'. Περὶ τροφῆς παιδίου ἄχρι ἐτῶν ιδ'. Ἐκ τῶν Γαληνοῦ.

1 Τρέφειν δὲ τὸ παιδίον τὰ μὲν πρῶτα γάλακτι μόνῳ· ἐπειδὰν δὲ

11 Il n'y a donc rien d'étonnant, s'il y a de l'analogie entre le régime et les médicaments qui provoquent ou qui arrêtent l'évacuation revenant régulièrement chaque mois, et ceux qui agissent de la même manière sur la formation du lait dans les seins; il existe cependant entre eux cette différence que la matrice exige quelquefois des agents plus incisifs et
12 plus chauds, car elle a un plus grand besoin d'être ouverte. Les médicaments donc qui provoquent l'écoulement du lait font également du bien en cas d'insuffisance des règles; mais, quand l'évacuation utérine a éprouvé un empêchement plus grave, ou qu'il est complétement arrêté, aucun de ces médicaments ne saurait plus y porter remède, mais il faut recourir à la sabine, au cistre, à l'iris, à la *calaminthe*, et à toutes les autres substances analogues qui guérissent la rétention complète de l'écoule-
13 ment utérin. Que ce soient là les signes distinctifs entre le bon et le mauvais lait.

17. DE L'ÉDUCATION DE L'ENFANT JUSQU'À QUATORZE ANS.

1 Au commencement il faut nourrir l'enfant avec du lait seul; mais,

1. εἴη καὶ τά F; εἰ τά Gal. — 2. παραπλήσια om. F. — Ib. ἐφεξῆς om. Gal. — 4. θερμ.] τιμοτέρων F. — 5. ἀνεσῖομῶσθαι Gal. — 6. γάλα] αἷμα ὑπέρχεσθαι Gal. — Ch. 17; l. 12. τὰ μὲν πρῶτα om. Gal.

φύσῃ τοὺς πρόσθεν ὀδόντας, ἐθίζειν ἤδη πως αὐτὸ καὶ τῆς παχυτέρας ἀνέχεσθαι τροφῆς, ὥσπερ οὖν καὶ τοῦτο αὐτὸ πείρᾳ διδαχθεῖσαι ποιοῦσιν αἱ γυναῖκες, ἄρτου μέν τι πρῶτον, ἐφεξῆς δὲ ὀσπρίων τε καὶ κρεῶν καὶ ὅσα τἄλλα τοιαῦτα, προμασώμεναι κἄπειτα ἐντιθεῖσαι τοῖς στόμασι τῶν παιδίων. Ἀνατρίβειν δὲ χρὴ τὸ σῶμα τῶν 2
βρεφῶν ἐλαίῳ γλυκεῖ καθάπερ καὶ τοῦτο αὐτὸ ποιοῦσιν ἐπιτηδείως αἱ πλεῖσται τῶν τροφῶν, εὐθὺς ῥυθμίζουσαί τε καὶ διαπλάττουσαι τὰ μόρια αὐτῶν. Ἐπί γε τοῦ νῦν ὑποκειμένου παιδίου τὴν κατα- 3
σκευὴν τοῦ σώματος ἀμέμπτως ἔχοντος οὐδὲν χρὴ περιεργάζεσθαι τὴν τροφὸν εἴς γε τὴν τῶν μελῶν εὐρυθμίαν, ἀλλὰ ἀνατρίβειν τὰ μέτρια καὶ λούειν ὁσημέραι, κατὰ ὅσον οἷόν τε μὴ περιεχομένου τοῦ γάλακτος ἀπέπτου κατὰ τὴν γαστέρα· κίνδυνος γὰρ ἀναληφθῆναι τοῦτο πρὶν πεφθῆναι καλῶς εἰς ὅλον τὸ σῶμα τοῦ παιδίου· πολὺ δὲ δὴ μᾶλλον εἰ καὶ τὴν γαστέρα τις αὐτὴν ἀνατρίβοι γάλακτος μεστήν, ἐμπλήσει τε τὸ σῶμα τροφῆς ἀπέπτου, συμπληρώσει τε τὴν

quand il a fait ses dents de devant, il faut l'habituer déjà en quelque sorte à supporter une nourriture plus consistante, comme, d'ailleurs, les femmes le font, guidées par l'expérience, en mâchant préalablement des aliments qu'elles mettent ensuite dans la bouche de l'enfant, et qui consistent d'abord en un peu de pain, et, plus tard, en graines farineuses, viande, ou toute autre chose semblable. On frottera le corps des pe- 2
tits enfants avec de l'huile douce, ainsi que la plupart des nourrices le font bien à propos, en modelant et en figurant immédiatement leurs diverses parties. Mais, pour l'enfant dont il s'agit ici, et qui jouit d'une 3
structure de corps irréprochable, la nourrice n'a aucune peine à prendre pour donner une forme bien proportionnée aux membres; seulement elle doit les frotter modérément et les laver tous les jours, en choisissant, autant que possible, un moment où l'estomac ne contient point de lait mal digéré, car il y a danger de voir ce lait résorbé avant qu'il soit digéré; à bien plus forte raison, si on frotte l'estomac lui-même quand il est plein de lait, on remplira le corps de nourriture mal digérée et on produira de la plénitude à la tête: pour cette raison, il faut faire grande

1. πως] πρός F. — 10. τῶν τροφῶν F. — 12. ἀμέμπτ. F. — 14. ἀνατρίβειν F.

κεφαλήν· διὸ χρὴ πολλὴν πρόνοιαν πεποιῆσθαι τοῦ μὴ λαμβάνειν τὴν τροφὴν τὸ παιδίον μήτε πρὸ λουτρῶν, μήτε πρὸ ἀνατρίψεων.
4 Γίνοιτο δὲ ἂν τοῦτο παραφυλαττούσης ἀκριβῶς τῆς τροφοῦ τὸν ἐπὶ τοῖς μακροτέροις ὕπνοις καιρόν· ἐν τούτοις γὰρ μάλιστα τὴν κοιλίαν ἤτοι παντάπασι κενὴν, ἢ πεπεμμένην ἤδη τὴν τροφὴν περιέχουσαν εὑρεῖν ἔστιν· ὁ δὲ τοιοῦτος καιρὸς ἄλλοτε εἰς ἄλλον ἐμπί-
5 πτει χρόνον ἤτοι τῆς ἡμέρας, ἢ καὶ τῆς νυκτός. Ἐπὶ μέντοι τῶν μειζόνων ἤδη παιδίων ὅσα καὶ πληγαῖς καὶ ἀπειλαῖς καὶ ἐπιπλήξεσι πείθεσθαι δύναται καὶ νουθετήσεσι, καιρὸς ἂν εἴη διττὸς εἰς ἀνάτριψίν τε καὶ λουτρὸν, ὁ μὲν πρότερός τε καὶ ἄριστος ἐπειδὰν ἐξαναστάντα τῶν ἑωθινῶν ὕπνων, εἶτα παίξαντα τροφὴν αἰτῇ· τότε γὰρ ἐπιθέσθαι μάλιστα αὐτοῖς χρὴ, τὸ μὲν σῶμα πρὸς ὑγίειαν ἅμα καὶ εὐεξίαν ἀσκοῦντα, τὴν ψυχὴν δὲ εἰς εὐπείθειάν τε καὶ σωφροσύνην, οὐκ ἄλλως τροφὴν παρέξειν αὐτοῖς φάσκοντα, εἰ μὴ προθύμως ὑπακούσοιεν ᾧ ἂν θέλωμεν ἡμεῖς ἀνατρίβειν τε καὶ λούειν.
6 Οὗτος μὲν οὖν ὁ ἄριστος καιρός· εἰ δέ τις ἀσχολία τὸν τρέφοντα

attention à ce que l'enfant ne prenne point d'aliment, ni avant le bain ni
4 avant les frictions. On arrivera à ce but si la nourrice s'en tient rigoureusement au temps qui suit un sommeil plus ou moins prolongé; alors on trouvera surtout ou que l'estomac est complétement vide, ou qu'il contient des aliments déjà digérés; or cette époque tombe tantôt sur telle
5 heure du jour ou de la nuit, et tantôt sur telle autre. Mais, quand les enfants sont déjà plus grands et qu'ils peuvent obéir aux coups, aux menaces, aux réprimandes et aux admonestations, il existe deux moments opportuns pour les frictions et pour le bain; le premier et le meilleur c'est lorsqu'ils s'éveillent le matin, et qu'après avoir joué ils demandent à manger; car c'est alors surtout qu'il faut les attaquer et donner à leur corps des habitudes à la fois de santé et de bonne apparence, et à leur âme des habitudes de docilité et de sagesse, en disant qu'on ne leur donnera pas d'aliments s'ils ne se prêtent de bonne grâce aux frictions auxquelles
6 on veut les soumettre et au bain qu'on doit leur administrer. C'est donc là le meilleur temps; mais, si quelque occupation détourne celui qui s'est

2. τοῦ παιδίου F. — 3. ἀκριβῶς om. Gal. — 9. εἰς om. F. — 14. φάσκοντας F; φάσκοντά σε Gal. — 15. ἐπακούσαιεν Gal.

τὸ παιδίον ἀπαγάγοι, μέτριον ἄρτου δόντα παίζειν ἐπιτρέπειν, εἰς
ὅσον ἂν βουληθῇ, κἄπειτα αὖθις ἐπιτρέψαν τρίβειν καὶ λούειν.
Οὐ μὴν πίνειν γε ἐπιτρεπτέον ποτὲ αὐτοῖς πρὸ τῶν λουτρῶν ἐπὶ 7
τοῖς σιτίοις· ἀθροωτέρα γὰρ ἂν οὕτως ἡ ἀνάδοσις εἰς τὸ σῶμα γί-
νοιτο τῶν ἐν γαστρὶ περιεχομένων. Μετὰ ταῦτα δὲ καὶ κατὰ ὃν ἂν 8
ἤδη χρόνον εἰς διδάσκαλον δύνηται φοιτᾷν, οὐκ ἀναγκαῖον λουτροῖς
χρῆσθαι συνεχέσιν, ἀλλὰ ἀρκεῖ διαπαλαίειν μανθάνοντι σύμμετρα
πονεῖν ἐνταῦθα πρὸ τῶν σιτίων. Τὸ δὲ ὑπερπονεῖν τοὺς παῖδας 9
οὐδαμῶς ἀγαθόν· ἀναυξῆ γὰρ ὑπὸ τῆς παρὰ καιρὸν σκληρότητος
ἀποτελεῖται τὰ σώματα. Καὶ οἴνου δὲ τὸν οὕτω πεφυκότα παῖδα μέ- 10
χρι πλείστου μηδόλως γεύειν· ὑγραίνει τε γὰρ ἱκανῶς καὶ θερ-
μαίνει τὸ σῶμα πινόμενος οἶνος, ἐμπίπλησί τε τὴν κεφαλὴν ἀτμῶν
ἐν ταῖς θερμαῖς καὶ ὑγραῖς κράσεσιν οἷα πέρ ἐστι καὶ ἡ τῶν τοιῶνδε
παιδίων. Φευκτῶν δὲ οὐσῶν τῶν ἀμετριῶν, μάλιστα ἂν εἴη φευκτὴ 11
κατὰ ἣν οὐκ εἰς τὸ σῶμα μόνον, ἀλλὰ καὶ εἰς τὴν ψυχὴν ἡ βλάβη

chargé de l'éducation, on donnera à l'enfant une quantité modérée de
pain, on lui permettra de jouer autant qu'il veut, ensuite on le friction-
nera et on le baignera de nouveau, s'il veut bien le supporter. Mais il ne 7
faut jamais permettre aux enfants de boire avant le bain et après le repas;
car, de cette manière, les aliments contenus dans l'estomac se distribue-
raient d'une manière trop soudaine dans le corps. Plus tard, à l'époque 8
où les enfants peuvent déjà fréquenter l'école, il n'est plus nécessaire
de recourir continuellement au bain; il suffit alors, après leur avoir
appris à lutter, de les exercer modérément avant le repas. Mais les exer- 9
cices excessifs ne sont pas du tout bons pour les enfants; car, en durcis-
sant inopportunément les chairs, ils empêchent la croissance de leur
corps. Pendant très-longtemps, à l'enfant parvenu à cet âge, on ne de- 10
vra point du tout donner de vin, car le vin qu'on prend en boisson hu-
mecte et échauffe assez fortement, et, chez les personnes d'un tempérament
chaud et humide, classe à laquelle appartiennent les enfants de cet âge,
il remplit la tête de vapeurs. En effet, quoiqu'on doive se garder de tous 11
les excès, on évitera surtout celui qui propage ses mauvais effets, non-

1. ἀπάγει Gal. — 2. ἐπιτρέψαν ex em.; ἐπιτρέψαντα F; αἰτῆσαν αὐτὸ τηνικαῦτα Gal. — 5. ἂν om. F. — 13. τοιούτων Gal. — 15. καθ' ἣν... ἀλλά om. F.

διικνεῖται· διόπερ οὐδὲ τοῖς ἤδη τελείοις ἄνευ τοῦ προσήκοντος μέτρου πινόμενος οἶνος ἀγαθὸς, ἀλλὰ τούτοις μὲν εἰς τὴν τῶν χολωδῶν περιτlωμάτων ἐπίκρασίν τε ἅμα καὶ κένωσιν ἐπιτήδειος, οὐχ ἧτlον δὲ καὶ εἰς τὴν ἐν αὐτοῖς τοῖς σlερεοῖς ὀργάνοις τοῦ ζῴου γινομένην ξηρότητα ὁ σύμμετρος ἐπιτήδειος οἶνος ὑγραίνων ὅσον ἀμέτρως ἐξήρανται καὶ ἀνατρέφων· οἱ δὲ παῖδες, ἅτε μήτε τὸν πικρόχολον ἀθροίζοντες χυμὸν οἰκείαν τε πολλὴν ἔχοντες ὑγρότητα, τῶν μὲν ἐξ οἴνου γινομένων ἀγαθῶν οὐδενὸς προσδέονται, μόνης δὲ ἀπο-
12 λαύουσιν αὐτοῦ τῆς βλάβης. Οὔκουν οὐδεὶς νοῦν ἔχων ἐπιτρέψει τοιούτῳ χρῆσθαι πόματι τοὺς παῖδας· οὐ μὴν ψυχροῦ πόματος εἰς τὸ παντελὲς εἴργειν κελεύω τοὺς τοιούτους παῖδας, ἀλλὰ ἐπὶ τοῖς σιτίοις τὰ πολλὰ καὶ κατὰ τὰς θερμοτέρας ὥρας, ὅταν ἥξωσιν αὐτοὶ πρὸς τὸ ψυχρὸν, ἐπιτρέπω χρήσασθαι μάλισlα μὲν, εἰ οἷόν τε, πηγαίῳ προσφάτῳ μηδεμίαν ἐπίκτητον ἔχοντι μοχθηρὰν ποιό-

seulement au corps, mais aussi à l'âme : pour cette raison, le vin bu au delà de la mesure convenable n'est pas même bon pour les gens déjà adultes, quoique, chez ces individus, il convienne [quand il est pris modérément] pour tempérer à la fois et pour évacuer les résidus bilieux, et que, chez eux, une certaine quantité de vin ne soit pas moins utile contre la sécheresse qui se forme dans les parties solides de l'économie, parce qu'il humecte et restaure les parties desséchées outre mesure; mais, comme les enfants n'ont pas une surabondance d'humeurs bilieuses amères, et qu'ils jouissent d'une humidité propre abondante, ils n'ont besoin d'aucun des bons effets produits par le vin; au contraire, ils n'en
12 recueillent que les mauvais. Aucun homme raisonnable ne permettra donc aux enfants de prendre une telle boisson; mais je n'ordonne pas de priver complétement les enfants de cet âge de boissons froides; au contraire, pendant les saisons chaudes, quand ils désirent eux-mêmes de l'eau froide, je leur accorde ordinairement d'en user après le repas, et surtout, s'il est possible, d'eau de source fraîche, dépourvue de toute mauvaise qualité acquise; s'il n'y a pas de pareille eau, je leur permets également d'em-

3. ἔκκρισιν F. — 5. ὁ δὲ συμμ. F; om. Gal. — 6. μήτε om. F. — 12. χώρας ἢ ὥρ. μᾶλλον F. — Ib. ὅτε ἥξουσιν Gal.; ὅταν ἀξιῶσιν F. — 13. αὐτοῖς F.

τητα, μὴ παρόντος δὲ τοῦ τοιούτου, τοῖς ἄλλοις. Φυλάτλεσθαι δὲ 13
τά τε λιμναῖα καὶ θολερὰ καὶ δυσώδη καὶ ἀλυκά, καὶ ἁπλῶς εἰ-
πεῖν, ὅσα τινὰ ποιότητα κατὰ τὴν γεῦσιν ἐνδείκνυται, τά τε παρα-
μένοντα τοῖς ὑποχονδρίοις ἐπὶ πλέον. Οὐ χρὴ δὲ νομίζειν, καθά- 14
περ οἴνων τε καὶ γυμνασίων καὶ ἀφροδισίων ἐγρηγόρσεών τε καὶ
ὕπνων ἄλλον ἄλλως ἀπολαύειν προσῆκε κατὰ τὰς διαφόρους ἡλι-
κίας, οὕτω καὶ ὕδατος, ἀλλὰ ὅ περ ἄρισΊόν ἐσΊι, τούτῳ πειρᾶσθαι
χρῆσθαι καὶ παῖδα καὶ νεανίσκον καὶ πρεσβύτην, ὥσπερ γε καὶ
ἀέρα τὸν ἄρισΊον εἰσπνεῖν ἅπασιν ὁμοίως χρησΊόν. Τῶν δὲ ἀπὸ τῆς 15
πρώτης ἑβδομάδος παίδων μέχρι τῆς δευτέρας ἡ μὲν κρᾶσις θερμὴ
μὲν ὁμοίως ἐσΊὶν, ὑγρὰ δὲ οὐχ ὁμοίως· ἀεὶ γὰρ ἀπὸ τῆς πρώτης
γενέσεως ἅπαν ζῷον ὁσημέραι γίνεται ξηρότερον, οὐ μὴν ψυχρό-
τερόν γε, ἢ θερμότερον, ἀλλὰ ὅσα μὲν ἄρισΊα κατεσκεύασΊαι σώ-
ματα, παραπλησία πως ἐπὶ τούτων ἄχρι τῆς ἀκμῆς ἡ θερμότης
παραμένει, ὅσα δὲ ὑγρότερά τε καὶ θερμότερα τῶν ἀρίσΊων ἐσΊὶν,

ployer les autres espèces. Ils éviteront les eaux de lac, ainsi que les 13
eaux troubles, de mauvaise odeur, ou salées, en un mot, toutes celles
qui montrent au goût une qualité quelconque, ou qui séjournent long-
temps dans les hypocondres. Il ne faut pas croire qu'il en est pour 14
l'eau comme pour le vin, les exercices, les rapprochements sexuels, la
veille et le sommeil, dont tel individu doit faire usage de telle manière,
et tel autre d'une autre, selon la diversité des âges; mais l'enfant, aussi
bien que le jeune homme et le vieillard, doivent tâcher d'employer
celle qui est la meilleure, de même qu'il leur est également utile à tous
d'aspirer le meilleur air. Le tempérament des enfants, depuis l'accom- 15
plissement de la première semaine [d'années] jusqu'à la terminaison
de la seconde, a le même degré de chaleur que l'âge précédent, mais
non le même degré d'humidité; car, à compter depuis l'instant de sa
naissance, tout animal devient chaque jour de plus en plus sec, mais
non de plus en plus froid ou de plus en plus chaud; au contraire, les
individus qui jouissent de la meilleure structure possible conservent,
en quelque sorte, le même degré de chaleur jusqu'au milieu de leur
vie, tandis que, chez ceux qui sont plus humides et plus chauds que les

5. τε καὶ σιτίων καὶ γυμνασίων Gal. — 6. προσήκει Gal. — 7. πειρᾶσθαι om. Gal. — 15. θερμότερα] ψυχρότερα Gal.

16 αὐξάνεται τούτων ἡ θερμότης. Ἀλλὰ οὐχ ὅ γε νῦν λόγος ὑπὲρ ἐκεί-
νων ἐστίν· ὁ δὲ ἄριστα κατεσκευασμένος ἄνθρωπος ἄχρι τῆς τεσ-
σαρεσκαιδεκαέτιδος ἡλικίας ἐν τῇ προειρημένῃ διαίτῃ φυλαττέσθω,
γυμναζόμενός τε μήτε πάνυ πολλὰ, μήτε βίαια, μή πως αὐτοῦ
τὴν αὔξησιν ἐπίσχωμεν, καὶ λουόμενος ἐν θερμοῖς μᾶλλον ἢ ψυ-
χροῖς λουτροῖς· οὔπω γὰρ οὐδὲ τούτων ἀνέχεσθαι ἀλύπως δυνηθή-
17 σεται. Πλαττέσθω δὲ καὶ τὴν ψυχὴν ἐν τῷδε τῆς ἡλικίας μᾶλλον
διὰ ἐθισμῶν τε καὶ σεμνῶν μαθημάτων ὅσα μάλιστα ψυχὴν ἐργά-
σασθαι κοσμίαν ἱκανά· πρὸς γὰρ τὰ μέλλοντα κατὰ τὴν ἑξῆς ἡλι-
κίαν αὐτῶν περὶ τὸ σῶμα πραχθήσεσθαι μέγιστον ἐφόδιόν ἐστιν
18 ἡ εὐκοσμία τε καὶ εὐπείθεια. Διαιτᾷν μὲν οὖν χρὴ τοῦτον τὸν τρό-
πον τοὺς παῖδας.

ιη'. Δίαιτα τῆς μετὰ τεσσαρεσκαιδέκατον ἔτος ἡλικίας.

1 Τῆς μὲν οὖν τῶν περιττωμάτων κενώσεως οὕτω δεῖ προνοεῖ-

individus doués du meilleur tempérament, la chaleur augmente tou-
16 jours. Mais ceci ne fait pas partie de notre sujet actuel; l'homme qui
jouit de la meilleure structure possible devra donc persister, jusqu'à
l'âge de quatorze ans, dans le régime que nous venons de décrire, et
nous ne l'exercerons ni trop fortement, ni trop violemment, de peur
d'arrêter en quelque sorte sa croissance; nous lui ferons plutôt prendre
des bains chauds que des bains froids, car il ne pourra pas non plus
17 supporter encore les derniers sans inconvénient. A cet âge, on s'appli-
quera davantage aussi à former son âme par des habitudes et des ensei-
gements graves, qui sont surtout capables de la rendre bien réglée; or
la docilité et l'habitude de la règle sont des points très-importants dans
le dessein de préparer aux mesures qu'on devra prendre pour le corps
18 de ces jeunes gens dans l'âge suivant. Voilà le régime auquel il faut sou-
mettre les enfants.

18. RÉGIME POUR L'ÂGE CONSÉCUTIF À LA QUATORZIÈME ANNÉE.

1 Ce sont donc là (*voy. les notes*) les soins qu'il faut prendre pour ex-

2-3. τεσσαρεσκαίδεκα πενταετηρίδος ἡλ. F. — 4. μὴ πάνυ F. — 6-7. δυνήσεται Gal. — 7. καὶ μάλιστα Gal. — 8-9. ἐργάζεσθαι Gal.

σθαι· διαιτᾶν δὲ τοὺς τῆς τρίτης ἐπειλημμένους ἑβδομάδος ὧδί ϖως.

2 Τῷ δὴ τοιούτῳ κάλλιστά τε κατεσκευασμένῳ καὶ μόνῃ σχολάζοντι τῇ τοῦ σώματος ἐπιμελείᾳ τῆς ὑγιεινῆς ϖραγματείας ἀρχὴν τίθεσθαι ϖροσήκει τὴν ὑπὸ Ἱπποκράτους εἰρημένην κατὰ τήνδε τὴν ῥῆσιν· ϖόνοι, σιτία, ϖοτὰ, ὕπνοι, ἀφροδίσια, ϖάντα μέτρια· καὶ γὰρ τὸ ϖόσον ἀφώρισε ϖροσθεὶς τὸ μέτρια, καὶ τὸν καιρὸν ἐδίδαξε τῇ τάξει τοῦ λόγου· εἰς γὰρ τὴν τῆς ὑγιείας φυλακὴν ἄρχειν μὲν χρὴ τοὺς ϖόνους, ἕπεσθαι δὲ σιτία καὶ ϖοτὰ, εἶτα ἑξῆς ὕπνους, εἶτα ἀφροδίσια, τοῖς γε δὴ ἀφροδισίοις χρῆσθαι μέλλουσιν.

3 Τὸ τοίνυν ἄριστον σῶμα σκοποὺς ἔχει κατὰ μὲν τὰς ϖοσότητας καὶ ϖοιότητας καὶ δυνάμεις ἐν μὲν τοῖς γυμνασίοις τὰ μέτριά τε καὶ σύμμετρα μετὰ τοῦ ϖᾶσιν ὁμοτίμως τοῖς μορίοις τοῦ σώματος ϖροσάγεσθαι, φυλαττομένων ἡμῶν ἅπασαν ὑπερβολήν· κατὰ δὲ τὴν τῶν ἐσθιομένων τε καὶ ϖινομένων φύσιν ἐν ϖοσότητι καὶ ϖοιό-

pulser les résidus; mais le régime de ceux qui entrent dans la troisième semaine [d'années] doit être à peu près dirigé de la manière suivante.

2 Si un tel individu jouit de la meilleure structure possible, et s'il s'occupe uniquement des soins de son corps, il devra prendre pour fondement de l'art de conserver la santé la maxime proclamée par Hippocrate (*Épid.* VI, VI, 2) dans la phrase suivante : « Les exercices, les « aliments, les boissons, le sommeil, les rapports sexuels, doivent tous « être modérés; » en effet, par le mot *modérés*, l'auteur détermine la quantité, tandis qu'il enseigne le temps opportun par l'arrangement des mots de sa phrase : pour conserver la santé, il faut commencer par les exercices, faire suivre les aliments et les boissons, après cela le sommeil, et, en dernier lieu, les rapports sexuels, du moins pour ceux qui doivent en faire usage.

3 Un corps aussi bien constitué que possible a donc pour but dans les exercices, par rapport à la quantité, la qualité et la force, la mesure et la modération, ainsi que l'égalité des rapports de ces exercices avec les diverses parties du corps, pourvu que nous ayons soin d'éviter tout excès; dans la classe des aliments et des boissons, le but est de nouveau la modération, eu égard à la quantité, la qualité et la force,

4. ἐφ' F. — 5-6. *καὶ γὰρ καὶ* Gal. — 6. *τὸ ϖόν* F. — 11. *μέν* om. F.

τητι καὶ δυνάμει σκοπὸς πάλιν ἐστὶ κἀνταῦθα τὸ σύμμετρον, ὡς μήτε πλείω, μήτε ἐλάττω λαμβάνειν, ἀλλὰ ὅσα πεφθέντα καὶ ἀναδοθέντα καὶ θρέψαντα τὸ σῶμα καλῶς, εἰ δέοι καὶ τοῖς ἔτι αὐξανομένοις τι προστεθῆναι σύμμετρον, οὐδὲν ἐάσει περιττὸν, οὐδὲ
4 ἐνδεές. Ἐκ δὲ τῆς τῶν λουτρῶν χρήσεως ὀλίγη τοῖς ἄριστα κατεσκευασμένοις ἐστὶν ἡ ὠφέλεια· πάντα γὰρ ἔχουσι φθάνοντες ἐκ τῶν συμμέτρων γυμνασίων, ὥστε ἀποπλύνασθαι τὸν ἱδρῶτα καὶ τὴν κόνιν, εἰ καὶ ταύτῃ ποτὲ χρήσαιντο, δέονται μᾶλλον ἢ θερμανθῆναι
5 κατὰ τὸ βαλανεῖον. Διαβαδίσαι τοιγαροῦν χρήζουσιν μόνον ἄχρι τῆς δεξαμενῆς, οὐκ ἐνδιατρίψαι τῷ βαλανείῳ καθάπερ οἱ χωρὶς τοῦ
6 γυμνάσασθαι καθέψοντες ἑαυτούς. Οὐ μὴν οὐδὲ ἐγχρονίζειν ἐν τῇ κολυμβήθρᾳ δεῖται· περιπλυνάμενος δὲ, ὡς εἴρηται, πρὸς τὸ ψυχρὸν
7 ὕδωρ ἐπειγέσθω. Σύμμετρον δὲ ἔστω καὶ τοῦτο τῇ συμμέτρῳ φύσει τοῦ σώματος, μέχρις ἂν αὐξάνηται· ψυχρῷ δὲ μόνῳ μὴ λούειν, ἵνα

de façon qu'on ne prenne ni trop, ni trop peu; choisissez les aliments qui, même chez les individus en âge de croissance et réclamant une augmentation modérée de nourriture, ne laissent aucun résidu et ne font pas sentir le besoin de nouveaux matériaux, quand ils ont été digérés, qu'ils se sont distribués dans le corps et qu'ils ont nourri convenablement.
4 L'usage des bains ne fait que peu de bien à ceux qui jouissent de la meilleure structure possible, car les exercices modérés leur procurent déjà tous les avantages qu'ils pourraient en recueillir; ils ont donc moins besoin d'être échauffés par le bain que de se débarrasser de la sueur et de la poussière, si parfois ils avaient fait usage aussi de poussière [dans les exer-
5 cices]. Ils doivent donc traverser seulement les salles de bain jusqu'à la piscine froide, et ne pas séjourner dans la chambre chaude, comme ceux
6 qui se macèrent le corps sans prendre de l'exercice. Il ne faut pas rester longtemps non plus dans la piscine chaude; mais, après s'être lavé tout le corps, on doit, comme je l'ai déjà dit, se hâter d'arriver à l'eau
7 froide. Cette eau doit avoir aussi une température moyenne pour un corps d'une nature moyenne, aussi longtemps que dure l'âge de croissance; mais on ne doit pas baigner les jeunes gens dans l'eau froide seule, de peur

2. ἀλλ' ἢ ὅσα Gal. — 3-4. αὐξομένοις Gal. — 4. ἐάσεις F; ἐάσειν Gal. — 7. τόν om. F. — 9. μόνον om. F. — 14. μόνῳ om. Gal.

μὴ τὰ τῆς αὐξήσεως αὐτῷ κωλύσωμεν· ηὐξημένων δὲ ἱκανῶς ἐθίζειν
ἤδη καὶ τῷδε· κρατύνει γὰρ ἅπαν τὸ σῶμα καὶ τὸ δέρμα σκληρόν
τε καὶ πυκνὸν ἀποτελεῖ, κράτιστον δὲ τοῦτο πρὸς τὴν ἀπὸ τῶν
ἔξωθεν βλάβην. Οὕτω δὲ καὶ κατὰ τοὺς ὕπνους καὶ τὰς ἐγρηγόρσεις 8
καὶ τὰς τῆς ψυχῆς ἐνεργείας ὅσα τε ἄλλα τοιαῦτα, τὴν συμμετρίαν
δῆλον ὅτι φυλάττειν προσῆκεν, μήτε μαλακωτέραν τὴν ἕξιν τοῦ
σώματος ἐργαζομένους, μήτε σκληροτέραν· ἡ μὲν γὰρ εὐνίκητος
ὑπὸ τῶν ἔξωθεν αἰτίων, ἡ δὲ τὴν αὔξησιν κωλύει· μήτε πυκνοτέραν
ὡς ἴσχεσθαί τι τῶν κατὰ σάρκα περιττωμάτων· μήτε ἀραιοτέραν
ὡς ἀποῤῥεῖν τι καὶ τοῦ χρηστοῦ. Κατὰ δὲ τὸν αὐτὸν τρόπον οὐδὲ 9
ἰσχνοτέραν ἑαυτῆς ποιητέον, οὐδὲ παχυτέραν· τὸ μὲν γὰρ ἰσχνό-
τερον εὐεπηρέαστον ὑπὸ τῶν ἔξωθεν αἰτίων, τὸ δὲ παχύτερον ὑπὸ
τῶν ἔνδοθεν ἐξ αὐτοῦ τοῦ σώματος ὁρμωμένων. Τί δεῖ λέγειν ὡς 10
οὐδὲ θερμότερον αὐτὸν, ἢ ψυχρότερον, ἢ ξηρότερον, ἢ ὑγρότερον
ἀποφαντέον, εἴπερ ἄμεμπτον εἶχε τὴν κρᾶσιν; Εἰ δέ ποτε ἁμάρ- 11

d'arrêter cette croissance; quand leur croissance a atteint un degré suffisant, il faut déjà les habituer aussi à cette espèce d'eau, car l'eau froide renforce tout le corps et rend la peau dure et compacte; or cela est excellent pour mettre à l'abri des lésions qui viennent de l'extérieur. Il est 8
évident que, pour le sommeil, la veille, les fonctions de l'âme et toutes les autres circonstances semblables, on doit aussi garder la mesure et ne rendre l'habitude du corps ni trop molle, ni trop dure; car un corps trop mou est facilement subjugué par les influences extérieures, tandis qu'une dureté trop grande empêche la croissance; on ne la rendra non plus ni trop dense, de peur que les résidus ne restent dans les chairs, ni trop rare, de peur qu'il s'écoule quelque chose d'utile. De même il ne 9
faut pas rendre l'habitude du corps plus maigre, ni lui donner plus d'embonpoint qu'il n'en a habituellement: un corps trop maigre est facilement lésé par les influences extérieures, et un corps qui a trop d'embonpoint l'est, au contraire, par celles qui viennent de l'intérieur même de l'économie. Est-il encore nécessaire de dire qu'il ne faut pas rendre 10
le jeune homme plus chaud, plus froid, plus sec, ou plus humide qu'il ne l'était, s'il possède un tempérament irréprochable? Si parfois on a 11

4. ἐγρ. καὶ τὰ λουτρὰ καὶ τάς Gal. — 7. εὐκίνητος Gal. — 11. ἰσχνότερον ἑαυτοῦ Gal.; ἰσχνοτέραν ἑαυτοῦ F. — Ib. παχύτερον F Gal.

12 τοι τις κατά τι τῶν εἰρημένων, ἐπανορθοῦσθαι δεῖ τὸ σφάλμα. Κοινὸς δὲ ἔσται σοι σκοπὸς ἁπάσης ἐπανορθώσεως ἡ τῆς ἐναντίας ἀμετρίας χρῆσις, εἰς δὲ τὸ μηδὲν ἐν ταῖς ἐπανορθώσεσι σφάλλεσθαι πρῶτον μὲν χρὴ διαγινώσκειν ἀκριϐῶς τὰς διαθέσεις τοῦ σώματος, εἶτα μεμνῆσθαι τῶν ἐν τῇ προτεραίᾳ γενομένων ἁπάντων· αἱ μὲν γὰρ διαθέσεις ἐνδείξονται τὸ πλημμεληθὲν, ἡ μνήμη δὲ τῶν προγεγενημένων εἰς ὅσον χρὴ μετακινῆσαι τῶν συνήθων ὑπαγορεύσει· εἰ μὲν γὰρ ἰσχνότερον τὸ σῶμα φαίνοιτο, σκοπεῖσθαι χρὴ καὶ ἀναμιμνήσκεσθαι, πότερα πλείω τοῦ προσήκοντος ἐπόνησεν, ἢ ὀξυτέραις ἐχρήσατο ταῖς κινήσεσιν, ἢ περὶ τὴν τρίψιν ἐπλεόνασεν, ἢ τὰ λουτρὰ, καὶ μετὰ ταῦτα ἑξῆς σκοπεῖσθαι, πότερον ἐφρόντισεν, ἢ ἠγρύπνησεν, ἢ ἐξέκρινε κατὰ γαστέρα πολὺ πλείω τοῦ προσήκοντος· ἐπισκοπεῖσθαι δὲ καὶ εἰ ὁ οἶκος θερμότερος ἐν ᾧ διέτριψεν, ἢ ἔφαγεν ἔλαττον, ἢ ἔπιεν, ἢ ἀφροδισίοις ἐχρήσατο μὴ δέον· εἰ δὲ ἐν ὄγκῳ μείζονι τὸ σῶμα φαίνοιτο, μὴ συνέϐη τρίψις, ἢ γυμνάσιον

commis quelque erreur sous l'un des rapports susdits, on devra la re-
12 dresser. Or le but commun de tout redressement est l'emploi de l'excès contraire; mais, pour ne commettre aucune erreur dans ces redressements, on doit reconnaître d'abord exactement quel est l'état du corps, et ensuite se rappeler tout ce qui s'est passé la veille; car l'état du corps vous indiquera en quoi consiste l'erreur, et le souvenir de ce qui a eu lieu auparavant apprendra jusqu'à quel point on devra s'écarter de ses habitudes : en effet, si on voit que le corps est trop maigre, on examinera et on se rappellera si on s'est fatigué plus qu'il ne le fallait, si on a fait des mouvements trop rapides, si on a exagéré les frictions ou le bain, et, après cela, on recherchera si on a eu des soucis, de l'insomnie, ou des selles beaucoup plus abondantes qu'il ne le fallait; on verra encore si la pièce dans laquelle on a séjourné était trop chaude, si on a mangé ou bu trop peu, ou si on a exercé le coït en temps inopportun; si le corps présente un volume trop considérable, on examinera s'il n'y a pas eu des frictions, ou des exercices trop peu nombreux, ou trop

7. τι τῶν Gal. — 15. συνέϐη conj.; σύν F; om. Gal. — Ib. τρ. μαλακή Gal.

ἔλαττον, ἢ βραδύτερον, ἢ πλέων ὕπνος, ἢ ἐποχὴ γαστρὸς, ἢ σιτίων
πλῆθος ἀμέμπτως πεφθέντων. Εἰ δὲ σκληρότερον ἑαυτοῦ φανείη 13
τὸ σῶμα, τρίψεων μὲν ἀναμνησθῆναι χρὴ πρῶτον, εἶτα γυμνασίων
εὐτόνων μετὰ ἀνταγωνιστοῦ σκληροῦ τὸ σῶμα, καὶ πρὸς τούτοις
εἰ ἐν κόνει, καὶ ταύτῃ ψυχρᾷ καὶ σκληρᾷ, καὶ χωρὶς τῆς καλουμέ-
νης ἀποθεραπείας· εἶτα ἑξῆς λουτρῶν, εἰ μὴ παντάπασι ψυχρὰ, ἢ
λίαν θερμὰ, καὶ ὁ οἶκος ἐν ᾧ διέτριψεν ἐγρηγορώς τε καὶ κοιμώ-
μενος, εἰ ἦν ψυχρότερος, ἔτι δὲ ξηρότητος σιτίων καὶ πόματος ἐν-
δείας. Εἰ δὲ μαλακώτερον ἑαυτοῦ γένοιτο κατὰ τὴν ὑστεραίαν τὸ 14
σῶμα, πρῶτον μὲν ἀναμιμνήσκεσθαι χρὴ τῆς τρίψεως, εἰ μαλακή
τε καὶ σὺν λίπει καὶ λουτροῖς ἀτρέμα χλιαρωτέροις ἐγένετο· μετὰ
δὲ τὴν τούτων ἐπίσκεψιν, εἰ τὰ γυμνάσια βραδέα καὶ ὀλίγα μετὰ
τοῦ συμπαλαίοντος ἀμετρότερον ἁπαλοῦ, κἄπειτα περὶ πόματος,
εἰ πλέον, εἶτα ἑξῆς ἐδεσμάτων, εἰ ὑγρότερα τὴν φύσιν, εἶτα ὕπνων,

lents, ou un sommeil trop prolongé, ou de la constipation, ou une quantité trop considérable d'aliments parfaitement bien digérés. Si le corps 13
se montre plus dur que de coutume, on songera d'abord aux frictions, ensuite aux exercices vigoureux avec un adversaire qui ait le corps dur; on s'informera de plus encore si ces exercices ont eu lieu dans la poussière, et surtout dans une poussière froide et dure, et si on a négligé de recourir à ce qu'on appelle *apothérapie;* ensuite, on pensera aux bains; on demandera s'ils n'ont pas été tout à fait froids, ou excessivement chauds, si la pièce dans laquelle on est resté pendant la veille aussi bien que pendant le sommeil était trop froide; enfin, on songera aussi à la sécheresse des aliments et à l'insuffisance des boissons. Si le lendemain 14
le corps est plus mou que de coutume, on s'informera d'abord des frictions, si elles ont été molles, faites avec une substance grasse, et accompagnées de bains trop tièdes; après avoir examiné ces points-là, on demandera si les exercices n'ont pas été lents et peu abondants, et n'ont pas eu lieu avec un adversaire trop délicat; ensuite on s'enquerra, pour les boissons, si elles n'ont pas été trop abondantes, puis, pour les aliments, si leur nature était trop humide, puis enfin, pour le sommeil, s'il a été

1. πλέον F; πλείων Gal. — 2. ἀμέτρως F. — 4. τὸ σῶμα] φιλοῦντος Gal. — 5. καὶ εἰ χωρὶς Gal. — 8-9. ἐνδείας ex em.; ἔνδειαν F Gal. — 14. εἰ δ' ἑξῆς F.

15 εἰ πλείους. Ἐγγὺς δὲ τῆς μαλακῆς τοῦ σώματός ἐστι διαθέσεως ἡ ὑγρὰ καλουμένη πλὴν ὅσον ἡ μὲν μαλακὴ τῶν σωμάτων ἐστὶν οἰ-
16 κεία ποιότης· ἡ δὲ ὑγρὰ τῶν ἐν αὐτοῖς ὑγρῶν. Διακρίνεται δὲ ἁπτομένων· ἡ μὲν γὰρ ὑγρὰ σὺν ἰκμάσιν ἐστὶν, ἡ δὲ μαλακὴ χωρὶς τούτων, ὄντος δηλονότι καὶ τοῦ μαλακοῦ σώματος ὑγροῦ τοῖς οἰκείοις μορίοις, ἀλλὰ ἕνεκα σαφοῦς διδασκαλίας μαλακὸν μὲν τοῦτο καλεί-
17 σθω, τὸ δὲ ἕτερον ὑγρόν. Ἡ μὲν οὖν ἀμέτρως ξηρὰ διάθεσις εὐθὺς καὶ σκληρύνει τὴν ἕξιν, οὐκ ἐξ ἀνάγκης δὲ μετὰ μαλακότητός ἐστιν ἡ ὑγρά· δύναται γὰρ ἐσκληρύνθαι μὲν ἡ σὰρξ, ἀναφέρεσθαι δὲ
18 ἀτμὸς ἐκ τοῦ σώματος, ἢ ἱδρώς. Ἐπὶ μὲν οὖν τῶν ὑγροτήτων ἤτοι γε ἀφροδισίων χρῆσιν ἄκαιρον, ἢ ἀπό τινος αἰτίας ἑτέρας ἀῤῥωστίαν τῆς δυνάμεως ὑπώπτευον, ἢ ἀραιότητα τοῦ σώματος ἐπὶ μαλακαῖς ἀμέτρως τρίψεσιν, ἢ λουτροῖς πλείοσιν, ἢ ἀέρι τῷ κατὰ τὸν οἶ-

15 trop prolongé. L'état du corps qu'on appelle humide se rapproche de l'état de mollesse, à cette exception près que la mollesse est une qualité propre aux parties solides, tandis que l'humidité se rapporte aux
16 liquides contenus dans ces parties. On distingue ces deux états au tact : en effet, l'état d'humidité est compliqué de la présence d'un liquide ténu, tandis que ce liquide manque en cas de mollesse [pure], quoique cependant le corps mou soit [radicalement] humide, quant à ses parties propres (*c'est-à-dire aux parties solides*) ; mais, pour que notre enseignement soit clair, nous recommandons d'appeler ce dernier état
17 mollesse, et l'autre humidité. L'état démesurément sec durcit immédiatement aussi l'habitude du corps, mais l'état humide n'est pas indispensablement accompagné de mollesse : en effet, il est possible que la chair soit durcie, tandis qu'il s'élève du corps de la vapeur, ou de la sueur.
18 En cas d'humidité, je conjecture donc ou un usage inopportun des rapprochements sexuels, ou un abattement des forces tenant à quelque autre cause, ou une raréfaction du corps, produite par des frictions démesurément molles, ou par des bains trop fréquents, ou par la circonstance que l'air de la pièce où on a séjourné était plus chaud qu'il ne le

6-7. καλεῖσθαι F. — 8. ἐξ οὐκ ἀνάγκ. F. — 10. ἀτμός ex em.; ἀτμούς F; ἰκμάς Gal. — 12. ὑποπλευτέον Gal. — Ib. βλακαῖς (sic) F.

κον ἐν ᾧ διέτριψε, θερμοτέρῳ παρὰ τὸ δέον. Ἐπισκεπτέον δὲ καὶ 19 περὶ πόματος εἰ πλέον, εἰ ὕπνοι πολλῷ πλείους τῶν κατὰ φύσιν, ἢ εἰ τὸ περιέχον ἀθρόως μεταβληθὲν εἰς ὑγρότητα καὶ θερμότητα, καὶ περὶ τροφῶν ὡσαύτως· ἐπὶ δὲ τῆς ἁπαλότητος, ὅταν ποτὲ χωρὶς ὑγρότητος ᾗ, πεπέφθαι μὲν τὴν τροφὴν ὀρθῶς, καὶ τεθράφθαι τὸ σῶμα, γεγυμνάσθαι δὲ ἐνδεέστερον· ἔμπαλιν δὲ ἐπὶ τῆς σκληρότητος, ἢ τετρίφθαι σκληρῶς, ἢ γεγυμνάσθαι πλεῖον μετὰ σκληροῦ σώματος ἐν κόνει. Ξηρότης δὲ ἕξεως ἔνδειαν ἢ πόματος, 20 ἢ τροφῆς, ἢ ἀγρυπνίαν, ἢ μέριμναν βιωτικήν, ἢ πολλὴν τρίψιν, ἢ γυμνάσιον ἄμετρον ἐνδείκνυται. Ταῦτα γοῦν ἐπισκεπτόμενος ἐπανορ- 21 θοῦσθαι δυνήσῃ κατὰ ἑκάστην ἡμέραν τὸ σφάλμα πρὶν αὐξηθὲν δυσίατον γενέσθαι· μέμνησο δὲ ἀεὶ τοῦ πᾶσαν ἀμετρίαν εἰς ἐπανόρθωσιν ἄγεσθαι διὰ τῆς ἐναντίας ἀμετρίας, οἷον ἐπειδήπερ ἐξ ἀφρο-

fallait. On fera aussi attention aux boissons, si elles ont été trop abon- 19
dantes, si le sommeil a été beaucoup plus prolongé que la nature ne l'exige, ou s'il y a eu dans l'atmosphère un changement soudain dans le sens de l'humidité et de la chaleur, et on s'informera de la même manière des aliments; s'il existe de la mollesse, je conjecture, au cas où elle ne serait pas accompagnée d'humidité, que les aliments ont été bien digérés, et le corps bien nourri, mais que les exercices ont été insuffisants; au contraire, en cas de dureté, je conjecture qu'il y a eu des frictions dures, ou des exercices immodérés dans la poussière contre un adversaire dont le corps était résistant. La sécheresse de l'habitude du corps indique ou 20
l'insuffisance des boissons ou des aliments, ou l'insomnie, ou les soucis de la vie, ou des frictions trop abondantes, ou des exercices immodérés. Si donc 21
vous faites attention à ces points-là, vous pourrez redresser les erreurs de chaque jour, avant que, par leur accumulation, il ne soit devenu difficile d'y porter remède; mais rappelez-vous toujours qu'on ne parvient à redresser un excès quelconque qu'à l'aide de l'excès contraire : si, par exemple, à la suite de rapports sexuels, le corps se montre à la fois plus rare, plus

5-6. τετράφθαι F. — 6. καὶ γυμνᾶσθαι δέ (sic) F. — Ib. ἔμπ. δεῖ τὰ τῆς F. — 8. τοῦ σκληροῦ Gal. — 9. ἀγρυπνίας ἢ μερίμνης βιωτικῆς F. — 10. Ταῦτα γοῦν ex em.; Ταῦτα F; Ταῦτα τε οὖν βίον (sic) Gal. — Ib. σκεπτόμενος Gal. — 11. δυνήσῃ ex em.; δυνήσεται F; ἂν δυνηθεὶης Gal. — Ib. τὸ σφάλμα om. F.

δισίων ἀραιότερόν τε καὶ ψυχρότερον καὶ ἀσθενέσlερον ἅμα καὶ
ξηρότερον ἀποτελεῖται τὸ σῶμα, χρὴ δήπου τὰ πυκνοῦντα καὶ θερ-
μαίνοντα καὶ ὑγραίνοντα καὶ τὴν δύναμιν ἀναῤῥωννύντα προσφέ-
22 ρεσθαι, καὶ τούτους εἶναι σκοποὺς ἐπὶ αὐτοῖς. Μετὰ μὲν δὴ τὴν
τῶν ἀφροδισίων χρῆσιν εἶδος ἔσlω γυμνασίων τὸ παρασκευασlικὸν
ὀνομαζόμενον· τὰς δὲ ἐπὶ λύπαις καὶ ἀγρυπνίαις ξηρὰς διαθέσεις
αἵ τε μαλακώτεραι τρίψεις ἐξιῶνται σὺν ἐλαίῳ πλέονι γινόμεναι
καὶ λουτροῖς εὐκράτοις αἵ τε κινήσεις αἱ βραδύτεραί τε καὶ χωρὶς
ἰσχυρᾶς τάσεως ἀναπαύσεσι πλείοσι διειλημμέναι· τύπος δὲ οὗτός
23 ἐσlιν ἀποθεραπευτικοῦ γυμνασίου. Δῆλον δὲ ὡς τῷ τοιούτῳ γυμνα-
σίῳ χρησlέον, ὅταν γε χωρὶς ἀπεψίας γενηθῶσιν αἱ διαθέσεις· ἐπὶ
24 γὰρ ταῖς ἀπεψίαις οὐδὲ ὅλως ἐσlὶ γυμνασlέον. Κατὰ δὲ τὸν αὐτὸν
τρόπον καὶ τὰς ἐπὶ θυμοῖς, ἢ διὰ ἔνδειαν ποτοῦ ξηρότητας ἐπανορ-
25 θωτέον ἐσlίν. Ἐναντίως δὲ τοῖς εἰρημένοις ἐπανορθοῦσθαι χρὴ τὰς
κατὰ τὴν ἕξιν ὑγρότητας· σκοπὸς γὰρ δὴ τῶν τοιούτων διαθέσεών

froid, plus faible et plus sec, il faut administrer des remèdes conden-
sants, échauffants, humectants et renforçants, et il faut que ce soit là le
22 but qu'on se propose dans le cas dont il s'agit. Après le coït, l'espèce
d'exercice auquel on devra recourir est celui qu'on appelle *préparatoire*,
tandis que l'état de sécheresse, qui est une conséquence de l'affliction ou
de l'insomnie, est guéri par des frictions molles, faites avec une assez
grande quantité d'huile et combinées aux bains tièdes, ainsi que par des
mouvements, assez lents qu'on fait sans tendre fortement les parties, et
qu'on interrompt par des intervalles de repos assez fréquents; or c'est là
23 le type de l'exercice apothérapeutique. Il est clair qu'on n'aura recours à
cette espèce d'exercice que dans le cas où l'état dont il s'agit n'est pas
compliqué d'indigestion; car, en cas d'indigestion, on ne doit pas s'exercer
24 du tout. On redressera de la même manière la sécheresse qui est une con-
25 séquence de la colère ou de l'insuffisance des boissons. Mais, pour redres-
ser les états d'humidité de l'habitude du corps, il conviendra de suivre une
méthode opposée à celle que nous venons de décrire; car le but, dans ces
états-là, est le desséchement; cependant c'est là quelque chose de com-

3. καὶ ὑγρ. om. Gal. — 7. τε om. F. — Ib. πλέονι ex em.; πλέω F; πλείονι Gal. — 9. τύπος ex em.; λύποι F; τρόπος Gal.

ἐστιν ἡ ξήρανσις, ἀλλὰ τοῦτο μὲν κοινὸν ἁπασῶν, ἴδιον δὲ ἑκάστης ἐν ταῖς κατὰ μέρος διαφοραῖς. **Εἰ** *μὲν οὖν ἐπὶ ποτῷ πλέονι κατὰ* 26 *τὴν προτεραίαν ἡμέραν γεγονότι χωρὶς τοῦ πεπονθέναι τὴν κεφαλὴν ἢ τὸ στόμα τῆς κοιλίας, ἐν μιᾷ δυνατὸν ἡμέρᾳ τελέως ἐξιᾶσθαι, πλεονάσαντας μὲν ἐν ταῖς ξηραῖς τρίψεσι, γυμνάσαντας δὲ ὀξύτερον, ἔλαττον δὲ ποτῷ χρησαμένους, ἐδέσμασί τε ξηραντικωτέροις, ὡς ὅσαι γε μετὰ τοῦ τὴν κεφαλὴν, ἢ τὸ στόμα τῆς κοιλίας παθεῖν τι τοῦ νῦν οὐ δέονται λόγου· ῥηθήσεται γὰρ περὶ αὐτῶν ἐν τοῖς περὶ τῶν νοσωδῶν συμπτωμάτων.* **Εἰ** *δὲ ἐπὶ ἀργίᾳ μακροτέρᾳ συ-* 27 *σταίη, καὶ διὰ πλῆθος ἐδεσμάτων ὑγρῶν τὴν φύσιν, οἷαί περ αἱ πλεῖσται τῶν ὀπωρῶν εἰσι καὶ τῶν λαχάνων ὅσα μὴ δριμέα, ἀθρόως μὲν οὐχ οἷόν τε θεραπεύειν· εἰ γὰρ εἰς τοσοῦτον πονήσειεν ὁ ἄνθρωπος ὡς αὐτάρκως ξηρᾶναι τὴν ἕξιν, ἁλώσεται κόπῳ καὶ πυρέξει πυρετὸν ἐφήμερον μὲν πάντως· ἂν δὲ καὶ μοχθηραὶ τύχωσιν*

mun à tous, tandis que les circonstances propres à chaque cas particulier consistent dans des différences spéciales. Si donc l'humidité tient à 26 des boissons trop abondantes qu'on a prises la veille, sans que la tête ou l'orifice de l'estomac en aient souffert, il est possible de guérir complétement cet état en un seul jour, en exagérant les frictions sèches, en prenant des exercices plus rapides, des boissons moins abondantes et des aliments plus desséchants que de coutume; quant à ceux dont l'humidité est accompagnée d'une affection de la tête ou de l'orifice de l'estomac, nous n'avons pas besoin d'en parler dans la partie actuelle de notre traité, puisque nous nous en occuperons dans le chapitre sur les symptômes morbides. Si l'humidité provient d'une oisiveté trop prolongée, ou d'un usage 27 immodéré d'aliments de nature humide, classe à laquelle appartiennent la plupart des fruits et des herbes potagères, pourvu qu'elles ne soient pas âcres, il est impossible de guérir cet état du premier coup : en effet, si l'homme dont il s'agit pousse les exercices jusqu'au point nécessaire pour dessécher suffisamment l'habitude du corps, il sera pris de fatigue, et aura inévitablement une fièvre éphémère, et même, s'il existe une humidité de mauvaise nature, cette fièvre durera plusieurs jours; cepen-

2. ἐπὶ τῷ πλ. F. — 4. ἐξιάσασθαι F. — 7. ἢ om. F. — 8. ὑπέρ Gal. — 8-9. τοῖς τῶν Gal. — 9. περιττωμάτων Gal. — 12. πονήσει F.

ὑγρότητες ὑπάρχουσαι, πλειόνων ἡμερῶν· ἐν χρόνῳ δὲ ἂν ἐπανορθωθεῖεν, ὡς ὕστερον εἰρήσεται.

ιθʹ. Δίαιτα παιδίων. Ἐκ τῶν Μνησιθέου Ἀθηναίου.

1 Τοῖς δὲ λουτροῖς δεῖ χρᾶσθαι, πολὺν μὲν χρόνον τὸ παιδίον
λούουσαν τὴν τροφὸν, μὴ σφόδρα θερμοῖς τοῖς ὕδασι χρωμένην,
καὶ τὸν πρῶτον μὲν ἐνιαυτὸν τρὶς τῆς ἡμέρας τοῦτο χρὴ ποιεῖν,
τὸ μὲν ἑωθινὸν μετὰ τὴν κίνησιν, εἶτα κατὰ μέσον τῆς ἡμέρας, τὸ
2 δὲ τρίτον περὶ τὸ συσκοτάζειν. Ὅταν δὲ ὑπερβαίνῃ τὸν εἰρημένον
χρόνον, ἀφελεῖν χρὴ τὸ περὶ μέσον ἡμέρας λουτρὸν, ἀλείφειν δὲ
3 ἐλαίῳ. Σιτίζειν δὲ μὴ μετὰ τὸ λουτρὸν εὐθὺς, ἀλλ' ἐπίσχουσαν.
4 Διδόναι δὲ μασωμένους μὲν οὐθὲν χρὴ σιτίον, σεμίδαλιν δὲ ἑφθὴν,
5 ἢ τῶν σιτανίων ἀλεύρων, ἢ κέγχρον τετριμμένην. Ἅπαντα δὲ ταῦτα
καλῶς ἕψειν, καὶ πολὺν χρόνον, τὴν δὲ κέγχρον μάλιστα προσ-
6 φέρειν, ὅταν ἡ κοιλία τοῦ παιδίου παρυγραίνηται. Τὸ δὲ ἐναντίον,

dant, à la faveur du temps, on peut remédier à cet état, comme nous le dirons plus tard.

19. RÉGIME DES ENFANTS. — TIRÉ DE MNÉSITHÉE D'ATHÈNES.

1 La nourrice devra faire usage de bains, en lavant l'enfant pendant long-
temps, et elle emploiera à cet effet de l'eau qui ne soit pas extrêmement
chaude; durant la première année, elle devra le faire trois fois par jour:
le matin après l'exercice qu'elle lui donne, puis au milieu du jour, et la
2 troisième fois quand il commence à faire nuit. Quand l'enfant a dépassé
l'âge susdit, on supprime le bain du milieu du jour et on le remplace par
3 une onction avec de l'huile. La nourrice ne donnera pas à manger à l'en-
4 fant immédiatement après le bain; mais elle attendra. On ne mâchera
aucune espèce d'aliment avant de le donner à l'enfant, et on lui donnera
de la fleur de farine bouillie, de la farine sitanique, ou du petit millet
5 trituré. Tous ces aliments doivent être bien bouillis, et pendant long-
temps; mais on donnera surtout du petit millet quand le ventre de l'en-
6 fant est relâché. Si, au contraire, il est resserré, on versera du miel sur

1. αἱ ὑγρ. F. — 7. συσκοτίζειν F.

ἐὰν ἐφίστηται, τότε τοῦ μέλιτος ἐπιχέοντα δεῖ συνέψειν τῷ ἀλεύρῳ.
Ἐὰν δὲ μηδὲ οὕτως ὑπακούσῃ, τῆς τερεβινθίνης ῥητίνης παρεμβα- 7
λεῖν ὅσον ἐρέβινθον. Εἰ δέ ποτε συμβαίη τῷ παιδίῳ βὴξ, ἢ κόρυζα, 8
κακῶς ἔχει καὶ τοὺς καλουμένους μελιτισμοὺς ἐπὶ αὐτοῖς ποιεῖν. Δεῖ 9
τοίνυν τὸ παιδίον λούσαντας πολλῷ θερμῷ, καὶ κατὰ κεφαλῆς, σιτίσαι μέλιτι πολλῷ, κἄπειτα τῷ δακτύλῳ τὴν γλῶτταν ἡσυχῇ πιέζειν· ἐμεῖ γὰρ φλέγμα πολύ.

κ'. Περὶ κομιδῆς παιδίου. Ἐκ τῶν Ῥούφου.

Λουτρὰ δὲ πλείω μὲν συμφέρει τοῖς παιδίοις καὶ θερμότερα, οὐ 1
μὴν πᾶσα τιτθὴ δύναται καλῶς τά γε πρῶτα ἐν τῷ λουτρῷ παιδίον χειρίσαι· διὸ καὶ τοῦτο ταῖς μαιευτρίαις προστέτακται· καὶ γὰρ βαστάσαι δεῖ ἐμπείρως, καὶ κρατῆσαι, καὶ ἀποδῦσαι τὰ σπάργανα, καὶ κάμψαι τὰ ἄρθρα καὶ περιζῶσαι καὶ ἀνατρίψαι, ταῦτα δὲ πολ-

de la farine et on fera bouillir les deux ingrédients ensemble. Si la cons- 7
tipation ne cède pas de cette manière-là, on y ajoutera le volume d'un
pois chiche de résine de térébenthinier. Si parfois l'enfant est atteint de 8
toux ou de rhume de cerveau, il ne convient pas de lui appliquer ce
qu'on appelle *mélitisme* (*onction avec le miel*). Il faudra donc baigner l'en- 9
fant dans une grande quantité d'eau chaude, en faisant en même temps des affusions sur la tête, lui donner beaucoup de miel à manger, et ensuite comprimer doucement sa langue avec le doigt, car de cette manière il vomira une grande quantité de phlegme.

20. DE LA MANIÈRE D'ÉLEVER L'ENFANT. — TIRÉ DE RUFUS.

Des bains assez nombreux et assez chauds conviennent aux enfants; 1
mais toutes les nourrices ne savent pas bien manier l'enfant dans le bain, du moins au commencement : voilà pourquoi on s'en rapporte aux sages-femmes pour l'accomplissement de cet office : il faut, en effet, porter et tenir l'enfant, lui ôter le maillot, fléchir ses articulations, lui remettre sa ceinture et le frotter comme une femme d'expérience; or ces actes

1. ἀφίστ. F. — Ch. 20; l. 12. περιζῶσαι conj.; περισῶσαι F.

2 λῆς εὐχειρίας καὶ μελέτης δεῖται. Χρὴ δὲ ποιεῖν ὧδε· τὴν μὲν
ἀριστερὰν χεῖρα ὑποτανύειν κάτωθεν ἐρείδουσαν ἅμα κεφαλήν τε
καὶ αὐχένα· οὐ γάρ που αὐτῷ ἐγκρατές· ἔπειτα γυμνώσασαν τῇ
ἑτέρᾳ ἐπιχεῖν τοῦ ὕδατος ἐκ προσαγωγῆς καὶ πλῆθος καὶ θερμό-
3 τητα. Ἐν δὲ τῷ ὕδατι μυῤῥίναι τε ἡψήσθωσαν, καὶ δάφνη καὶ ἁπαλὴ
4 σχῖνος τὰ πρῶτα εἰς ἑπτὰ ἡμέρας. Ὅταν δὲ ἐπὶ τὸ πρανὲς ἐπι-
στρέφηται, τὸν μέγαν δάκτυλον ὑπερείδειν ἄκρᾳ τῇ γένυϊ· τῇδε
5 γὰρ πάνυ πάλιν κωλύεται ἡ κεφαλὴ κατακύπτειν ἔμπροσθεν. Καμ-
πτειν δὲ ὡς ἕκαστον πέφυκε, πόδας μὲν εἰς τοὐπίσω, χεῖρας δὲ
6 ἔμπροσθεν· οὕτω γὰρ ποιήσεις τὰ ἄρθρα εὔστροφα. Ῥυθμίζειν δὲ
καὶ κεφαλὴν καὶ χεῖρας καὶ γένυν· παρέχει μὲν γὰρ τὸ πλεῖστον
ἡ τῶν σπερμάτων δύναμις τὸ καλὸν καὶ τὸ αἰσχρὸν, παρέχει δέ τι
7 καὶ τὰ τοιάδε. Ὅτι δὲ ἐξαίρουσιν αὐτὰ ἐν τοῖς λουτροῖς καὶ δια-
σείουσι καὶ ἐπὶ κεφαλὴν ἔχουσι λαβόμεναι τοῖν ποδοῖν, δοκοῦσί
μοι τά τε φλέβια τῇδε εὔροα ποιεῖν, καὶ ἐθίζειν τὰς κατακύψεις

2 exigent beaucoup d'habileté et d'habitude. Voici comment on doit s'y
prendre : on étendra la main gauche au-dessous, en soutenant à la fois
la tête et le cou, car l'enfant ne peut pas encore la diriger; ensuite on
se servira de l'autre main pour déshabiller l'enfant, et pour verser sur
3 lui graduellement de l'eau, qui sera de plus en plus chaude. Dans cette
eau on fera bouillir du myrte, du laurier et des jeunes pousses de len-
4 tisque, pour les premiers bains jusqu'au septième jour. Après avoir re-
tourné l'enfant pour le placer sur le ventre, on soutiendra avec le pouce
la pointe du menton; car, de cette manière, on empêchera complétement
5 la tête de baisser en avant. On fléchira chaque membre comme sa nature le
comporte, les jambes en arrière et les bras en avant : de cette manière,
6 on rendra les articulations promptes à se fléchir. On façonnera encore
la tête, les bras et la mâchoire : car, si la puissance des spermes [mâle
et femelle] a la plus grande part dans la beauté ou la laideur, ces ma-
7 nipulations y sont aussi pour quelque chose. La manœuvre qui con-
siste à sortir les enfants du bain et à les secouer en les prenant par les
pieds, et en les tenant la tête en bas, rend, ce me semble, les petites
veines de cette région perméables, habitue les enfants à pouvoir se baisser,

5. ἐψήσθ. F. — 7. ἀκρατεῖ γ. F. — 14. ἔχουσιν ἢ καὶ μᾶλλον τρέπουσι F.

φέρειν, καὶ ῥοπὴν πάντῃ τοῖς χυμοῖς παρέχειν. Τοσαῦτα χρὴ ἐπι- 8
σταμένην τε καὶ δυναμένην ὑπουργεῖν τὴν τιτθὴν τὰ πρῶτα λου-
τρόν· χαλεπὴ δὲ καὶ ἡ ἔπειτα ἐν λουτροῖς θεραπεία· διὸ καὶ βλά-
βαι τοῖς παιδίοις ἐντεῦθεν αἱ μέγισται γίνονται, σπασμοὶ καὶ
ἐπιληψίαι καὶ νωθρότητες, ὅταν ἢ ἄπεπτα λούσῃ, ἢ πολλῷ νεαρῷ
ἐμπλήσασα. Πρώτην δὲ τροφὴν προσφέρειν τοῦ μέλιτος· καὶ γὰρ 9
ἐρεθιστικὸν τῇ γλυκύτητι, καὶ ἄλλως τὸ σῶμα διακαθαίρει καὶ τὸ
ἔντερον· ἔνεστι [γὰρ] περίττωμα τοῖς τηλικούτοις ἐν τῷ ἐντέρῳ,
ὃ χρὴ ἐξάγειν, οὐχ ὥσπερ Ἀλκμαίων οἴεται, ὅτι ἐν ταῖς μήτραις
ὂν τὸ παιδίον ἤσθιεν στόματι· τοῦτο γὰρ οὐδένα τρόπον δυνατὸν,
ἀλλὰ ὅτι τῆς τροφῆς τὸ ἐνταῦθα ἧκον διεδίδου ἔσω· διεδίδου δὲ καὶ
εἰς κύστιν, εἰς μὲν τὴν κύστιν ᾗ παράγει κατὰ νεφροὺς καὶ οὐρη-
τῆρας, εἰς δὲ τὸ ἔντερον κατὰ φλέβας καὶ χιτῶνας, τὸ δὲ μηκώ-
νιον, τὸ πρὸς τῇ ἕδρᾳ περίττωμα [ὃ ἐκβάλλουσιν] αἱ μαιεύτριαι

et imprime dans tous les sens une impulsion aux humeurs. Voilà les ma- 8
nœuvres que la nourrice doit connaître et pouvoir exécuter pour admi-
nistrer un bain au commencement; mais, plus tard, le traitement des en-
fants, eu égard aux bains, est encore difficile : pour cette raison ils
deviennent une source des lésions les plus graves, comme les convulsions,
l'épilepsie, la torpeur, au cas où on aurait baigné les enfants avant l'ac-
complissement de la digestion, ou après les avoir bourrés récemment
d'une grande quantité d'aliments. Le premier aliment qu'on doit donner 9
aux enfants est le miel, car il excite par son goût; de plus, il purge aussi le corps et les intestins; or les enfants de cet âge contiennent dans leurs intestins un résidu qu'il faut expulser, non pas, comme Alcméon (*voyez les notes*) le pensait, parce que, pendant son séjour dans l'utérus, l'enfant mange par la bouche, car cela n'est en aucune façon possible, mais parce que le fœtus fait passer à l'intérieur toute la nourriture qui parvient dans cette région; il la fait passer aussi dans la vessie, et notamment dans la vessie, en tant qu'il la conduit à travers les reins et les urétères, mais dans les intestins à travers les veines et les membranes; or ce résidu voisin du siége, résidu que les sages-femmes éva-

8. ἐν ἐστι F. — Ib. [γάρ] conj.; om. F. — 14. [ὃ ἐκβάλλουσιν] conj.; om. F. — 12. ᾗ παράγει conj.; ἧπερ ἄγει F.

10 ῥήξασαι τὸν χιτῶνα ἐν ᾧ ἐσ7ιν. Ταῦτα μὲν οὕτως ἠνύσθω· μετὰ
δὲ τοῦ γάλακτος ἐπισ7άζειν, ἐντιθεῖσαν τὴν Θηλὴν καὶ πιέζειν
ἡσυχῆ, ὅπως μήτε πονῇ αὐτὸ ἕλκον, μήτε ἀθρόως ἐμπλησθῇ, καὶ
δὶς τῆς ἡμέρας, ἢ τρὶς τὸ πλεῖσ7ον· οὐ γὰρ συμφέρει εὐθὺς ἀρχο-
μένην ὑπερπληροῦν, ἀλλὰ ὅπερ κἀν ταῖς ἄλλαις διαίταις ἄρισ7ον, τὸ
κατὰ μικρὸν καὶ ἡσυχῆ, τοῦτό μοι δοκεῖ κἀνταῦθα ἄρισ7ον εἶναι.
11 Διέρχεται δὲ τὸ μὲν πρῶτον ὑγρὸν τὸ γάλα, ἔπειτα συνίσ7αται καὶ
τυποῦται ὥσπερ τυρὸς, ᾧ δὴ καί φασι τεκμαιρόμεναι παχὺ ἔσεσθαι
12 τὸ παιδίον. Κάλλισ7α δὲ πρὸς Θρέψιν διάκειται τὰ ἰσχνὰ μὲν τι-
κτόμενα, ἐπιδόσεις δὲ ἔχοντα τοῦ δέρματος· ὅσα δὲ εὔσαρκα τίκτε-
ται, οὐκ ἔσ7ι βεβαία τούτοις ἡ σάρκωσις, ἀλλὰ ἐν τῇ τροφῇ κατι-
σχναίνεται· τὸ μὲν γὰρ λαβεῖν δεῖται, τὸ ἰσχνὸν, τὸ δὲ κενωθῆναι,
13 τὸ πλῆρες, οὕτω γε ἐν τοῖς μείζοσι γίνεται. Μέχρι μὲν οὖν τινος

10 cuent en rompant la tunique qui le contient, est le méconium. Telle est
la manière de procéder; après cela on fera tomber des gouttes de lait
dans la bouche de l'enfant, y introduisant la papille et en la compri-
mant doucement, afin que l'enfant ne se fatigue pas en l'attirant et ne
soit pas soudainement surchargé; il faut agir ainsi deux ou trois fois
par jour au plus : car il n'est pas bon que l'enfant soit surchargé dès le
commencement; mais la méthode qui est la meilleure pour le régime des
adultes, et qui consiste à agir peu à peu et doucement, me semble aussi,
11 dans le cas présent, être ce qu'il y a de meilleur. D'abord le lait passe
par les selles à l'état liquide; mais, plus tard, il se solidifie et prend une
forme comme le fromage, et, en se guidant d'après ce signe, les femmes
12 prétendent que l'enfant aura de l'embonpoint. Les enfants qui présentent
les meilleures conditions pour la nutrition sont ceux qui naissent maigres,
mais dont la peau permet l'augmentation de volume; ceux, au contraire,
qui ont une bonne carnation dès leur naissance n'ont pas des chairs so-
lides, mais maigrissent pendant qu'on les élève; car les premiers, c'est-à-
dire les enfants maigres, ont besoin de gagner, tandis que les enfants
joufflus ont besoin d'évacuation; du moins, c'est ainsi que les choses se
13 passent chez les enfants plus grands. Jusqu'à une certaine époque donc,

1. ῥήξασαι conj.; ῥῆξαι F. — Ib. οὕτως conj.; εἰς τό F. — 2. δὲ τοῦτο τοῦ Syn. — 12. τὸ ὑγρὸν ἢ μᾶλλον τὸ ἰσχνόν F. — 13. γε ex em.; δέ F.

ἐπὶ μόνου τοῦ γάλακτος φυλάσσειν, σιτίον δὲ ἄλλο μηδὲν προσφέ-
ρειν· ὅταν δὲ αὐτό τε πρόθυμον ᾖ λαμβάνειν καὶ ἐλπίδα παρέχῃ
ἐκπέψειν, τηνικαῦτα ἤδη καὶ σιτίον διδόναι, ἄρτον εἰς ὑδαρῆ οἶνον κα-
ταθρύψαντας. Τὰς δὲ τῶν κρεῶν προσφορὰς πεφυλάχθαι παντὸς μά- 14
λιστα· οὐ γάρ πω ἱκαναὶ αἱ γαστέρες καταπέσσειν. Εἰ δὲ ἄρα θρέ- 15
ψεως ἕνεκα δέοι, ὄρνιθος παραμήκη σάρκα, ἢ χοίρου διδόναι· τούτῳ
γὰρ μάλιστα ἥδεται, τὸν χυλὸν ἐξ αὐτῶν ἕλκοντα. Πεφυλάχθαι δὲ 16
καὶ τὰ ἔτνη καὶ τὰ ῥοφήματα· παχὺ γὰρ οὐδὲν παιδίῳ συμφέρει
διὰ τὸ καὶ ἄλλως τὴν φύσιν πρὸς τὸ φλεγματῶδες ῥέπειν. Δῆλον 17
δέ· καὶ γὰρ σιαλοχόα, καὶ μυξόῤῥοα, καὶ πάντῃ ὑγρά· ἱκανὸν δὲ
καὶ τὸ γάλα ἐμπλῆσαι φλέγματος. Ἐπεὶ δὲ ἄρχεται μὲν τὸ θερ- 18
μὸν τοῖς τηλικούτοις ἀνάπτεσθαι, πολλοῦ δὲ δεῖ ἅπαν ἐξῆφθαι,
προϊὸν δὲ ἐπὶ μᾶλλον μὲν ἐμφύεται τῇ τροφῇ, ἐπὶ μᾶλλον δὲ αἴρε-
ται, ἰσχὺν καὶ τάσιν διδὸν τῷ σώματι, θερμότερον διαιτᾷν τὰ

il faut tenir les enfants au régime du lait seul, et ne leur donner aucun
autre aliment; mais, quand l'enfant lui-même désire d'en prendre, et
nous donne l'espérance qu'il pourra les digérer complétement, alors on
lui administrera aussi comme aliment du pain qu'on émiettera dans du
vin aqueux. Il faut éviter, plus que toute autre chose, de donner de la 14
viande, puisque l'estomac n'est pas encore capable de la digérer. Si, ce- 15
pendant, cela est nécessaire pour nourrir, vous donnerez de la chair
longue de poule ou de jeune porc, car c'est surtout cette espèce de
viande qui leur fait plaisir quand ils en retirent le suc. On évitera aussi 16
les purées et les bouillies : car rien d'épais ne convient aux enfants;
parce que, même sans cela, leur nature penche vers la production du
phlegme. Cela est évident, puisqu'ils sont baveux, morveux et hu- 17
mides de toutes les façons; d'ailleurs, le lait est capable de remplir
de pituite. Mais, lorsque, chez les enfants de cet âge, la chaleur com- 18
mence à s'allumer, quoiqu'elle soit bien loin encore d'être allumée com-
plétement, lorsque, par les progrès de l'âge, elle s'attache plus fortement
aux aliments, lorsqu'elle se dilate davantage pour donner de la force et
de la tension au corps, alors il est nécessaire de soumettre les enfants à
un régime plus chaud, tant sous le rapport de tous les abris (*vêtements*

3. *καὶ Syn.*, Paul.; om. F.

παιδία ἀνάγκη, τῇ τε ἄλλῃ πάσῃ σκέπῃ καὶ χρίσμασι καὶ λου-
19 τροῖς καὶ σιτίοις. Ἤδη δὲ καὶ τόδε γινώσκειν, ὅτι οἶνος ὕδατος ἐν-
ταῦθα ἐπιτηδειότερος, οὐδὲ εἴ τις νομοθετήσειεν ὁστισοῦν ἔν τε νόμων
συγγραφῇ, ἔν τε ὑποθήκαις ἄνευ νόμων συγγεγραμμέναις παρακε-
λεύεται τοῖς τηλικούτοις ὕδωρ διδόναι πόμα, πεισθησόμεθα μᾶλλόν
περ ἢ τῷ ἀληθεῖ λόγῳ· οὐ γὰρ πῦρ ἐπὶ πῦρ ὀχετεύσεις, ἀλλὰ θερ-
20 μὸν ἐπὶ ψυχρὸν, ᾗ δικαιότερον. Τὸ δὲ μέτριον πανταχοῦ κάλλιον,
ἐνταῦθα δὲ καὶ πλέον, ἐπειδὴ νοσῶδες καὶ ἀσθενέστερον τὸ παιδίον
τῶν ἄλλων, ὥστε καὶ εἴ τι διαμαρτάνοιμεν, κρεῖσσον ἀφαιροῦντας
21 ἁμαρτάνειν ἢ προστιθέντας. Εἰ δὲ θέλοις τὸν παῖδα ἐν φύσει τῇ
αὐτοῦ μήκιστον γίνεσθαι καὶ ὀρθότατον, μὴ ἐμπιπλῇς· εἰ δέ που λα-
θόντα πληρωθείη, ὑπνωδέστερά τε εὐθὺς γίνεται καὶ νωθρότερα,
καὶ ὄγκος ἐν γαστρὶ ἔνεστι καὶ φῦσα καὶ οὐρεῖ ὑδατωδέστερα, οἷς
22 χρὴ τεκμαιρομένην μηδὲν διδόναι, ἔστε ἂν καταναλωθῇ. Πονηρὸν

et couche) qu'on leur donne, que sous celui des onctions, des bains et
19 des aliments. Une chose que maintenant il importe de savoir aussi,
c'est qu'à cette époque le vin est préférable à l'eau, et, si un législateur
quelconque ordonne dans ses lois écrites, ou recommande dans des con-
seils écrits sans avoir force de lois, de donner de l'eau à boire aux en-
fants de cet âge, nous ne lui accorderons pas de confiance, mais nous
suivrons la bonne doctrine; en effet [en agissant ainsi], on n'accumulera
pas le feu sur le feu, mais le chaud sur le froid, comme c'est d'ailleurs
20 plus équitable. La mesure est bonne en toute circonstance, et bien plus
encore dans le cas dont il s'agit, puisque l'enfant est maladif et plus faible
que les autres individus : si donc nous commettons quelque erreur, il
21 vaut mieux nous tromper en supprimant qu'en ajoutant. Si vous voulez
que l'enfant soit aussi élancé et aussi droit que sa nature le comporte,
ne le gorgez pas d'aliments; si, cependant, une réplétion a eu lieu à
votre insu, l'enfant présentera tout de suite une propension au sommeil
et une torpeur plus fortes que de coutume, il aura du gonflement et
des gaz dans le ventre, et son urine sera plus aqueuse; la nourrice con-
jecturera d'après ces signes qu'il ne faut rien donner à l'enfant avant que
22 le surplus ne soit consumé. C'est encore une mauvaise méthode, si la

3. νομοθετήσει F. — 7. ἢ F. — 11. ἐμπιπλῇς *Syn.*, Paul.; ἐπιπλῇς F.

δὲ καὶ διὰ ὅλης τῆς νυκτὸς προσθεμένην θηλάζειν· καὶ γὰρ πλή-
σμιον, καὶ οὔπω πέψασα ὠμὸν δίδωσιν. Ἀρκεῖ δὲ ἔτη δύο τρέφειν 23
τῷ γάλακτι, τὸ δὲ ἐντεῦθεν μεταβάλλειν πρὸς σιτία. Κρεῖσσον δὲ 24
εἰ συντύχοι ὥρα φθινοπωρινῆς ἰσημερίας καὶ Πλειάδος δύσεως εἰς
τὴν μεταβολήν· ὁ γὰρ χειμὼν ἐκδέξεται, ἐν ᾧ δὴ καὶ πέψεις ἰσχυ-
ρότεραι. Χρὴ δὲ μηδὲ ἀεὶ ἐπὶ τῆς ἀγκάλης ἔχουσαν περιέρχεσθαι, 25
ἀλλὰ καὶ καθέσθαι. Καὶ μᾶλλον καλὸν μὴ ἀποπαῦσαι· γυμνάσιον 26
γάρ τε εἴη, καὶ σιέλου καὶ μύξης ἔκκρισις· τοὺς δὲ συντόνους
κλαυθμοὺς πραΰνειν· κίνδυνος γὰρ ὑπὸ αὐτῶν σπασθῆναι· πραΰ-
νειν δὲ τοῖς τε ἄλλοις, ἃ τῷ παιδίῳ ἥδιστα οἶσθα, καὶ ταῖς βαυκα-
λήσεσιν. Πεφυλάχθαι δὲ ἧσσον οὐδενὸς ἔκπληξιν, ψόφους μεγάλους, 27
ἐμβοήσεις, μηδὲ φοβεῖν πειρᾶσθαι ἄφνω ὄψεσι γοργονίων, ἤ τινων
ἄλλων ὁραμάτων· πᾶσι γὰρ κίνδυνος, τὸ παιδίον καλούμενον ἥκειν
νόσημα. Εἰ δέ που τύχοι ἐκπλαγὲν, παρηγορείσθω, τοῦτο μὲν τῇ 28

nourrice pend l'enfant à son sein, pour teter pendant toute la durée de la
nuit, car cela produit de la plénitude, et puis, n'ayant pas encore digéré
elle-même, elle lui donne des aliments crus. Il suffit de nourrir l'enfant 23
pendant deux ans avec le lait, et de le faire passer ensuite aux aliments.
Le mieux est que ce changement arrive à l'équinoxe d'automne ou au 24
coucher des Pléiades : en effet, cette saison est suivie de l'hiver, pendant
lequel la digestion est le plus vigoureuse. La nourrice ne doit pas non 25
plus se promener continuellement en tenant l'enfant dans ses bras, mais
elle doit aussi le coucher. Ce qui vaut bien mieux encore, c'est de ne pas 26
apaiser l'enfant, car ses cris pourraient être pour lui un exercice, et un
moyen d'expulser la salive et le mucus; cependant il faut calmer les cris
trop intenses, puisqu'ils menacent du danger de produire des convul-
sions; or on les apaise par les chansons propres aux nourrices, aussi
bien que par les autres moyens que vous savez être les plus agréables aux
enfants. On évitera aussi, plus que toute autre chose, la frayeur, les grands 27
bruits et les cris à l'oreille, et on n'essayera pas de les effrayer subite-
ment par l'apparition de spectres, ou de quelque autre vision; car tous
ces moyens mettent l'enfant en danger de prendre la maladie dite *mal
d'enfant* (l'épilepsie). Si parfois l'enfant est frappé de frayeur, on le ras- 28

4. *ἡ ἰσημερ.* F. — 12. *φοβεῖν* conj.; *ψοφεῖν* F.

τῶν συνηθεστάτων φιλτάτων ἐπιδείξει, τοῦτο δὲ ἀσπάσμασι, τοῦτο δὲ ἐπᾴδουσαν τῶν παιδικῶν τι τούτων μελῶν καὶ ἀνασείουσαν ὡς ἔλθῃ εἰς ὕπνον· καθίσταται γὰρ τοῖς ὕπνοις καὶ τῶν φόβων ἐπιλανθάνεται.

κα'. Περὶ ὑγιεινῆς διαίτης. Ἐκ τῶν Ἀθηναίου.

1 Τοὺς νηπίους τοὺς ἀπὸ τοῦ γάλακτος γεγονότας ἐν ἀνέσει τε ἐᾶν καὶ παιδιᾷ, καὶ τῇ ψυχικῇ ῥᾳθυμίᾳ κατεθίζειν αὐτοὺς, καὶ ταῖς μετὰ ἀπάτης καὶ ἱλαρότητος γυμνασίαις, καὶ τροφὰς αὐτοῖς προσφέρειν ἐλαφροτάτας καὶ τῷ πλήθει συμμέτρους· οἱ γὰρ διὰ τὸν απογαλακτισμὸν ἐμφοροῦντες αὐτοῖς τὰς τροφὰς, καὶ ταύτας πειρώμενοι πολυτροφωτέρας διδόναι, εἰς κακοτροφίαν καὶ ἀναύξειαν αὐτοὺς
2 περιτρέπουσι διὰ τὴν τῆς φύσεως ἀσθένειαν. Πολλοῖς δὲ αὐτῶν διὰ τὰς συνεχεῖς ἀπεψίας καὶ τὰς καταφορὰς τῆς κοιλίας ἑλκώσεις τε

surera, en partie en lui montrant les objets qui lui sont habituellement les plus chers, en partie en l'embrassant, et en partie en chantant devant lui une de ces chansons de nourrice et en le secouant, afin qu'il s'endorme; car, par l'effet du sommeil, il revient à lui et oublie sa peur.

21. DU RÉGIME SALUBRE. — TIRÉ D'ATHÉNÉE.

1 On doit permettre aux petits enfants qui viennent d'être sevrés, de vivre à leur aise et en jouant; on les habituera au repos de l'âme et aux exercices accompagnés de petites tromperies et de gaieté, et on leur donnera des aliments très-légers et en quantité modérée: car les gens qui, à l'occasion du sevrage, les bourrent d'aliments, et essayent de leur en donner qui nourrissent assez fortement, pervertissent leur nutrition et empêchent
2 leur croissance, à cause de la faiblesse de leur nature. Plusieurs de ces enfants sont pris d'ulcérations et d'inflammations des intestins, de pro-

Ch. 21; l. 5. τοὺς ἀπό F^b; καὶ ἀπό F. — Ib. γεγονότας F^b; γεγονυίας F. — 6-7. καὶ παιδιᾷ..... ἀπάτης om. F^b Sor., Syn., Aët., Paul. — 6. παιδίᾳ F. — Ib. φυσικῇ F. — 7. ἱλαρότητι F^b. — Ib. γυμνάσια δε F^b. — 8. ἐλαφρῶς F^b. — Ib. καὶ..... συμμέτρους om. F, Sor., Syn., Paul.; καὶ εὐχύμους Aët. — 9-10. πειρώμενοι F marg.; διδόμεναι text.; διδόμενοι corr.

καὶ φλεγμοναὶ τῶν ἐντέρων καὶ προπτώσεις τῆς ἕδρας καὶ νόσοι
χαλεπαὶ συμβαίνουσιν. Ἀπὸ δὲ τῶν ϛʹ καὶ ζʹ ἐτῶν τούς τε παῖδας 3
καὶ τὰς κόρας γραμματισταῖς παραδιδόναι πραέσι καὶ φιλανθρώποις· οἱ μὲν γὰρ προσαγόμενοι τὰ παιδία καὶ πειθοῖ καὶ παρακλήσει διδάσκοντες, πολλάκις δὲ καὶ ἐπαινοῦντες, ἐπιτυγχάνουσι, προτρέπονταί τε αὐτοὺς μᾶλλον καὶ μετὰ χαρᾶς καὶ ἀνέσεως διδάσκουσιν· ἡ δὲ ἄνεσις καὶ χαρὰ τῆς ψυχῆς εἰς εὐτροφίαν σώματος μεγάλα συμβάλλεται· οἱ δὲ ἐπικείμενοι τῇ διδασκαλίᾳ καὶ πικροὶ ταῖς ἐπιπλήξεσι, δουλοπρεπεῖς αὐτοὺς καὶ καταφόβους ποιοῦσι καὶ ἀλλοτρίους πρὸς τὰς μαθήσεις· δαίροντες γὰρ μανθάνειν καὶ μνημονεύειν ἀναγκάζουσιν ἐν αὐταῖς ὄντας ταῖς πληγαῖς, ὅτε καὶ τοῦ
φρονεῖν ἔξω γεγόνασιν. Οὐκ ἀναγκαῖον δὲ οὐδὲ διὰ ὅλης τῆς ἡμέρας 4
θλίβειν τοὺς ἀρτιμαθεῖς, μερίδα δὲ διδόναι παιδιᾷ αὐτῶν πλείονα·

cidence de l'anus et de maladies graves, par suite de la fréquence des
indigestions et de la tendance du ventre vers le bas (*diarrhée*). Depuis 3
l'âge de six ou sept ans, on confiera les garçons et les filles à des maîtres de lecture doux et humains; car ceux qui attirent vers eux les enfants, qui emploient la persuasion et l'exhortation comme moyens d'enseignement, qui les louent souvent, réussissent mieux et excitent davantage leur zèle; leur enseignement réjouit les enfants et les met à leur aise; or le relâchement et la joie de l'âme contribuent beaucoup à la bonté de la nutrition; ceux, au contraire, qui insistent sur leur enseignement, qui recourent aux réprimandes acerbes, donnent aux enfants un caractère servile et peureux, et leur inspirent de l'aversion pour l'objet de leur enseignement : car c'est en les frappant qu'ils les obligent à apprendre et à se ressouvenir au moment même où ils sont battus, lorsqu'ils ont
perdu leur présence d'esprit. Il n'est pas nécessaire non plus de tour- 4
menter pendant toute la durée du jour les enfants qui commencent à apprendre; au contraire, il faut consacrer la plus grande partie de la

2. ϛʹ *καί* om. Aët. — 3. *παραδοῦναι* F^b. — 4-6. *οἱ μὲν..... μᾶλλον καί*] *οὗτοι δέ* Sor., *Syn.*, Paul.; *οὕτω δέ* F^b; om. Aët. — 4-5. *περικλήσει* F. — 7. *καὶ χαρά* om. F^b. — Ib. *πρός* F^b. — 8. *συμβήσεται* (*συμβλ.*) F^b. — 9. *αὐτοὺς κατὰ φόβους* F. — 10. *δέροντες* F. — 13. *παιδιᾶς* F.

ὁρῶμεν γὰρ καὶ τῶν ἰσχυροτέρων καὶ τετελειωμένων ταῖς ἡλικίαις
τοὺς ἐπιμελῶς καὶ ἀδιαλείπτως προσεδρεύοντας τοῖς μαθήμασι κατα-
5 φθειρομένους τοῖς σώμασιν. Τοὺς δὲ δωδεκαετεῖς τῶν παίδων πρός
τε γραμματικοὺς φοιτᾷν ἤδη καὶ γεωμέτρας καὶ τὸ σῶμα γυμνά-
ζειν· ἀναγκαῖον δὲ νουνεχεῖς εἶναι τούς τε παιδαγωγοὺς αὐτῶν
καὶ τοὺς ἐπιστάτας, καὶ μὴ τελείως ἀπείρους, ὅπως τούς τε και-
ροὺς καὶ τὰς συμμετρίας ἴδωσι τροφῆς, γυμνασίων, λουτρῶν, ὕπνου,
τῶν ἄλλων τῶν κατὰ τὴν δίαιταν· οἱ γὰρ πολλοὶ τῶν ἀνθρώπων
ἱπποκόμους μὲν πλείονος ὠνοῦνται τοὺς ἐπιμελεῖς καὶ ἐμπείρους
ἐκλεγόμενοι, παιδαγωγοὺς δὲ τῶν τέκνων καταστήσαιεν τοὺς ἀπεί-
ρους καὶ ἀχρήστους ἤδη γεγονότας, καὶ μηδὲν ἔτι δυναμένους ὑπη-
6 ρετεῖν τῶν κατὰ τὸν βίον. Ἀπὸ δὲ τῶν τεσσαρακαίδεκα ἐτῶν
μέχρι τῶν τριῶν ἑβδομάδων ἁρμόσει μαθημάτων ἄσκησις καὶ ἀνά-
ληψις γνησιωτέρα καὶ φιλοσόφων λόγων κατήχησις καὶ ὑπομνημα-
τισμὸς, καὶ τῶν ὑπομνηματισθέντων ἀνταπόδοσις ἐπιστρεφεστέρα.

journée à leurs jeux : en effet, nous voyons que, même parmi les gens
plus robustes, qui sont déjà parvenus à l'âge de leur développement
complet, le corps se détériore chez ceux qui s'appliquent avec ardeur et
5 sans interruption à la culture des sciences. Les enfants de douze ans doi-
vent déjà fréquenter les grammairiens et les géomètres et exercer leur
corps; mais il est nécessaire qu'ils aient des précepteurs et des surveil-
lants raisonnables et non entièrement dépourvus d'expérience, afin qu'ils
connaissent la mesure et le temps opportuns pour les aliments, les exer-
cices, les bains, le sommeil et les autres détails du régime : la plupart
des hommes achètent à un prix assez élevé leurs palefreniers et choisis-
sent à cet effet des gens soigneux et expérimentés, tandis qu'ils prennent
pour précepteurs de leurs enfants des individus sans expérience, qui sont
déjà devenus inutiles, et ne peuvent plus rendre aucun des services habi-
6 tuels de la vie. Depuis l'âge de quatorze ans jusqu'à l'accomplissement
de la troisième semaine [d'années], il conviendra de cultiver et de s'ap-
proprier les sciences plus sérieusement, d'entendre les démonstrations
philosophiques, de se les rappeler, et de répéter ce qu'on s'est rappelé

10. καθιστήσοι F. — 13. ἁρμόζει F[b].

Χρήσιμον δὲ, [ἢ] μᾶλλον ἀναγκαῖον, πᾶσιν ἀνθρώποις ἀπὸ ταύτης 7
τῆς ἡλικίας ἅμα τοῖς ἄλλοις μαθήμασι συμπαραλαμβάνειν καὶ τὴν
ἰατρικὴν καὶ κατακούειν τὸν ταύτης λόγον, ἵνα καλοὶ καὶ ἀγαθοὶ
σύμβουλοι γένωνται πολλάκις ἑαυτοῖς τῶν εἰς σωτηρίαν χρησίμων·
σχεδὸν γὰρ οὐδεὶς καιρός ἐστιν οὔτε νυκτὸς, οὔτε ἡμέρας, ἐν ᾧ
χρείαν οὐδεμίαν ἔχομεν τῆς τέχνης, ἀλλὰ καὶ ἐν περιπάτῳ, καὶ ἐν
καθέδρᾳ καὶ ἀλείμματι καὶ λουτρῷ καὶ βρώσει καὶ πόσει καὶ ὕπνῳ
καὶ ἐξεγέρσει καὶ πάσῃ πράξει, διὰ ὅλου τοῦ βίου καὶ διὰ ἁπάσης
τῆς ζωῆς, χρείαν ἔχομεν συμβουλίας πρὸς τὴν ἀβλαβῆ καὶ συμφέ-
ρουσαν χρῆσιν αὐτῆς· τὸ δὲ ἀεὶ καὶ περὶ πάντων ἰατροῖς προσανα-
φέρειν κοπῶδες καὶ ἀδύνατον. Τὰ μὲν οὖν περὶ ψυχὴν τοῖς τηλικού- 8
τοις τοῦτον οἰκονομεῖσθαι τὸν τρόπον· τὰ δὲ τοῦ σώματος γυμνάσια
καὶ αὐτὰ ἔσΊω πλείονα διὰ τὴν ἰσχὺν τοῦ σώματος καὶ διὰ τὸ ἄρ-
χεσθαι κατὰ ταύτην τὴν ἡλικίαν τὴν γένεσιν τοῦ σπέρματος καὶ

avec une attention bien soutenue. A partir de quatorze ans, il est utile, 7
ou plutôt nécessaire, pour tout le monde, de comprendre parmi les objets d'enseignement, non-seulement les autres sciences, mais aussi la médecine, et d'écouter les préceptes de cet art, afin que nous soyons souvent pour nous-mêmes des conseillers accomplis, eu égard aux choses utiles pour la santé : car il n'y a presque aucun instant de la nuit ou du jour, où nous n'éprouvions le besoin de la médecine : ainsi, que nous nous promenions, ou que nous soyons assis, que nous nous fassions des onctions, ou que nous prenions un bain, que nous mangions, ou que nous buvions, que nous dormions, ou que nous veillions, en un mot, quoi que nous fassions, pendant tout le cours de la vie et au milieu des diverses occupations qui s'y rapportent, nous avons besoin de conseils pour employer cette vie d'une manière utile et sans inconvénients; or il est fatigant et impossible de s'adresser toujours aux médecins pour
tous ces détails. Voilà comment il faut diriger les circonstances qui se 8
rapportent à l'âme chez les jeunes gens de cet âge; quant aux exercices corporels, puisque le corps est robuste, puisque la production du sperme commence à cet âge-là, et que les jeunes gens ont des appétits très-

1. [ἢ] conj.; om. F. — 6. ἔχωμεν F. — 13. πολλὰ (-ῷ?) πλείονα F[b].

τὰς ὁρμὰς τῶν μειρακίων πρὸς τὰς μίξεις γίνεσθαι σφοδροτάτας,
ὅπως καὶ ψυχῇ καὶ σώματι πονοῦντες εὐθὺς ἀπὸ τῆς ἀρχῆς ταῖς
ὁρμαῖς κωλύωνται· οὐδὲν γὰρ οὕτως ἐγκοπτικὸν εἰς ἐπίδοσιν ψυχῆς
καὶ σώματος ὡς ἡ πρόωρος καὶ δαψιλὴς χρῆσις τῶν ἀφροδισίων.
9 Συναιρετέον δὲ καὶ τὸν οἶνον ἐπὶ τούτων, παρορμῶντα πρὸς τὰς
10 ἀκολασίας. Καθόλου δὲ οὐδὲν παραθεωρητέον οὔτε τῆς ψυχῆς, οὔτε
τοῦ σώματος ἀγύμναστον, ἀλλὰ πάντων ὁμοίως ἐπιμελητέον, ὅπως
καὶ πρὸς τὸ γῆρας ὁλόκληροί τε ἀφικώμεθα καὶ πᾶσιν αὐτοῖς ὁλο-
11 κλήροις χρησώμεθα. Τοῖς δὲ ἀκμάζουσιν ἁρμόζει δίαιτα τελεία καὶ
ψυχῆς καὶ σώματος· διὸ γυμνασίοις χρηστέον πᾶσι, μάλιστα δὲ
12 οἷς ἕκαστος εἴθισται· τροφαῖς δὲ ἱκαναῖς καὶ εὐτρόφοις. Πειρᾶσθαι
δὲ τὰς ὁρμὰς καταστέλλειν, καὶ μὴ ταῖς προθυμίαις ὑπερθέσθαι τὰς
ἑαυτῶν δυνάμεις· μέχρι μὲν γάρ τινος ἡ τοῦ σώματος εὐρωστία
ἀντέχειν δυνατὴ τοῖς ἁμαρτανομένοις· τὰ δὲ ἰσχυρότερα καὶ ὑπὲρ
13 δύναμιν περιγίνεται καὶ τῶν μάλιστα εὐεκτεῖν δοκούντων. Τοῖς δὲ

ardents qui les excitent aux rapports sexuels, ils doivent aussi être plus
nombreux, afin que, se fatiguant tout de suite l'âme et le corps, ils puissent,
dès le commencement, réprimer leurs désirs, car rien n'entrave autant
les progrès de l'âme et du corps qu'un usage prématuré et excessif des
9 rapports sexuels. Il convient aussi de supprimer le vin à cet âge, parce qu'il
10 excite aux dérèglements. En général, il ne faut négliger d'exercer aucune
partie, pas plus de l'âme que du corps, mais prendre un soin égal de
toutes, afin que nous atteignions la vieillesse dans un état d'intégrité, et
que nous puissions nous servir de toutes nos parties dans de pareilles
11 conditions. Ce qui convient aux adultes, c'est un régime complet de l'âme
et du corps : pour cette raison, il faut recourir à tous les exercices, mais
surtout aux exercices conformes aux habitudes de chaque individu en
particulier, et se servir d'aliments bien nourrissants en quantité suffisante.
12 Nous tâcherons de réprimer ses penchants, et nous ferons en sorte que
nos désirs ne dépassent pas nos forces; pendant quelque temps, en effet,
la vigueur du corps est capable de résister aux dérèglements, mais les
fautes plus graves et qui dépassent les forces viennent à bout même des
13 corps qui semblent jouir de la meilleure complexion possible. C'est un

11. τε καί F[b].

ϖαρακμάζουσιν ἁρμόζει δίαιτα ὑφειμένη καὶ ψυχῆς καὶ σώματος,
τά τε γυμνάσια ὁποῖά ϖοτε ἂν ᾖ, κατὰ λόγον ἀεὶ τούτων ὑφαιρετέον,
τῆς δυνάμεως αὐτῶν μειουμένης. Καὶ τὰς τροφὰς ἐκ ϖροσαγωγῆς 14
συσΊαλτέον, τῆς ἕξεως αὐτῶν ἀρχὴν ψύξεως λαμβανούσης. Τὸ δὲ 15
γῆρας ἀκριβεσΊέρας μὲν διαίτης, ϖερισσοτέρας δὲ ἐπικουρίας δεόμενον τυγχάνει· αἱ γὰρ συνέχουσαι καὶ διασώζουσαι ἡμᾶς ψυχικαί τε καὶ φυσικαὶ δυνάμεις μαραίνονται, καὶ τὰ τούτων ἔργα καταλύονται, καὶ τὸ σῶμα ῥακοῦται καὶ ἄτροφον καὶ χαῦνον καὶ ξηρὸν
γίνεται. Ὅταν οὖν ἡ μὲν διευθύνουσα τὸ σῶμα δύναμις καὶ τοῖς ἔξω- 16
θεν λυμαινομένοις ἡμῖν ἀντερείδουσα καὶ μαχομένη κατά τινας σπερματικοὺς λόγους καὶ φυσικὰς ἀνάγκας ὑπὸ ϖόδας χωρῇ, τὸ δὲ σῶμα εὐπαθὲς ὑπάρχον καὶ εὐαδίκητον, μικρᾶς αἰτίας χρεία καὶ
ῥοπῆς τῆς τυχούσης ϖρὸς βλάβην. Ἄνωθεν μὲν οὖν ἀπὸ τῆς ϖρώ- 17
της ἡλικίας καὶ ϖρονοητέον τοῦ γήρως χρόνῳ· ὡς γὰρ οἱ τὴν χλαῖναν ἐν τῷ θέρει κατατρίψαντες ἐν τῷ τρίβωνι τὸν χειμῶνα διάγουσιν,

régime mitigé de l'âme et du corps qui convient aux gens parvenus à l'âge du déclin, et on devra diminuer les exercices, quels qu'ils soient, en raison de ces circonstances, parce que les forces baissent chez ces gens.
On diminuera aussi peu à peu la quantité des aliments, parce que la 14
complexion de ces individus éprouve un commencement de refroidissement. La vieillesse réclame un régime plus exact et des soins plus minu- 15
tieux; car les forces psychiques et naturelles, qui nous maintiennent et nous conservent, se flétrissent à cet âge, leur fonctions languissent et le corps se ride comme un vieux linge, et devient lâche, sec et mal nourri.
Lors donc que la force qui dirige notre corps, et qui résiste et lutte 16
contre les influences extérieures capables de nous nuire, s'échappe en vertu de lois fondamentales et de nécessités naturelles, quand notre corps est facilement exposé aux souffrances et facilement lésé, on n'a besoin que d'une cause peu importante et d'un écart insignifiant pour éprou-
ver du dommage. Il faut donc, à partir du premier âge, prendre à l'aide 17
du temps ses précautions contre la vieillesse; de même, en effet, que ceux qui ont usé en été leur manteau, passent l'hiver dans un habit délabré,

1. ὑφισΊαμένη F[b] Sor., Paul.

οὕτως οἱ ἐν τῇ νεότητι τὴν ῥώμην καταλύσαντες τὸν τοῦ γήρως
18 χιτῶνα σφόδρα δυσκόλως φέρουσιν. Ζηλωτέον δὲ ἐν τῇδε τῇ ἡλικίᾳ
μάλισ7α πρᾳότητι καὶ μεγαλοψυχίᾳ· ὁ γὰρ τοιοῦτος ἀϐαρὴς καὶ
ποθεινὸς παρὰ πᾶσι καὶ ἐπιμελείας τυγχάνων μετὰ εὐνοίας τινὸς
19 καὶ συμπαθείας. Σπουδάζειν δὲ καὶ τοὺς συζῶντας ἔχειν εὐαρεσ7ουμένους, καὶ μὴ ὀχληρούς, μετὰ ὧν ὡς ἥδισ7α εἰώθει καὶ ὁμιλιῶν ἐνάρχεσθαι ποθεινῶν, καὶ ἐν τόποις ἐπιτερπεσ7έροις διατρίϐειν, καὶ καθόλου ζῆν μετὰ εὐθυμίας τὸν ἅπαντα χρόνον· εἰ δὲ μή γε, τὸν πλεῖσ7ον ἑαυτῷ σχολάζειν καὶ πρὸς τὴν ἑαυτοῦ μᾶλλον ἢ πρὸς τὴν ἑτέρων ἀσχολεῖσθαι θεραπείαν, ἵνα μηδὲν ὑπερθέσεως ἠξιῶται τῶν κατὰ ἕκασ7ον καιρὸν κατεπειγόντων πρὸς τὴν τοῦ σώματος ἐπιμέλειαν· τὸ γὰρ γῆρας ὥσπερ κεκοπιακὸς ἐν τῷ προεληλυθότι χρόνῳ,
20 ἀναπαύσεως δεῖται περισσοτέρας. Ἄρισ7ον δὲ γῆρας τῶν ἐν παιδείᾳ καὶ μαθήσει λογικῇ διαφερόντων, διά τε τὴν προσοχὴν καὶ τὴν νῆψιν τῆς διαίτης, καὶ διὰ τὴν τῆς ψυχῆς εὐσ7άθειαν, καὶ διὰ τὸ σχολάζειν ἀεὶ καὶ προσαναπαύεσθαι τοῖς τε ἑαυτῶν καὶ τοῖς τῶν

ainsi les gens qui ont épuisé leurs forces dans la jeunesse, portent avec
18 de grandes difficultés le vêtement de la vieillesse. A cet âge, surtout, il faut s'efforcer d'être doux et généreux; car un vieillard de ce caractère ne sera pas à charge à tout le monde; au contraire, il sera recherché et on lui donnera des soins accompagnés de bienveillance et de compassion.
19 On s'évertuera aussi à faire en sorte que les gens avec lesquels on vit, et avec lesquels on avait l'habitude de lier très-agréablement des conversations pleines de charme, soient de bonne humeur, et non déplaisants; on devra séjourner dans des endroits qui font plaisir, et, en général, vivre toujours gaiement, ou, si cela ne se peut pas, on tâchera de se donner du loisir le plus longtemps possible, et de s'occuper plutôt du soin de sa propre personne que de celui des autres, afin qu'aucun des détails que réclament à chaque instant les soins du corps ne souffre aucun délai; car la vieillesse étant, pour ainsi dire, fatiguée par la longueur du temps,
20 exige un repos plus complet. La meilleure vieillesse est celle des gens qui excellent dans l'érudition et les sciences rationnelles, à cause de leur application, de la sobriété de leur régime, de l'équilibre de leur âme, et parce qu'ils jouissent d'un loisir perpétuel, en s'appuyant sur leurs

προγενεστέρων πόνοις· τίνα γὰρ εὕροι νοῦν ἔχων ἀνὴρ συνομιλητὴν ἑαυτοῦ βελτίονα, ἢ τίσιν ἂν ἥδιστα συνδιατρίβοι παρεὶς τὰς
τοιαύτας καὶ τηλικούτων ἀνδρῶν πραγματείας; Πηλίκον δὲ χάρμα 21
καὶ πόσον ἔπαρμα ψυχὴ λαμβάνει, συζητοῦσα τοῖς προγενεστέροις τῶν φιλοσόφων τε καὶ ἰατρῶν καὶ τοῖς ἄλλοις τοῖς προϊσταμένοις τῶν ἐγκυκλίων μαθημάτων, καὶ παρεγχειροῦσα τούτοις πολλάκις;

κβ'. Ὑγιεινὴ δίαιτα. Ἐκ τῶν Διοκλέους.

Ἀρχὴ μέν ἐστι τῆς τῶν ὑγιεινῶν πραγματείας ἡ ἐκ τῶν ὕπνων 1
εἰς τὸ ἐγρηγορέναι μετάβασις· ἐγείρεσθαι δὲ ὡς ἐπὶ τὸ πολὺ καλῶς ἔχει, μεθεστηκότων ἤδη τῶν σιτίων ἐκ τῆς ἄνω γαστρὸς ἐπὶ
τὴν κάτω κοιλίαν. Καλῶς δὲ ἔχει τὸν νέον καὶ ἀκμάζοντα μικρὸν 2
πρὸ ἡλίου ὅσον διελθεῖν στάδια δέκα, θέρους δὲ ὅσον ε', τὸν δὲ
πρεσβύτερον ἐλάσσω τούτων καὶ θέρους καὶ χειμῶνος. Διυπνι- 3

propres travaux et sur ceux de leurs ancêtres : en effet, comment un homme raisonnable pourrait-il trouver un meilleur compagnon pour soi-même, ou des gens avec lesquels il converserait plus agréablement, s'il néglige les ouvrages aussi éminents faits par d'aussi grands hommes?
Quelle joie et quelle élévation l'âme ne ressent-elle pas quand on est 21
en commerce d'études avec les philosophes et les médecins nos prédécesseurs, ainsi qu'avec les autres hommes qui marchent à la tête des sciences universelles, et quand on s'adresse souvent à eux!

22. DU RÉGIME SALUBRE. — TIRÉ DE DIOCLÈS.

Le point par où commence l'art de conserver de la santé est la tran- 1
sition du sommeil à la veille; or il est bon de se réveiller habituellement quand les aliments se sont déjà transportés du ventre supérieur dans le
ventre inférieur. Il est bon qu'un jeune homme, aussi bien qu'un individu 2
d'un âge moyen, fasse, un peu avant le lever du soleil, une marche de dix stades environ; en été, cependant, elle ne devra être que de cinq; mais un homme plus âgé ne parcourra qu'une moindre distance, aussi bien en
hiver qu'en été. Après s'être réveillé, on ne se lèvera pas aussitôt, mais 3

2. συνδιατρίβειν F. — 4-5. τοῖς τῶν προγενεστέρων φιλοσ. F.

σθέντα δὲ μὴ εὐθὺς ἀνίσΊασθαι, μένειν δὲ ἕως ἂν τὸ δυσκίνητον καὶ
4 νωχελὲς τὸ ἐκ τῶν ὕπνων γινόμενον ἐκλείπῃ. Μετὰ δὲ τὴν ἀνάσΊα-
σιν ἁρμόττει πρὸς τοὺς τραχηλισμοὺς τοὺς ὑπὸ τῶν προσκεφαλαίων
γινομένους ἀνατρίϐεσθαι τὸν τράχηλον καὶ τὴν κεφαλὴν εὖ καὶ κα-
λῶς· ἔπειτα τοῖς μὲν μὴ εὐθὺς εἰθισμένοις κενοῦσθαι τὴν κοιλίαν,
καὶ πρὶν κενωθῆναι, τοῖς δὲ ὅταν κενωθῶσιν, εὐθὺς πρὸ τοῦ πράτ-
τειν ἄλλο τι, βέλτιόν ἐσΊιν ἤδη τρίϐεσθαι τὸ σῶμα πᾶν μετὰ ἐλαίου
μικροῦ, τοῦ μὲν θέρους ὕδατος μιγνυμένου, τοῦ δὲ χειμῶνος ὡς
ἔχει, χρόνον μὴ ὀλίγον, καὶ μαλακῶς δὲ καὶ ὁμαλῶς, τὸ ὅλον ἐκτεί-
νοντα καὶ συγκάμπΊοντα καὶ πολλάκις, πάντα τὰ ἐνδεχόμενα τοῦ
σώματος· ἄμεινον γὰρ [ἂν] τις καὶ πρὸς ὑγίειαν καὶ πρὸς πάντα
5 πόνον οὕτως εἴη διακείμενος. Μετὰ δὲ ταῦτα τὸ μὲν πρόσωπον καὶ
τοὺς ὀφθαλμοὺς ὕδατι ψυχρῷ καὶ καθαρῷ προσκλύζειν καὶ ἀπονίζειν
κατὰ ἑκάσΊην ἡμέραν καθαραῖς ταῖς χερσὶν, τὰ δὲ οὖλα πρὸς τοὺς

on attendra jusqu'à ce que la lourdeur et la difficulté à se mouvoir, que
4 produit le sommeil, se soient dissipées. Après qu'on s'est levé, il con-
vient, contre la roideur du cou produite par l'action des oreillers, de se frotter convenablement cette partie ainsi que la tête; après cela, c'est le moment de se frotter tout le corps avec un peu d'huile, et les gens qui n'ont pas l'habitude d'aller à la selle [après qu'ils se sont levés] procéderont à cette friction même avant l'évacuation dont il s'agit, tandis que ceux qui ont des habitudes contraires se frictionneront après l'évacuation, mais avant de se livrer à aucune autre occupation; en été, on mêlera de l'eau à l'huile qu'on emploie à cet effet, mais, en hiver, on l'emploiera telle qu'elle est; la friction devra être continuée assez longtemps, et on se frottera d'une manière douce et égale, en étendant et en fléchissant même souvent toutes les parties du corps qui se prêtent à cette manœuvre : car, de cette manière, on sera bien disposé, tant sous
le rapport de la santé que pour entreprendre un travail quelconque.
5 Après cela on arrosera chaque jour la figure et les yeux, et on lavera,
à l'eau froide et pure, avec les mains propres; on frottera les gencives en vue [de raffermir] les dents ou, tout simplement, les dents à l'inté-

11. [ἂν] om. F. — 12. ἢ F.

*ὀδόντας, ἢ τοὺς ὀδόντας οὕτως ἂν τοῖς δακτύλοις αὐτοῖς, γλήχωνος
τετριμμένης ὁμοῦ λείας, παρατρίβειν, καὶ ἐντὸς καὶ ἐκτὸς, καὶ ἀπο-
σμᾷν τὰ προσκαθήμενα αὐτοῖς ἀπὸ τῶν σιτίων, τὴν δὲ ῥῖνα καὶ τὰ
ὦτα διαχρίειν μὲν καὶ λιπαίνειν ἔσωθεν ἀμφότερα, μάλισ7α μὲν
μύρῳ ἡδεῖ· εἰ δὲ μὴ, ἐλαίῳ ὡς ὅτι καθαρωτάτῳ καὶ εὐωδεσ7άτῳ·
καὶ ἔσωθεν καὶ ἔξωθεν ἀλείφειν ταῖς χερσὶ πλατείαις. Οὐχ ἥκισ7α* 6
*δὲ τῆς κεφαλῆς ἐπιμελεῖσθαι δεῖ, Θεραπεία δὲ κεφαλῆς ἐσ7ιν, ὡς
οὕτως εἰπεῖν, τρίψις καὶ χρίσις καὶ σμῆξις καὶ κτενισμὸς καὶ ἐν
χρῷ κουρά. Δεῖ δὲ τρίβειν μὲν καὶ ἀλείφειν αὐτὴν κατὰ ἑκάσ7ην ἡμέ-* 7
ραν, σμᾷν δὲ καὶ κτενίζειν διά τινων χρόνων. Ποιεῖ δὲ ἡ μὲν τρί- 8
*ψις τὸ δερμάτιον ἰσχυρότερον, ἡ δὲ χρίσις μαλακώτερον, ἡ δὲ
σμῆξις τοὺς πόρους καθαρωτέρους καὶ εὐπνοωτέρους, ὁ δὲ κτενισμὸς
ἀναξύων καὶ ὁμαλὸν ποιῶν τὸ περὶ τὰς τρίχας ἐκκαθαίρει καὶ πε-
ριαιρεῖ τὰ ἐνοχλοῦντα. Μετὰ δὲ τὴν εἰρημένην ἐκ τῶν ὕπνων ἐπι-* 9
μέλειαν τοὺς μὲν ἕτερόν τι πράτ7ειν ἀναγκαζομένους, ἢ προαιρου-

rieur et à l'extérieur avec les doigts mêmes, en y ajoutant l'usage du pouliot finement trituré, et on détergera les parcelles d'aliments qui s'y sont attachées; on oindra le nez et les oreilles et on les graissera à l'intérieur, de préférence avec de l'huile parfumée d'une bonne odeur; si l'on n'en a pas, on prendra de l'huile aussi pure et aussi odoriférante que possible; on les oindra à l'intérieur, et avec le plat de la main à l'exté-
rieur. La tête est encore une partie qui ne réclame pas des soins moins 6
impérieux; or ces soins consistent, à vrai dire, dans la friction, l'onc-
tion, la détersion, l'emploi du peigne et la tonsure à ras de la peau. On 7
frictionnera et on oindra la tête chaque jour; mais on ne la détergera et
on n'emploiera le peigne qu'à de certains intervalles. Or la friction ren- 8
force la peau, l'onction la ramollit, la détersion nettoie les canaux et les rend plus perméables à l'air, tandis que le peigne, en râclant et en
égalisant le cuir chevelu, expulse et enlève ce qui incommodait. Après 9
les soins consécutifs au sommeil, et que nous venons de décrire, il est bon que les gens qui sont forcés de se livrer à quelque occupation,

1. *ὀδόντας δὲ καὶ τοὺς ὀδ. ἢ οὔτ.* F. — 2. *λείης* F. — 6. *ἀλείφειν καὶ ταῖς* F.

μένους, ἐπὶ τοῦτο ὑποχωρεῖν εὖ ἔχει· τοὺς δὲ σχολάζοντας προπερι-
10 πατεῖν ἁρμόζει τὸ σύμμετρον τῇ ῥώμῃ τῆς δυνάμεως. Οἱ μὲν οὖν
πρὸ τῆς προσφορᾶς τῶν σιτίων πλείους γινόμενοι, κενοῦντες τὸ σῶμα, δεκτικωτέρους τῆς τροφῆς καὶ πέττειν τὰ βρωθέντα ποιοῦσι δυνατωτέρους· οἱ δὲ ἀπὸ τῶν σιτίων μέτριοι μὲν ὄντες καὶ βραδεῖς ὁμαλίζουσί τε καὶ μιγνύουσι τὰ σιτία καὶ τὸ ποτὸν καὶ τὰ συγκαταλαμβανόμενα τῶν πνευμάτων αὐτοῖς, καὶ τὰ πρόχειρα τῶν περιττωμάτων ἐκκρίνοντες λαπάττουσιν, εὐογκότερον ποιοῦντες τὸν ὄγκον τοῦ πληρώματος, ἀπό τε τῶν ὑποχονδρίων καταβιβάζοντες τὰς περὶ τὴν κεφαλὴν αἰσθήσεις βελτίους ποιοῦσι καὶ τοὺς ὕπνους ἀταρακτοτέρους· τοὺς δὲ πολλοὺς καὶ ταχεῖς τῶν μετὰ τὰ σιτία πρὸς οὐδὲν ἄν τις ἐπαινέσειεν· σείοντες γὰρ ἰσχυρῶς τὸ σῶμα διακρίνουσί τε καὶ χωρίζουσιν ἀπὸ ἀλλήλων τὰ σιτία καὶ τὰ ποτά, ὥστε κλύδαξίν τε γίνεσθαι καὶ δυσπεψίαν καὶ τὴν κοιλίαν ἐπιταράττεσθαι
11 πολλάκις. Συμφέρει δὲ μετὰ τὸν περίπατον καθεζόμενον οἰκονο-

ou qui préfèrent agir ainsi, se livrent à cette occupation; mais il convient aux gens de loisir de faire préalablement une promenade propor-
10 tionnée au degré de leur force. Les promenades qui précèdent l'administration des aliments, si elles sont longues, nous rendent, en évacuant le corps, plus propres à recevoir les aliments et plus puissants à les digérer; les promenades après le repas, si elles sont modérées et lentes, égalisent et mélangent les aliments, les boissons et les gaz qui y sont emprisonnés; en expulsant les résidus qui sont à portée, elles ramollissent le ventre, en modérant le gonflement produit par la charge de l'estomac, et en faisant descendre [les aliments] des hypocondres, elles améliorent les sensations qui siégent dans la tête, et rendent le sommeil moins troublé; mais personne ne louera, sous aucun rapport, les promenades prolongées et rapides après le repas, car, en secouant fortement le corps, elles séparent et isolent les uns des autres les aliments et les boissons, de manière à causer du ballottement et une
11 mauvaise digestion, et à troubler souvent aussi le ventre. Après la promenade, il est utile qu'on s'assoie, et que chacun se livre à ses affaires

1-2. προσπερ. F. — 13-14. ὥστε (inter l. ει) κλύδαξί F.

*μεῖν τι τῶν κατὰ αὐτὸν ἕκαστον, ἕως ἂν ὥρα γένηται τραπέσθαι πρὸς
τὴν τοῦ σώματος ἐπιμέλειαν. Καλῶς δὲ ἔχει γυμνάζεσθαι τοὺς μὲν* 12
*νέους καὶ πλειόνων γυμνασίων γινομένους καὶ δεομένους εἰς τὸ
γυμνάσιον ἀποχωρήσαντας, τοὺς δὲ πρεσβυτέρους καὶ ἀσθενεστέρους
εἰς βαλανεῖον, ἢ εἰς ἄλλην ἀλέαν χρίεσθαι. Ἀπόχρη δὲ τοῖς τηλι-* 13
*κούτοις καὶ παντάπασιν ἰδιωτικὸν ἔχουσιν αὐτοῖς γυμνάσιον τρί-
ψις μετρία καὶ μικρὰ κίνησις τοῦ σώματος. Τρίβεσθαι δὲ βέλτιόν* 14
*ἐστι τὸν τρίψεως δεόμενον μήτε κεχρισμένον πολὺ, μήτε ξηρὸν παν-
τελῶς, ἀλλὰ ὑπαλειψάμενον καὶ τριψάμενον ὁμαλῶς, ἔπειτα περι-
ξυσάμενον λουτρῷ ἁρμόττοντι χρήσασθαι, τοὺς δὲ ἀσθενεῖς καὶ σφό-
δρα πρεσβύτας ἀλείφεσθαι μὲν λιπαρῶς καὶ ὁμαλῶς, τρίβεσθαι δὲ
αὐτὸν ὑπὸ ἑαυτοῦ τὰ πλεῖστα βέλτιόν ἐστιν· ἅμα γὰρ τῇ τρίψει
καὶ γυμνάζεσθαι τὸ σῶμα συμβαίνει διὰ ἑαυτοῦ κινούμενον· τὸ δὲ
ὑπὸ ἑτέρου τρίβεσθαι διὰ παντὸς τοῖς κοπιῶσι καὶ τοῖς ἀσθενεστέ-
ροις καὶ ῥαθυμοτέρως ἔχουσι πρὸς τὰ γυμνάσια δεῖ μάλιστα ἀπονέ-*

privées, jusqu'à ce que l'heure arrive de songer aux soins du corps. Il 12
est bon que les jeunes gens, ainsi que ceux qui sont habitués à des exer-
cices assez nombreux, ou qui en ont besoin, aillent au gymnase pour
s'exercer; mais il vaut mieux que les gens plus âgés ou plus faibles se
rendent au bain, ou dans quelque autre endroit chaud, pour se faire
oindre. Pour les gens de cet âge, et qui ont un gymnase destiné exclu- 13
sivement à leur propre usage, une friction modérée et un léger mouve-
ment du corps suffisent. Quant à ceux qui ont besoin d'être friction- 14
nés, le meilleur est, d'un côté, de ne pas faire précéder la friction d'une
onction trop forte, et, d'un autre, de ne pas frotter le corps complétement à sec, mais de l'oindre et de se frictionner d'une manière égale, de se gratter ensuite et de prendre un bain convenable; pour les gens faibles et très-âgés, il vaut mieux être frictionné d'une manière égale, et avec beaucoup de matière grasse; seulement, ils devront faire la plus grande partie de la friction de leurs propres mains, car, de cette manière, il arrivera qu'ils exercent leur corps en même temps qu'ils se frictionnent, en prenant un mouvement spontané; il faudra, au contraire, laisser principalement aux gens fatigués ou faibles, ou qui se montrent paresseux à l'égard des exercices, la coutume de se faire toujours fric-

15 μειν. Μετὰ δὲ τὴν θεραπείαν τοῦ σώματος ἐπὶ ἄριστον ἀποχωρεῖν·
οὐκ ἄδηλον δὲ ὅτι καὶ τὸ ἄριστον καὶ πᾶσαν ἁπλῶς τὴν δίαιταν ἁρ-
μόσει τοῦ μὲν θέρους εἶναι μὴ θερμαντικὴν, μηδὲ ξηραντικὴν, τοῦ
δὲ χειμῶνος μήτε ψυκτικὴν, μήτε ὑγραντικὴν, τοῦ δὲ ἔαρος καὶ τοῦ
16 μετοπώρου μέσον τι ἔχουσαν. Τοῖς μὲν οὖν εὐόγκως βουλομένοις
διάγειν τοῦ θέρους ἄριστον ἀποχρῶν ἐστι καὶ πρὸς ὑγίειαν καὶ
πρὸς τὸ διημερεύειν ἱκανῶς ἄλφιτον λευκὸν χρήσιμον μέτριον ἐπὶ
οἴνῳ λευκῷ εὐώδει καὶ μέλιτι μὴ πολλῷ καὶ ὕδατι κεκραμένῳ κα-
λῶς πινομένῳ, ἢ ἕψημά τι τῶν ἀφύσων καὶ εὐπέπτων καὶ τροφί-
μων, καὶ οὕτω, καὶ μετὰ μικροῦ μέλιτος λαμβανόμενον μὴ θερμόν.
17 Τῷ δὲ μηδὲν προσιεμένῳ τοιοῦτον ἄρτον ἀριστᾷν ἁρμόττει ψυχρὸν
τοσοῦτον ὅσον ἔσται πρὸ τοῦ δειλινοῦ γυμνασίου καταπέψαι δυνα-
18 τός. Ὄψον δὲ ἕξει λάχανον ἑφθὸν, ἢ κολοκύντην, ἢ σίκυον, ἢ ἄλλο
τι τῶν πρὸς τὴν παροῦσαν ὥραν μὴ ἀναρμόστων ἡψημένον ἁπλῶς.

15 tionner par d'autres. Après les soins du corps, on ira déjeuner, mais il est
assez clair, que, pour être convenable, le déjeuner, aussi bien que tous
les autres détails du régime, ne devront être, en été, ni échauffants ni
desséchants et, en hiver, ni refroidissants, ni humectants, tandis que, dans
16 le printemps et l'automne, ils pourront tenir le milieu. Pour ceux donc
qui veulent conserver un embonpoint modéré, il est suffisant, aussi bien
pour la santé que pour être en état d'attendre convenablement le reste
du jour, de prendre pour déjeuner, en été, une quantité modérée de bon
alphiton blanc, auquel on ajoutera pour boisson du vin blanc odoriférant,
bien mélangé avec une quantité modérée de miel et avec de l'eau, ou
quelque bouillie incapable de produire de la flatulence, facile à digérer
et bien nourrissante, qu'on mangera seule, ou avec un peu de miel,
17 pourvu qu'on ne la prenne pas à chaud. Pour celui qui n'aime aucun mets
de ce genre-là, il convient de déjeuner avec du pain froid, dont il man-
gera exactement autant qu'il pourra digérer avant l'exercice de l'après-
18 midi. On prendra pour mets accessoire quelque herbe potagère bouillie,
comme de la courge, du concombre, ou quelque autre légume simplement
cuit, de ceux qui ne sont pas en désaccord avec la saison actuellement ré-

3. μέν ex em.; δέ F. — 8-9. κεκραμμένοις καλῶς πινόμενον F. — 9. ἑψήματι τῶν ἀφύσων ἢ εὐπέπτων F. — 14. ἀναρμόστως F.

Πίνειν δὲ λευκὸν οἶνον ὑδαρέστερον ἄχρι τοῦ μὴ διψῆσαι. Πρὸ δὲ 19-20
τοῦ λαμβάνειν τὸ σιτίον προπίνειν ὕδωρ μὲν, ἂν διψᾷ τις, πλεῖον·
εἰ δὲ μὴ, ἔλαττον. Μετὰ δὲ τὸ ἄριστον μὴ πολὺν διατρίψαντα χρό- 21
νον καταδαρθεῖν ἐν σκοτεινῷ, ἢ ψυχεινῷ τόπῳ, καὶ χωρὶς πνεύμα-
τος· ἐγερθέντος δὲ, οἰκονομεῖν τι τῶν ἰδίων καὶ περιπατεῖν, περι-
πατήσαντα δὲ καὶ μικρὰ προδιαναπαύσαντα πρὸς τὸ γυμνάσιον
ἀποχωρεῖν. Καὶ τοῖς μὲν ἰσχυροτέροις καὶ νεωτέροις γυμνασαμένους 22
καὶ κονισαμένους τῷ ψυχρῷ λούεσθαι καλῶς ἔχει· τοὺς δὲ πρεσβυ-
τέρους καὶ ἀσθενεστέρους ἀλειψαμένους καὶ μικρὰ τριψαμένους
λούεσθαι θερμῷ, τὴν κεφαλὴν μὴ βρέχοντας. Ὁμοίως δὲ πᾶσι τοῖς 23
ὑγιαίνουσι θερμῷ λούσασθαι τὴν κεφαλὴν ὀλιγάκις, ἢ οὐδέποτε
ἁρμόττει· τοῖς δὲ πρεσβυτέροις οὐδὲ βρέχειν πολλάκις βέλτιόν
ἐστιν, ἀλλὰ διά τινων χρόνων χρίεσθαι τῷ ἐλαίῳ, μίσγοντας τοῦ μὲν
θέρους ὕδωρ, τοῦ δὲ χειμῶνος οἶνον. Ὡς μέγιστον δὲ καὶ βέλτιστον 24
καὶ ἀλειψαμένους ἐκμάττεσθαι καθαρῶς, ἢ ἀποσμᾶσθαι καὶ ψυχρῷ

gnante. On boira du vin blanc aqueux jusqu'à ce qu'on n'ait plus de soif. 19
Avant de prendre des aliments, on boira de l'eau en assez grande quantité, 20
si on a soif, sinon, en quantité moindre. Après le déjeuner, on n'attendra 21
pas longtemps pour s'endormir dans un endroit ombragé, ou frais et à
l'abri du vent; après s'être éveillé, on règlera quelqu'une de ses affaires
privées et on fera une promenade; après cette promenade, on prendra
entre deux un petit intervalle de repos et on ira au gymnase. Il est bon 22
que les gens robustes et jeunes prennent un bain froid après s'être exer-
cés et couverts de poussière; les gens âgés et faibles, au contraire, doi-
vent se faire des onctions et de légères frictions et prendre ensuite un
bain chaud, sans s'humecter la tête. Mais c'est une règle qui convient éga- 23
lement à tous les gens bien portants, qu'on doit rarement ou jamais se
laver la tête avec de l'eau chaude; pour les gens âgés, il vaut même mieux
ne pas l'humecter trop souvent, mais faire de temps en temps des onc-
tions sur cette partie avec de l'huile, à laquelle on mêlera en été de l'eau,
et en hiver du vin. Après les onctions, c'est un point très-important et 24
très-utile de s'essuyer proprement, ou de se déterger et de se laver avec
de l'eau modérément froide; puis, après s'être humecté, on s'oindra de

25 μετρίως ἐκκλύζεσθαι, καὶ μετὰ τὸ ὑγρᾶναι ἀλείφεσθαι. Πρὸς δὲ τὰ
σιτία δεῖ βαδίζειν κενοὺς καὶ μηδὲν ἄπεπτον ἔχοντας τῶν βρωθέντων
πρότερον· γινώσκοι δὲ ἄν τις τοῦτο μάλιστα τῇ τῶν ἐρευγμῶν
ἀνοσμίᾳ καὶ ἐκλείψει καὶ τῇ λαπαρότητι καὶ τῇ εὐκρινείᾳ τοῦ ὑπο-
χονδρίου καὶ τῆς κοιλίας· ἔτι δὲ τῷ πρὸς τὴν τοῦ φαγεῖν βούλη-
26 σιν ὁρμητικῶς ἔχειν. Δειπνεῖν δὲ καλῶς ἔχει τοῦ θέρους μικρὸν
27 πρὸ ἡλίου δυσμῶν καὶ ἄρτον καὶ λάχανα καὶ μᾶζαν. Λάχανα δὲ
ὠμὰ μὲν προεσθίειν πλὴν σικύου καὶ ῥαφάνου· ταῦτα δὲ τελευ-
28 ταῖα· τὰ δὲ ἑφθὰ λαμβάνειν ὑπὸ πρῶτον τὸ δεῖπνον. Ἰχθῦς δὲ
ἐσθίειν τῶν μὲν πετραίων τοὺς σαρκώδεις καὶ ψαθυρούς, τῶν δὲ
σελάχων καὶ τῶν ἄλλων τοὺς εὐχυλοτάτους, καὶ πλεῖον τοὺς ἑφθούς·
κρέα δὲ ἐρίφεια καὶ ἄρνεια τῶν νέων πάνυ, ὕεια δὲ τῶν ἀκμαζόντων,
ὀρνίθεια δὲ τὰ τῶν ἀλεκτορίδων, ἢ περδίκων, ἢ περιστερῶν, ἢ φαττῶν
29 νεοττῶν, ἑφθὰ πάντα λιτῶς. Λαμβάνειν δὲ καὶ τῶν ἄλλων ἐδεσμά-

25 nouveau. On doit prendre le repas quand le corps est vide et ne contient
aucun résidu mal digéré des aliments qu'on a mangés auparavant, et on
reconnaîtra surtout qu'il en est ainsi à ce que les éructations n'ont point
d'odeur, ou à ce qu'elles manquent complétement, à la mollesse et à la
netteté des contours de l'hypocondre et du ventre; et, de plus, à cette
26 circonstance qu'on a envie de manger. Il est bon de dîner, en été, un
peu avant le coucher du soleil, avec du pain, des herbes potagères et
27 de la maza. On commencera le dîner avec des herbes potagères crues à
l'exception du concombre et du raifort, car ces légumes doivent être man-
gés vers la fin, mais on prendra les herbes cuites vers le commencement
28 du dîner. En fait de poissons, on mangera, dans la classe des poissons de
roche, les espèces charnues et sans cohésion, et, parmi les sélaciens et
les autres classes, les espèces qui donnent la meilleure sauce, et surtout
les poissons cuits; pour la viande de chevreau et d'agneau, on préférera
celle des animaux tout à fait jeunes, et, pour le porc, celle des individus
arrivés au milieu de la vie; en fait d'oiseaux, on mangera de la chair de
poule, de perdrix, de pigeon ou de jeune ramier, mais toutes doivent
29 être simplement cuites. Rien ne saurait empêcher de manger aussi, parmi
les autres aliments, ceux qu'on a inventés pour flatter le goût, pourvu

5. ἔστι F. — 10. πετρ. τῶν σαρκ. F.

των οὐθὲν ἂν κωλύοι τὰ πρὸς ἡδονὴν, ὅσα μὴ τοῖς προειρημένοις
ἐναντίας ἔλαχε δυνάμεις. Ὅτι δὲ ἁρμόττει πᾶσαν ὥραν τοῖς μὲν 30
ὑγρὰς ἔχουσι τὰς κοιλίας τὰ σταλτικὰ λαμβάνειν τῶν παρόντων,
τοῖς δὲ ξηρὰς τὰ ὑπακτικὰ, τοῖς δὲ δυσουροῦσι τὰ οὐρητικὰ, τοῖς δὲ
ἰσχνοῖς τὰ τρόφιμα πᾶς τις ἂν διδοίη. Προπίνειν δὲ πρὸ τοῦ δείπνου 31
καὶ πίνειν μέχρι τινὸς ὕδωρ· ἔπειτα τοὺς μὲν ἰσχνοὺς μέλανα λεπτὸν
οἶνον, μετὰ δὲ τὸ δεῖπνον λευκὸν, τοὺς δὲ εὐσάρκους διὰ τέλους
λευκὸν, ὑδαρέστερον δὲ πάντας· πλῆθος δὲ ὅσον ἑκάστῳ γίνεται
πρὸς ἡδονήν. Ἀκρόδρυα δὲ δύσχρηστα μέν ἐστι πάντα, ἥκιστα δὲ 32
ἐνοχλεῖ τοῦ λόγου μέτρια λαμβανόμενα πρὸ τῶν σιτίων. Τῆς δὲ 33
ὀπώρας τὰ μὲν σῦκα περιελόντας τὸ δέρμα καὶ τὸν ὀπὸν περιπλύναντας καὶ βρέξαντας ἐν ὕδατι ψυχρῷ βέλτιόν ἐστι λαμβάνειν, καὶ μὴ ἔχοντας αὐτοῦ καὶ τοὺς μὴ δυναμένους ἐσθίειν μετὰ δεῖπνον, τοὺς δὲ λοιποὺς πρὸ τοῦ δείπνου· σταφυλὴν δὲ λευκὴν πάντας ἐν τῷ δεί-

qu'ils ne possèdent pas des propriétés opposées à celles des mets que
nous venons d'énumérer. Tout le monde nous accordera que, quelle 30
que soit la saison, les gens qui ont le ventre humide devront choisir parmi les aliments qui sont à leur disposition ceux qui resserrent le ventre; les gens dont le ventre est sec choisiront les mets relâchants, ceux qui éprouvent de la difficulté à uriner, les mets qui poussent aux
urines, et les gens maigres les mets nourrissants. Avant le dîner on 31
boira de l'eau, et on continuera à en prendre encore quelque temps après; ensuite les gens maigres boiront du vin noir et ténu, et après le repas du vin blanc; les gens bien charnus prendront pendant tout le temps du vin blanc; mais tous boiront du vin assez aqueux, et chacun
déterminera la quantité du vin d'après ce qui lui est agréable. Les fruits 32
des arbres sont tous peu utiles; mais, quand on les prend en quantité modérée avant le repas, ils font proportionnellement le moins de tort.
En fait de fruits d'arrière-saison, la meilleure manière de manger des 33
figues consiste à leur ôter la peau, à enlever le suc en lavant, et à les tremper dans l'eau froide; mais ceux qui n'ont pas d'eau froide, ou qui ne peuvent pas manger (*qui n'ont pas d'appétit*), les prendront après le repas, tandis que les autres les prendront avant; tout le monde, au contraire,

3. κοιλίας στατικά F.

πνῷ· τραγήματα δὲ ἐρεβίνθους λευκοὺς βεβρεγμένους, ἢ ἀμύγδαλα
34 καθαρὰ βεβρεγμένα. Μετὰ δὲ τὸ δεῖπνον, τοὺς μὲν ἰσχνοὺς καὶ φυ-
σώδεις καὶ μὴ ῥᾳδίως τὰ σιτία πέττοντας ἁπλᾶ τε λαμβάνειν καὶ
καθεύδειν εὐθὺς, τοὺς δὲ λοιποὺς ὀλίγον καὶ βραδέως περιπατήσαν-
35 τας ἀναπαύεσθαι. Κεκλίσθαι δὲ παντὶ βέλτιόν ἐστι, ὄντος μὲν ἔτι
περὶ τὴν γαστέρα τοῦ πληρώματος, ἐπὶ τὴν ἀριστερὰν πλευρὰν,
λαπαρᾶς δὲ γενομένης μεταβάλλειν καὶ ἐπὶ τὴν δεξιάν· κατακεκλί-
36 σθαι δὲ μήτε τεταμένον λίαν, μήτε συγκεκαμμένον ἰσχυρῶς. Ὕπτιον
δὲ καθεύδειν οὐδενὶ βέλτιόν ἐστιν· δύσπνοια γὰρ καὶ πνιγμοὶ καὶ
ἐπιληπτικὰ καὶ ἐξονειριασμοὶ μάλιστα συμβαίνουσι τοῖς οὕτω καθεύ-
37 δουσιν. Ἐγρηγορεῖν δὲ κατακειμένοις ὑπτίοις τὸ μὲν γίνεται κατὰ
τρόπον, τὸ δὲ οὔ· τὰ μὲν γὰρ σκέλη καὶ αἱ χεῖρες κατὰ εὐθυωρίαν
κείμενα τοῦ σώματος πρὸς τὸ συγκάμπτειν καὶ ἐκτείνειν καὶ συνά-
γειν καὶ διοίγειν εὖ ἔχει, καὶ πρὸς τὸ τὰ δεξιὰ τοῖς ἀριστεροῖς

mangera les raisins blancs pendant le repas; en fait de mets de dessert,
on prendra des pois chiches blancs trempés, ou des amandes pures
34 trempées. Après le dîner, les gens maigres, flatulents et qui ne digèrent
pas facilement les aliments, doivent prendre des mets simples et aller
dormir tout de suite, tandis que les autres se reposeront après avoir fait
35 une promenade courte et lente. Pour tout le monde, il vaut mieux se
coucher sur le côté gauche, aussi longtemps que la charge des aliments
reste encore aux environs de l'estomac; mais, quand le ventre est devenu
mou, il faudra se mettre aussi sur le côté droit; on se couchera de telle
36 façon, qu'on ne soit ni trop étendu, ni fortement fléchi. Il n'est bon pour
personne de dormir couché sur le dos, car ceux qui dorment ainsi sont
principalement pris de difficulté de la respiration, d'étouffements, d'épi-
37 lepsie et de pollutions involontaires. Rester éveillé en se tenant couché sur
le dos procure bien quelques avantages d'un côté, mais, d'un autre, cette
façon d'agir n'est pas bonne; en effet, les jambes et les bras, étant situés dans
la même direction que le corps, sont bien disposés pour être facilement
fléchis, étendus, ou portés dans l'adduction ou l'abduction; de plus, cette
situation favorise l'égalité de position des membres du côté droit et de ceux

4-5. περιπατήσοντας F. — 8. συγκεκαυμένον F.

ὁμοίως κεῖσθαι, καὶ μὴ τὰ ἕτερα θλίβεσθαι ὑπὸ τῶν ἑτέρων· ἡ δὲ
ῥάχις πονεῖ διὰ τέλους ἐκτεταμένη παρὰ τὸ μὴ δυνατὸν εἶναι συγ-
κάμπτειν αὐτὴν κατακειμένοις οὕτως. Τὸ δὲ ὑποχόνδριον καὶ τοὺς 38
πόδας ἀλεαίνειν οὐχ ἥκιστα ἁρμόττει παρά τε τὰ σιτία καὶ καθευ-
δόντων. Ἐγείρεσθαι μὲν καὶ ἀνίστασθαι τοὺς μὲν φυσώδεις ὀψὲ, τοὺς 39
δὲ ἄλλους ἅμα τῇ ἡμέρᾳ. Τοῖς μὲν οὖν πλείστοις τῶν ὑγιαινόντων 40
τοιαύτη τις διαγωγὴ μάλιστα ἂν ἁρμόσειεν· τοῦ δὲ χειμῶνος, ὅτι
πλείω τοῦ θέρους τοὺς περιπάτους καὶ τὰ λοιπὰ γυμνάσια συντο-
νώτερα δεῖ ποιεῖσθαι, κατὰ μικρὸν προσάγοντας, τὸ ἐπὶ πλεῖον
εὐλαβουμένους, εἴρηται πρότερον. Ἀλείμμασι δὲ μᾶλλον χρῆσθαι 41
ἢ λουτροῖς· λουτροῖς δὲ ἐνίοτε ψυχροῖς, καὶ μᾶλλον ἐν ταῖς θερ-
μημερίαις, θερμῷ δὲ τοὺς κοπιῶντας καὶ τοὺς ἀφιδρώσεως δεομέ-
νους. Καὶ τοὺς μὲν εὐσάρκους καὶ ὑγροὺς ἁρμόττει τε μονοσιτεῖν 42
ἀρξαμένους ἀπὸ Πλειάδος δύσεως [ἕως] ἐπιτολῆς· τοὺς δὲ λοιποὺς
ἀριστᾶν ἁρμόττει μικρὸν ὄψον ἔδοντας, ἢ μέλι μέτριον, ἢ οἶνον γλυ-

du côté gauche, et empêche les uns d'être comprimés par les autres; mais,
comme l'épine du dos reste continuellement étendue, elle se fatigue,
attendu qu'il est impossible aux gens ainsi couchés de la fléchir. Il est 38
éminemment convenable de tenir l'hypocondre et les pieds chauds,
aussi bien pendant le repas que pendant le sommeil. Les gens flatulents 39
doivent s'éveiller et se lever tard; mais les autres doivent le faire à la
pointe du jour. Une telle manière de vivre conviendra très-bien à la plupart 40
des gens bien portants; cependant, nous avons déjà dit plus haut qu'en
hiver il faut faire des promenades plus longues et des exercices plus in-
tenses qu'en été, en augmentant peu à peu et en évitant les transitions
brusques. Il faut faire un usage plus fréquent d'onctions que de bains, et 41
recourir quelquefois aux bains froids, surtout pendant les jours chauds,
en réservant les bains chauds pour les gens fatigués et pour ceux qui ont
besoin de transpirer. Pour les sujets humides et qui ont de l'embonpoint, 42
il convient de prendre seulement un repas par jour, en commençant au
coucher des Pléiades et en continuant jusqu'au lever de cette constellation;
mais les autres auront raison de faire aussi un déjeuner, dans lequel ils
ne prendront [avec le pain ou la maza] qu'un peu de mets accessoires,

14. ἕως ex em.; om. F. — 15. ἔδοντας conj.; ἔχοντας F.

κύν, πίνειν δὲ μηδὲν, ἢ μικρὸν μετὰ τὸ ἄρισΊον οἰνάριον λεπΊὸν
ἀτρέμα μαλακὸν, κεκιρναμένον μετρίως, ἔπειτα καταδαρθεῖν ἀλεαί-
νοντας, μὴ πολὺν δὲ χρόνον· ἐγερθέντα δὲ, καθάπερ τοῦ θέρους,
τὰ οἰκεῖα πράτΊειν, τὸ δὲ λουτρὸν τὸ θερμὸν ἐᾷν, γυμνασαμένους
δὲ δειπνεῖν συσκοτάζοντος, ἀλεαίνοντας μετὰ πυρὸς, τοὺς μὲν μι-
κροὺς καὶ εὖ πρὸς μᾶζαν ἔχοντας ἀμφότερα, πλείω δὲ τὸν ἄρτον,
43 τοὺς δὲ λοιποὺς ἀφαιρεῖν τὴν μᾶζαν. Λάχανα δὲ τὸ μὲν ὅλον τοῦ χει-
44 μῶνος [μᾶλλον] ἢ τοῦ θέρους ἐσθίειν ἁρμότΊει. ΜάλισΊα δὲ εὐθετεῖ
τῶν ὠμῶν πήγανον, εὔζωμον, ῥάφανος τελευταία λαμβανομένη· τῶν δὲ
45 ἑφθῶν κράμβη, λάπαθον, γογγύλη, καὶ μᾶλλον ἕωλος. Τὰ δὲ ἄγρια, καὶ
τὰ ὠμὰ τῶν ὠμῶν, καὶ τὰ ἑφθὰ τῶν ἑφθῶν, οὐ χείρω τὰ χειμερινὰ τῶν
46 θερινῶν ἐσΊιν. ἉρμότΊει δὲ καὶ τὰ σκόροδα καὶ τὰ κρόμμυα καὶ ὁ τά-

ou une quantité modérée de miel ou de vin d'un goût sucré [pour hu-
mecter ces aliments]; mais ils ne boiront rien du tout, ou bien ils auront
recours, peu de temps après ce déjeuner, à un petit vin ténu, d'une douce
mollesse et mélangé avec une quantité modérée d'eau; ensuite, on ira
dormir, en se tenant chaudement; mais ce sommeil ne devra pas être
long; après le réveil, on s'occupera de ses affaires privées, comme en
été, mais on laissera de côté le bain chaud; enfin, après avoir pris de
l'exercice, on dînera, quand il commence à faire nuit, en se chauffant
avec du feu; mais les gens de petite taille, et qui supportent bien la maza,
mangeront de l'un et de l'autre; toutefois, la quantité du pain devra dépas-
43 ser celle de la maza; les autres supprimeront la maza. En général, il con-
vient de manger, en hiver, une plus grande quantité d'herbes potagère
44 qu'en été. Les meilleures herbes pour être mangées crues sont: la rue, la
roquette et le raifort, pourvu qu'on mange ce dernier à la fin du repas;
en fait d'herbes cuites, on donnera la préférence au chou, à la patience
45 et au navet, surtout quand ce dernier est vieux. Quant aux herbes pota-
gères sauvages, celles d'hiver ne sont pas inférieures à celles d'été, et cette
observation s'applique aussi bien aux herbes crues qu'aux herbes cuites.
46 L'ail, l'oignon, le poisson salé, les purées, sont aussi des aliments conve-
nables pour l'hiver; mais ce sont surtout les lentilles qui conviennent pen-

2-3. ἀλευαίνοντα F; it. l. 5. — 4. τὰ οἰκεῖα conj.; ταχύ F. — 8. [μᾶλλον] ex em.; om. F. — 9. ὠμῶν οἷον πήγανον F.

ριχος καὶ τὰ ἔτνη, καὶ ἡ φακῆ μάλιστα, ταύτην τὴν ὥραν, καὶ τῶν
ἄλλων ὄψων μάλιστα τὰ ὀπτὰ τῶν ἑφθῶν, καὶ ὅλως τὰ ξηρότερα τῶν
ὑγροτέρων· χειμερινὸν δὲ [καὶ] τὸ κάρδαμον καὶ τὸ σίνηπι μᾶλλόν
ἐστιν. Πίνειν δὲ ἐν μὲν τῷ δείπνῳ οἶνον μέλανα, λεπτὸν, ἡσυχῇ 47
μαλακὸν, μὴ νέον, κιρνάμενον μικρὸν ἀκρατέστερον. Ἁρμόττει δὲ 48
ταύτην τὴν ὥραν ἀμύγδαλα πεφρυγμένα, μύρτα, βάλανοι ὀπτοὶ,
κάρυα πλατέα καὶ ἑφθὰ καὶ ὀπτά. Ὃν μὲν οὖν τρόπον δεῖ ζῆν τοῦ 49
θέρους καὶ τοῦ χειμῶνος, ἐπὶ πλεῖον εἴρηται· τοῦ δὲ ἔαρος καὶ
τοῦ φθινοπώρου δῆλον, ὡς μέση δίαιτα τῶν εἰρημένων μάλιστα ἁρ-
μόττει. Φυλάττεσθαι δὲ ἀεὶ δεῖ τά τε ἀήθη καὶ τὰ ἰσχυρὰ καὶ δυσπε- 50
πτα τῶν βρωμάτων καὶ τὰ πολλὰ λίαν· παρὰ γὰρ τὸ πλῆθος οὐχ
ἧττον ἢ παρὰ τὰς μοχθηρίας ἐνίοτε τῶν ἐσθιομένων ἐνοχληθείη
μᾶλλον ἄν τις. Μὴ προχείρως δὲ πίνειν ἄηθες ὕδωρ· μοχθηρὸν γὰρ 51
καὶ ἐπισφαλές ἐστιν· ἀλλὰ μετὰ μέλιτος, ἢ οἴνου, ἢ ὄξους, ἢ ἀλ-
φίτων καὶ ἁλῶν. Ψυχρὸν δὲ ἰσχυρῶς ὕδωρ καὶ πάμπολυ πόμα 52

dant cette saison; quant aux autres mets secondaires, on préférera les mets
rôtis aux mets bouillis, et, en général, les aliments secs aux aliments hu-
mides; le cresson d'Alep est aussi un mets d'hiver, mais surtout la mou-
tarde. On boira, au dîner, du vin noir et ténu, d'une douce mollesse, qui 47
ne soit pas nouveau, et dans lequel on mettra un peu moins d'eau que
de coutume. Dans cette saison, les amandes grillées, les baies de myrte, 48
les glands (*châtaignes?*) grillés, et les noix larges, soit bouillies, soit
grillées, sont des aliments convenables. Nous venons d'exposer en dé- 49
tail de quelle manière on doit vivre en été et en hiver; mais il est clair
qu'au printemps et en automne le régime qui convient le mieux est ce-
lui qui tient le milieu entre ceux que nous venons de décrire. On évi- 50
tera toujours les aliments très-forts, ou auxquels on n'est pas accoutumé,
ou qui se digèrent mal, ainsi que les excès de quantité : quelquefois, en
effet, on ne sera pas moins incommodé par la quantité exagérée des ali-
ments que par leurs mauvaises qualités. On ne boira pas, sans précau- 51
tion, de l'eau à laquelle on n'est pas accoutumé, car cela est nuisible et
dangereux; mais on y mettra du miel, du vin, du vinaigre, ou de l'al-
phiton et du sel. Il est dangereux de boire de l'eau excessivement froide, 52

3. [καὶ] ex em.; om. F. — 11. λεῖα F.

ἀθροῦν πίνειν, κινδυνῶδές ἐστι, καὶ μάλιστα τοῖς πεπονηκόσι καὶ
ἡλιουμένοις ἔτι θερμοῖς οὖσιν· μέγιστον δὲ πρὸς ὑγιειάν ἐστι τὸ
53 μηδὲν κρεῖττον γίνεσθαι τῆς τοῦ σώματος φύσεως. Ἅμα δὲ ταῖς ὥραις
μεταβαλλούσαις καὶ τὴν ἄλλην διαγωγὴν μεταβάλλειν, κατὰ μικρὸν
εἰς τοὐναντίον ἀπονεύοντα, καὶ μὴ μεγάλην ἐξαπίνης ποιοῦντα με-
54 ταβολήν. Ἀφροδισίοις δὲ χρῆσθαι πολλοῖς μὲν καὶ συνεχὲς οὐ δεῖ·
μάλιστα δὲ ἁρμόττει τοῖς ψυχροῖς καὶ ὑγροῖς καὶ μελαγχολικοῖς καὶ
φυσώδεσιν· ἥκιστα δὲ κατὰ φύσιν μέν ἐστι τοῖς ἰσχνοῖς καὶ ἀπλεύ-
ροις καὶ ἄσαρκα τὰ περὶ τὰ ἰσχία καὶ τὴν ὀσφὺν ἔχουσιν· κατὰ δὲ
τὰς ἡλικίας τοῖς ἐκ παίδων εἰς τὴν τῶν μειρακίων ἡλικίαν μετα-
55 βαίνουσι καὶ τοῖς πρεσβύταις. Κακοῦται δὲ μάλιστα τοῦ σώματος
τοῖς πλεονάζουσιν ἀκαίρως τὰ περὶ τὴν κύστιν καὶ νεφροὺς καὶ
πνεύμονα καὶ ὀφθαλμοὺς καὶ τὰ περὶ τὸν νωτιαῖον μυελόν· ἥκιστα
δὲ ἐνοχλεῖ καὶ πλεῖστον χρόνον ἡ δύναμις πρὸς ταῦτα διαμένει

ou de boire d'un seul coup une très-grande quantité, surtout pour les
gens qui ont travaillé, ou qui s'exposent au soleil, quand ils sont encore
chauds; car, c'est un point très-important pour la santé que la puissance
53 de notre corps ne soit pas dépassée par une autre puissance. Parallèlement
au changement des saisons, on doit changer aussi les autres circonstances
de sa manière de vivre, en inclinant peu à peu vers le contraire de ce
qu'on faisait auparavant, et en ne faisant pas subitement de grands chan-
54 gements. On ne doit pas faire un usage fréquent et continuel du coït;
cependant cet acte convient surtout aux gens froids, humides, atrabi-
laires et flatulents, tandis qu'il est moins conforme à la nature des in-
dividus maigres, qui ont les côtes aplaties et les hanches et les lombes
décharnées; sous le rapport de l'âge, ceux qui s'y prêtent le moins sont
les sujets qui se trouvent dans l'époque de transition entre l'enfance
55 et la jeunesse, ainsi que les gens âgés. Parmi les diverses parties du
corps, la vessie, les reins, le poumon, les yeux et la moelle épinière
éprouvent surtout des lésions chez les gens qui commettent mal à
propos des excès vénériens; cependant, les rapports sexuels font le
moins de tort, et les forces y suffisent le plus longtemps, chez ceux qui,

3. μηδέ F.

τοῖς μὴ ἄλλως ἀφυέσι πρὸς τὴν τοιαύτην πρᾶξιν, ἐνεργοῦσί τε ἀεὶ μετρίως καὶ μὴ λίαν πλεονάζουσι, τροφῇ δὲ χρηστῇ καὶ δαψιλεῖ χρωμένοις.
Ἐμεῖν δὲ ἀπὸ σίτου τοῖς εὐτάκτως ζῶσι καὶ ἔτι τοῖς σώ- 56
μασι πονεῖν εἰθισμένοις οὐδέποτε βέλτιόν ἐστιν· ἱκανῶς γὰρ ἡ φύσις τοῖς τε τῶν σιτίων καὶ ποτῶν περιττώμασι καὶ τοῖς κατὰ φύσιν ἀπὸ τοῦ σώματος ἀποκρινομένοις ἐξαγωγὰς πεποίηκεν, ὥστε μηδὲν ἐμέτου δεῖσθαι.

κγ'. Δίαιτα ταῖς ὥραις ἁρμόττουσα. Ἐκ τῶν Ἀθηναίου.

Εὐκράτων μὲν γινομένων τῶν ὡρῶν καὶ τῶν κράσεων τῶν ἐν 1
τοῖς σώμασι μὴ μεγάλας λαμβανουσῶν μεταβολάς, αὐτάρκης ἥ τε φύσις καὶ ἡ προστασία τῶν ἰδιωτῶν περιγίνεσθαι τούτων, ὁρμὰς ἐχόντων οἰκείας πρὸς τὰ ἑκάστοτε αὐτοῖς συμφέροντα· δυσκρατοτέρων δὲ γενομένων τῶν ὡρῶν καὶ τῶν ἀέρων, τεχνικωτέρας αὐτοῖς χρεία διορθώσεως, διὰ ἧς τὰς ὑπερβολὰς τῶν κατὰ τοὺς ἀέρας ποιο-

du reste, ne sont pas trop mal disposés pour cet acte, qui agissent toujours avec modération et ne poussent pas trop loin les excès, et qui font usage d'aliments abondants et de bonne qualité. Il n'est jamais préfé- 56
rable de vomir après le repas, pour les gens qui mènent une vie réglée, et qui ont, de plus, l'habitude de se fatiguer le corps : car la nature a construit des voies excrétoires suffisantes pour les résidus des aliments et des boissons, ainsi que pour les matériaux qui, conformément à la nature, se séparent de notre corps, de manière à ce qu'on n'ait aucun besoin de vomir.

23. RÉGIME APPROPRIÉ AUX SAISONS. — TIRÉ D'ATHÉNÉE.

Si les saisons sont tempérées, et si le tempérament du corps ne subit 1
pas de grands changements, il suffit, pour venir à bout de ces circonstances, de la nature et de la surveillance des particuliers, qui, d'ailleurs, ont, par leur propre nature, de la tendance vers ce qui convient le mieux au corps dans chaque cas spécial; mais, quand les saisons et l'air sont moins bien tempérés, le redressement dont on a besoin, et à l'aide duquel on évitera l'exagération des qualités de l'air et des chan-

Ch. 23; l. 11. ἑκάστου τε F.

τήτων καὶ τῶν κατὰ τὰς κράσεις μεταβολῶν φυλάξονται, πρὶν ἐμ-
2 πεσεῖν εἰς νόσον. Ἐν μὲν οὖν τῷ χειμῶνι λυποῦσιν αἱ σφοδραὶ ψύ-
ξεις τε καὶ ὑγρότητες, ἡνίκα εἰς τοὺς σκεπηνοὺς καὶ ἀλεεινοὺς τόπους
ἀναχωρητέον καὶ τῆς πόλεως καὶ τῆς οἰκήσεως· τοὺς δὲ ψυχροὺς
καὶ αἰθρίους φευκτέον, ἱματίοις τε καὶ κοινῶς σκεπάσμασι τοῦ σώ-
ματος ὅλου θερμοτέροις χρηστέον, καὶ τὴν ἀναπνοὴν ἐντὸς τῶν
ἱματίων τηρητέον, τῶν δὲ προσφερομένων ἐκλέγοντας τὰ θερμαί-
νειν μὲν αὐτῶν δυνάμενα τὰ σώματα, διαλύειν δὲ τὰ συνηγμένα
3 τῶν ὑγρῶν καὶ πεπαχυμμένα διὰ τὴν ψύξιν. Ἔστω δὲ τὸ μὲν πινό-
μενον ὑδρόμελι, ἢ οἰνόμελι, [ἢ] οἶνος λευκὸς εὐώδης παλαιὸς, τὸ
πᾶν ὑγρὸν ἐπισπώμενον, καταδεέστερον δέ· [ἡ δὲ] ξηρὰ τροφὴ εὐ-
κατέργαστος, εὖ ἐζυμωμένη, εὔοπτος, καθαρὰ, μίγμα ἔχων μαράθρου
4 καὶ ἄμμεως. Λαχάνων δὲ κράμβη, ἀσπάραγος, πράσα, κρόμμυον
ἁπαλὸν ἑφθὸν, ῥαφανῖδες ἑφθαί· ἰχθύων δὲ τῶν πετραίων οἱ εὐ-

2 gements de tempérament, avant de tomber malade, exige plus d'art. En hiver, c'est surtout l'excès de froid et d'humidité qui fait du tort; dans cette saison, on se rendra donc dans les endroits couverts et chauds, remarque qui s'applique aussi bien à la ville qu'à la maison qu'on y habite; on évitera, au contraire, les localités froides et exposées au grand air; on emploiera des vêtements plus chauds, et, en général, des couvertures pour tout le corps plus chaudes que dans les autres saisons; on respirera en mettant quelque partie du vêtement devant la bouche; quant aux substances qu'on introduit dans le corps, on choisira celles qui peuvent réchauffer les parties et dissoudre les liquides figés et épaissis
3 par le froid. Les boissons consisteront en hydromel, en vin miellé, en vin blanc, vieux et odoriférant, et, [en général], en substances capables d'attirer toute l'humidité; mais on diminuera la quantité des boissons; l'aliment sec sera facile à élaborer, bien fermenté, bien cuit, pur, et sera
4 mélangé de fenouil et d'ammi. On prendra, en fait d'herbes potagères, du chou, des asperges, des poireaux, de l'ognon tendre bouilli et du raifort bouilli; en fait de poissons, des poissons de roche, qui se distribuent facilement dans le corps; en fait de viande, des volailles, et, parmi

9. Ἔστω conj.; ἔστι F. — 10. οἰνόμελι οἶνος F. — 11. κατὰ δὲ ἔστερον δὲ ξηρά F. — 12. ἐζυμωμένος F. — Ib. καθαρός F.

διοίκητοι· κρεῶν τὰ πτηνά, καὶ τῶν ἄλλων ἐρίφεια καὶ χοίρεια,
καὶ τῶν ἐμβαμμάτων [τὰ] διὰ πεπέρεως καὶ νάπυος καὶ εὐζώμου καὶ
γάρου καὶ ὄξους σκευαζόμενα. Γυμνασίοις δὲ σφοδροτέροις προσε- 5
λευστέον, καὶ κατοχῇ πνεύματος καὶ τρίψει βιαιοτέρᾳ, καὶ μᾶλλον
τῇ ἑαυτοῦ πρὸς πυρί. Χρήσιμον δὲ καὶ λουτρῷ θερμῷ καὶ ἐμβάσει 6
χρῆσθαι, οἷς σύνηθες, καὶ μάλιστα τοῖς γέρουσι καὶ τὴν κρᾶσιν
ἔχουσι γεροντικήν. Τὰς δὲ ἐκ τῆς κοίτης ἐξεγέρσεις ποιητέον ἀλεει- 7
νοτέρου γεγονότος τοῦ ἀέρος· ἐν δὲ ταῖς ἐπομβρίαις καὶ ἐν ταῖς
ὑγρότησι τῶν ἀέρων οὐ παρέργως ἐπιβοηθητέον. Τόπους μὲν ἐπι- 8
λεκτέον τοὺς ξηροτέρους, καὶ τροφαῖς χρηστέον ξηραντικωτέραις,
ὑγραῖς μὲν οἰνομέλιτι, οἴνῳ παλαιῷ λεπτῷ, λευκῷ καὶ εὐώδει ἀθα-
λάσσῳ· τῷ παντὶ ὑγρῷ ὀλίγῳ μὲν τῷ πλήθει, μὴ ὑδαρῷ δὲ τῇ
κράσει· τροφαῖς δὲ ὀλίγαις μὲν, ξηραντικωτέραις δὲ, οἷον ἄρτῳ
ἐζυμωμένῳ ὀπτῷ ἐπιμελῶς, ἰχθύων θαλασσίων, καὶ τούτων τοῖς

les autres espèces, du chevreau et du jeune porc; en fait de sauces,
celles qu'on prépare avec du poivre, de la moutarde, de la roquette, du
garon et du vinaigre. On abordera les exercices assez violents, la réten- 5
tion du souffle, les frictions assez vigoureuses, et surtout celles qu'on se
fait soi-même près du feu. Il est bon aussi de recourir au bain chaud, 6
qu'on le prenne dans la piscine ou dans une petite baignoire, du moins
pour ceux qui y sont accoutumés, et surtout pour les vieillards, ainsi que
pour les gens qui, par leur tempérament, ressemblent aux vieillards. On se 7
lèvera de son lit quand l'air est déjà devenu un peu chaud, et, quand
l'air est pluvieux et humide, on ira à l'encontre de cet inconvénient
avec beaucoup de soin. On choisira des endroits de séjour plus secs, et 8
des aliments plus desséchants que de coutume : en fait d'aliments liquides, on prendra donc du vin miellé, ou du vin vieux, ténu, blanc et odoriférant, sans mélange d'eau de mer, et, en général, le liquide qu'on prend devra être peu abondant, et non d'un tempérament aqueux; quant aux aliments proprement dits, ils seront peu abondants et plus desséchants que de coutume : tels sont le pain bien fermenté et cuit avec soin, les poissons de mer, et plutôt ceux qu'on prend sur la côte que ceux qu'on

2. [τά] ex em.; om. F. — 9. παρέργων F. — 13. οἶνον F.

αἰγιαλείοις μᾶλλον τῶν ἐν λιμένι, ταρίχων καὶ κρεῶν τοῖς μὴ κα-
9 ταπιμέλοις, μᾶλλον δὲ μὴ πολυσάρκοις. Λαχάνοις δὲ ἥκιστα χρη-
10 στέον, καὶ τούτων τοῖς θερμαντικωτέροις. Γυμνασίοις δὲ χρηστέον
τοῖς θερμοτέροις καὶ ἱκνουμένοις τε καὶ ἱκανωτέροις, εὐλαβουμέ-
νους κόπον διὰ τὴν ὑγρότητα καὶ τὸ βάρος τοῦ σώματος καὶ τοῦ
κινοῦντος αὐτὸ πνεύματος, τρίψει ξηρᾷ τε καὶ σὺν ἐλαίῳ τῇ μὲν
11 διὰ ἑαυτοῦ, τῇ δὲ διὰ ἑτέρου. Πυρίαις ξηραῖς τὰς εἰρημένας ἐκ τῶν
ὄμβρων καὶ τὰς ἐν τῷ ἀέρι συμβαινούσας ὑγρότητας διορθοῦσθαι
12 ῥᾴδιον. Ἐν δὲ τῷ θέρει φυλακτέον τὰ καύματα· διακαίει γὰρ ἐπὶ
πλέον τὰ σώματα, καὶ φυλακτέον καὶ τῇ μὲν οἰκείᾳ θερμότητι
13 ψύχεσθαι, τῇ δὲ ἐκ τοῦ περιέχοντος θερμαίνεσθαι. Φυλακτέον οὖν
τὰ σφοδρότερα καύματα, καὶ τόποις ἐνδιατριπτέον καὶ τῆς πόλεως
καὶ τῆς ἰδίας οἰκήσεως εὐπνόοις καὶ καταψύχουσιν· τῶν δὲ σφο-

prend dans le port, des salaisons et des viandes qui ne soient pas grasses,
9 ou plutôt qui ne soient pas charnues. On fera très-peu d'usage d'herbes
potagères, et, parmi elles, on préférera celles qui échauffent assez for-
10 tement. On aura recours à des exercices assez échauffants, qui convien-
nent pour la circonstance, et dont la quantité doit être suffisante, en
évitant la fatigue, à cause de l'humidité et de la lourdeur du corps, et
du pneuma qui le met en mouvement; on emploiera aussi des frictions,
tantôt sèches, tantôt faites avec de l'huile, frictions qu'on pratiquera
11 tantôt soi-même, et tantôt avec l'intervention d'un autre. Il est facile
de redresser l'humidité causée par la pluie et les vicissitudes de l'at-
12 mosphère à l'aide des étuves sèches. Pendant l'été, il faut éviter l'ardeur
du soleil, car elle pénètre trop fortement notre corps de chaleur; il faut
éviter aussi d'éprouver, à la fois, un refroidissement, eu égard à la cha-
leur innée, et un échauffement par rapport à celle qui nous vient de l'at-
13 mosphère. On évitera donc les chaleurs trop fortes, et on séjournera
dans des endroits bien aérés et rafraîchissants, aussi bien par rapport
à la ville qu'on habite, que par rapport à sa propre maison; on préfé-
rera les séjours qui refroidissent et humectent modérément à ceux qui

1-2. τῶν μὴ καταπιμέλων F. — 2. πολυσάρκων F. — 4. ἱκνουμένοις] ἱκα-νομένοις F. — 4-5. εὐλαβουμένοις F. — 7-8. Πυρίαι ξηραὶ τοῖς εἰρημένοις ἐκ τῶν ὁμοίων F. — 13-p. 186, l. 1. σφοδροτέρων F.

δρότερον αἱρετέον μὲν τὰ συμμέτρως ψύχοντα καὶ ὑγραίνοντα· ἐλεγ-
κτέον δὲ τὰ περικαῆ καὶ ξηραντικά. Πόμα μὲν οὖν ἔστω ἀκολούθως 14
ταῖς ὁρμαῖς καὶ ταῖς τῆς φύσεως ὀρέξεσιν ὑδαρέστερον, καὶ μὴ θερ-
μὸν ἄγαν, γλυκέος μὲν ἐν προπόματι προτρόπου, ἢ Σκυβελίτου, ἢ
τινος τῶν ὁμοίων· οἴνου δὲ ἀθαλάσσου ἁπαλοῦ καὶ μὴ τελείως ἀπέ-
πτου, μηδὲ τελείως ἀποξυνομένου. Ὕδωρ δὲ ἔστω τὸ εὔποτον καὶ 15
κουφότατον καὶ ὑγρότατον· σιτίον δὲ ἧσσον, καὶ μὴ πολύτροφον·
λαχάνων δὲ τὰ μὴ δηκτικὰ, μηδὲ πυρώδη, ἰχθῦς δὲ πετραῖοι, καὶ
κρεῶν τὰ λεπτὰ καὶ εὐδιοίκητα. Γυμνασίοις δὲ χρηστέον ὀλίγοις, 16
καὶ ἐν σκιεροῖς τόποις, οἷον περιπάτῳ, καὶ τούτῳ μὴ ὀξεῖ, ἀλλὰ
πραεῖ καὶ ὁμαλῷ καὶ συμμέτρῳ ἐν τόπῳ ὁμαλῷ καὶ ἐπιπέδῳ. Δρό- 17
μους δὲ καὶ πάλας καὶ χειρονομίας ἐκκλιτέον, ἢ πρᾴως τε καὶ ἐπὶ
ὀλίγον αὐτοῖς χρηστέον, τρίψει τε συμμέτρῳ μετὰ ἐλαίου, καὶ πλείονι
τῇ διὰ ἑτέρων, περιχύμασιν, οἷς μὲν σύνηθες, ψυχροῖς· οἷς δὲ οὐ

le font trop fortement, et on réprouvera les endroits brûlants et des-
séchants. La boisson devra être assez aqueuse et pas trop chaude, con- 14
formément aux appétits et aux désirs de la nature; on prendra donc,
avant le dîner, du vin d'un goût sucré, comme celui qui coule de soi-
même du pressoir, le vin scybélitique, ou quelque autre espèce semblable,
et, pendant le dîner, du vin mou, ni complétement vert, ni complète-
ment aigri, et dans lequel on n'aura pas mis d'eau de mer. L'eau sera 15
bonne à boire, très-légère et très-humide, et les aliments peu abondants
et pas trop nourrissants; on préférera les herbes potagères qui ne sont
ni mordicantes, ni brûlantes, les poissons de roche et les viandes fines
et faciles à élaborer. On ne fera usage que d'exercices peu abondants, 16
qu'on exécutera dans des endroits ombragés, par exemple, une prome-
nade qui ne sera pas rapide, mais douce, égale et modérée, qui aura
lieu sur un terrain uni et plat. On évitera la course, la lutte, la gesti- 17
culation, ou bien on n'en fera qu'un usage mitigé et peu abondant; on
aura recours à des frictions modérées avec de l'huile; ces frictions se-
ront, pour la plus grande partie, faites par des aides; on emploiera des
affusions froides, si on y est habitué, et, si on ne l'est pas, les affusions

1-2. ἐλεγκτέον conj.; ἐκλεκτέον F.

σύνηθες, μὴ θερμοῖς ἄγαν· διαναπαύσει καὶ ἡσυχίᾳ καὶ ὕπνῳ κατὰ
18 τὴν μεσημβρίαν. Κοιμᾶσθαι δὲ ἐν οἰκίαις βαθυσκίοις καὶ προσχώ-
19 ροις καὶ τὴν ἀπὸ τοῦ ἐδάφους νοτίδα προσφερομέναις. Ἐκ δὲ τῶν
νυκτερινῶν ὕπνων διεγερτέον ἐν ὥρᾳ καταψύχοντος ἔτι τοῦ ἀέρος,
καὶ πρὸς τοὺς περιπάτους ὁρμητέον· διὸ καὶ τὴν τοῦ δείπνου τρο-
φὴν εὐσταλῆ προσενεκτέον, ὅπως μικρᾶς οὔσης τῆς νυκτὸς, ἅμα τῇ
ἡμέρᾳ εὐκρινὲς καὶ ἕτοιμον πρὸς τὰς ἐξόδους ὑπάρχῃ τὸ σῶμα.
20 Φυλακτέον δὲ καὶ τὰς ὑπερβολὰς τῶν αὐχμῶν τῶν ἐν τῷ θέρει
συγκυρούντων· λυμαίνονται γὰρ οὐ μικρῶς καὶ νόσους πολλάκις
21 ὀξείας τε καὶ ἐπικινδύνους παρασκευάζουσιν. Χρηστέον δὲ ἐν τῷ
καιρῷ τούτῳ πόματι μὲν οἴνου ἁπαλοῦ καὶ ὕδατος ὀμβρίου, ἢ πη-
γαίου ὑγροτάτου καὶ λεπτοτάτου καὶ γλυκυτάτου καὶ κράσει ὑδα-
22-23 ροῦς. Ἁρμόσειε δὲ ἂν τούτοις καὶ παντελὴς ὑδροποσία. Χρηστέον
δὲ καὶ γάλακτι καὶ χυλοῖς γλυκέσι μὴ πολυτρόφοις, ἑψήμασι δὲ
κούφοις, οἷον ἀμύλῳ, ἢ ἰτρίῳ, ἀναπαύσει ἐν τόποις ἰκμαλέοις κατα-
ψύχουσι, διατριβαῖς εὐπνόοις καὶ μὴ καῦμα ἔχουσιν, ὕπνῳ πλέονι

ne devront pas être extrêmement chaudes; vers midi, on se livrera au
18 calme, au repos et au sommeil. On dormira dans des bâtiments forte-
ment ombragés, voisins [du bain] et dont le pavé développe de la va-
19 peur. On s'éveillera de son sommeil nocturne et on ira se promener
à l'heure où l'air est encore rafraîchissant : pour cette raison, les ali-
ments qu'on prend au dîner devront être légers, afin que, la nuit étant
courte, le corps soit, à la pointe du jour, pur, et qu'on se trouve prêt à
20 sortir. On évitera les excès de sécheresse qui ont lieu en été, car ils font
un tort assez considérable et produisent souvent des maladies aiguës et
21 dangereuses. Dans ces circonstances, on prendra pour boisson du vin
mou et de l'eau de pluie, ou de source très-humide, très-ténue, très-
22 douce et douée d'un tempérament aqueux. Il conviendra aussi, dans ces
23 circonstances, de ne boire absolument rien que de l'eau. On se servira
aussi de lait, de potages doux et peu nourrissants et de bouillies légères,
comme l'amidon et l'itrion; on se reposera dans des endroits remplis de
vapeurs et rafraîchissants, et on séjournera dans des localités bien aérées
et à l'abri des chaleurs brûlantes; on dormira assez longtemps d'un som-

ἐμψύχοντι καὶ ὑγραίνοντι. Τὰς δὲ ἐν τῷ μετοπώρῳ πολλῷ μᾶλλον 24
δεῖ εὐλαβεῖσθαι· γίνονται γὰρ μετὰ ἀνωμαλίας. Δεῖ τοίνυν μήτε 25
ἀνυποδέτους περὶ τὸν ὄρθρον καὶ τὸ δείλης διάγειν, μήτε ἀσκέπτως
εἰς ψυχρὸν ὕδωρ ἐμβαίνειν, μήτε ἀχίτωνας θερίζοντας διὰ τὸ κεχα-
ρισμένον καὶ ἡδὺ τῆς ψύξεως· τοσούτῳ γὰρ τὸ κακὸν δυσφυλακτό-
τερον ὅσῳπερ καὶ τὴν ἡδονὴν ὑποδύεται τὸ βλάπτον. Ἐκκλιτέον δὲ 26
καὶ τὰς ὑπαίθρους κοίτας, καὶ τὰς ἀπὸ τῶν ποταμῶν καὶ λιμνῶν
ἀποπνεούσας αὔρας· οὐ γὰρ μόνον ψύχουσιν, ἀλλὰ καὶ ὑγραίνουσι
τὰς ἕξεις. Φυλακτέον δὲ καὶ τὰ πολύτροφα καὶ τὰ παχυντικὰ τῶν 27
προσφερομένων, οἷον οἶνον νέον καὶ παχὺν καὶ στυπτικόν, ἄρτον
σεμιδαλίτην ἄζυμον, φοίνικας, σταφίδας, ᾠά, κοχλίας, βολβούς,
ἰχθύων τοὺς πολυσάρκους, ταρίχων τοὺς τεμαχιστούς, κρεῶν τὰ ἄρ-
νεια καὶ προβάτεια. Οὐκ ἀμελητέον δὲ οὐδὲ τῶν γυμνασίων. 28

κδ'. Περὶ παιδικῶν ἐξανθημάτων.

Ὅσα δὲ τῷ παιδίῳ ἐξανθεῖ κατὰ τὸ δέρμα, γίνονται μὲν τὰ πολλὰ 1

meil rafraîchissant et humectant. On redoutera beaucoup plus [les excès 24
de sécheresse?] qui ont lieu dans l'automne, parce qu'ils sont accompa-
gnés d'inégalité. On ne laissera donc pas les pieds sans chaussure de 25
grand matin, ou dans l'après-midi; on n'entrera pas sans précaution dans
l'eau froide, et on ne se séchera pas sans tunique, [ce à quoi on serait
porté,] à cause du charme et de l'agrément de la fraîcheur : car on se
garantit d'autant plus difficilement du mal, que l'influence nuisible prend
davantage le masque du plaisir. On évitera aussi de se coucher en plein 26
air, et de respirer les brises qui soufflent des rivières et des lacs, car elles
ne refroidissent pas seulement, mais elles humectent aussi le corps. On 27
se gardera encore des boissons et des aliments fortement nourrissants
et incrassants, comme de vin nouveau, épais et astringent, de pain de
fleur de farine non fermenté, de dattes, de raisins secs, d'œufs, d'es-
cargots, d'oignons de vaccet, de poissons très-charnus, de salaisons
qu'on coupe par morceaux, de viandes d'agneau et de mouton. On ne 28
négligera pas non plus les exercices.

24. DES EFFLORESCENCES CHEZ LES ENFANTS.

Les efflorescences qui se forment sur la peau, chez les enfants, tien- 1

5-6. δυσφύλακτον F. — 6. τῆς ἡδονῆς F.

τῇ κακίᾳ τοῦ γάλακτος· γίνεται δὲ καὶ ἢν αὐτὸ μὴ ἐκπέψῃ· τὰ δέ
2 που καὶ ἀπὸ τῶν ὑστερῶν ἤνεγκε τὴν βλάβην. Χρὴ οὖν τὸ μὲν αὐ-
τίκα ἀσμένην δέχεσθαι ἔξω· λύσις γὰρ αὕτη μειζόνων κακῶν· εἰ δὲ
ἀποτρέποις εἴσω, κίνδυνος· ὅταν δὲ ἀπανθήσῃ καλῶς καί σοι δοκῇ
ἅπαν ἐκκεχωρηκέναι, τηνικαῦτα ἤδη θεραπεύειν τοῖς μὲν λουτροῖς
προσεμβαλοῦσαν μυῤῥίνης, ἢ σχίνου, ἢ ῥόδων, ἢ τῆς μηδείας βραχὺ
ἐπὶ αὐτὰ, εἶτα τῷ μύρῳ τῷ ῥοδίνῳ, ἢ τῷ σχινίνῳ χρωμένην, ἢ κη-
3 ρωτῇ μετὰ ψιμμιθίου. Τό τε δὴ ἔμπροσθεν τὰ λουτρὰ πλεῖστα ἔστω
4 καὶ θερμότερα, μηδέν τε εἰς αὐτὰ ἐμβεβλήσθω ὧν εἴρηκα. Καὶ ῥύ-
πτειν δήπου τοῖς νίτροις μαλακώτερον· οὐ γὰρ οἴσει τὰ ἰσχυρότερα.
5 Ταῦτα μὲν οὖν τῷ δέρματι τὰ ἰάματα· κάλλιστον δὲ τὴν τιτθὴν
διαιτᾶσθαι τῷ γλυκυτέρῳ τρόπῳ· κάλλιστον δὲ καὶ τὸ παιδίον αὐτὸ
διαιτῆσαι, μήτε ἐμπιπλῶντας, μήτε αὖ σφόδρα ἐνδεῶς· τὸ μὲν γὰρ

nent, le plus souvent, à la mauvaise qualité du lait; elles se forment
également si l'enfant ne digère pas le lait; enfin il y a des enfants qui
2 apportent le mal du sein de leur mère. La nourrice doit donc d'abord
être contente de voir arriver ces efflorescences à l'extérieur, car c'est là
un moyen de mettre les enfants à l'abri de maux plus graves, et il y a
du danger à les faire rentrer; mais, quand elles se sont flétries comme il
faut, et qu'il vous semble que tout est sorti, alors enfin il convient de les
traiter par des bains chauds, dans lesquels la nourrice mettra un peu de
myrte, de lentisque, de roses, ou de liseron à feuilles d'althée; après
cela, elle fera usage d'huile parfumée de roses, ou de lentisque, ou du
3 cérat uni à la céruse. Auparavant, les bains doivent, au contraire, être
très-nombreux et assez chauds; mais on n'y mettra aucun des ingrédients
4 que nous venons d'énumérer. On détergera aussi assez doucement avec
de la soude brute : car l'enfant ne supportera pas les remèdes plus actifs.
5 Ce sont là les remèdes pour la peau; mais, ce qu'il y a de mieux à faire,
c'est que la nourrice suive un régime assez doux; il est très-bon aussi de
prescrire un régime à l'enfant lui-même, de manière à ne pas le surchar-
ger d'aliments, et à ne pas le soumettre non plus à une diète trop grande;
car cela tend à produire, dans le premier cas, des indigestions, et, dans
le second, à engendrer de la bile; or, ce sont, dans la maladie dont il

8. Τό τε δὲ ἢ F. — 10. δήπου Sor.; δέ που F.

ἀπεπτότερον, τὸ δὲ χολωδέστερον, ἄμφω δὲ τοῖς παροῦσι κάκιστα.
Δεῖ δὲ εἰδέναι καὶ ὡς ἂν ῥᾷστα φῦσαι τοὺς ὀδόντας. Πολλὰ γοῦν κα- 6-7
ταλαμβάνει δυσχερῆ περὶ τὴν ὀδοντοφυΐαν, καὶ σπασμοὶ καὶ πυρε-
τὸς καὶ φλεγμοναὶ τῶν οὔλων καὶ ἔμετοι καὶ διάῤῥοιαι καὶ ἀγρυπνίαι
καὶ ἀποσιτίαι, καὶ δακρύει καὶ πτύει ὕφαιμον. Οὐ μὴν ἴσον ἐπὶ 8
ὀδοῦσιν ὁ σπασμὸς, οἷον ἐπὶ πυρετῷ, ἢ ἕλκει, ἀλλὰ ἐνταῦθα μὲν καὶ
περιγίνονται, ἐκεῖσε δὲ ἀπόλλυνται· ἰσχυρότερον γὰρ σπᾶται.
Φύειν μὲν οὖν ἄρχεται τὰ πολλὰ ἑπτάμηνα, τὰ δὲ ἐξωτέρω, καὶ 9
πρότερον κάτωθεν τὰ πολλά· οὗτοι δὲ καὶ ῥᾷον φύονται τῶν ἄνω·
χαλεπώτατα δὲ καὶ οἱ κυνόδοντες, καὶ οἱ ἄνω, καὶ οἱ κάτω· χαλε-
ποὶ δὲ καὶ οἱ γόμφιοι οἱ εἴσω. Τὰ μὲν δὴ θᾶσσον φέροντα ῥᾳδίως 10
μὲν φέρει· κακοὺς δὲ καὶ ἀσθενεῖς καὶ ἀραιοὺς τὸ ἐπίπαν· τὰ δὲ
ὕστερον χαλεπώτερον μὲν, ἀλλὰ ἰσχυροτέρους καὶ πυκνούς. Λέγουσι 11
δέ τινες πλήθει τε ὀδόντων καὶ ἀραιότητι δύνασθαι γνῶναι μακρο-

s'agit, deux circonstances très-nuisibles. Il faut savoir aussi comment 6
l'enfant poussera le plus facilement ses dents. Or donc il est pris de plu- 7
sieurs incommodités à l'époque de la dentition, par exemple, de con-
vulsions, de fièvre, d'inflammations des gencives, de vomissements, de
flux de ventre, d'insomnies, d'aversion pour les aliments, et il verse des
larmes et rejette des crachats légèrement sanguinolents. Cependant, les 8
convulsions qui tiennent aux dents ne sont pas une chose aussi grave
que celles qui surviennent à propos d'une fièvre, ou d'une plaie; dans
le premier cas, on peut conserver la vie, tandis que, dans le second, on
périt, puisque les convulsions sont plus fortes. Les enfants commencent 9
donc ordinairement à pousser les dents vers le septième mois, et, chez
quelques-uns, cela arrive plus tard; le plus souvent, celles d'en bas sont
les premières; ces dents poussent aussi plus facilement que celles d'en
haut; les dents canines poussent aussi très-difficilement, aussi bien celles
d'en haut que celles d'en bas; les dents molaires intérieures poussent
aussi difficilement. Les enfants qui poussent vite leurs dents se tirent fa- 10
cilement de la dentition; mais ils ont, en général, des dents mauvaises,
faibles et lâches; ceux, au contraire, dont la dentition est tardive, sont
plus fortement incommodés, mais leurs dents sont serrées et plus fortes.
Quelques-uns prétendent qu'à l'aide du nombre des dents et de leur 11

βίους τε καὶ βραχυβίους, καὶ τοὺς ἀραιοὺς μὲν καὶ ἥσσονας βραχυ-
βίους εἶναι, τοὺς δὲ αὖ ἑτέρους τῶν μακροβίων· ἐγὼ δὲ οὔτε ἀπι-
12 στεῖν ἔχω τῷ λόγῳ, οὔτε πω ἅπαν αὐτὸ ἐπέσκεμμαι. Κατὰ μὲν τὰς
ὥρας τοῦ μὲν ἦρος καὶ ὑπὸ Πλειάδα φύει εὐπετῶς, τοῦ δὲ χειμῶνος
ἐπαχθῶς μὲν, ἀλλὰ ἐπιφλεγμαίνει ἧσσον· ἐν δὲ τῷ θέρει κίνδυνος
13 καὶ ἑλκῶν καὶ φλεγμονῆς καὶ διαῤῥοίας καὶ ἐμέτων πλειόνων. Ταῦτα
μὲν δὴ κατὰ αὐτὰ οὕτω γίνεται· ἃ δὲ ἄν τις βοηθήσαι καὶ παιδίῳ τη-
νικαῦτα, χρὴ τὸ παιδίον εὐσταλέστερον διαιτᾷν καὶ λούειν θερμῷ,
καὶ εἰ μὲν διάῤῥοιαν ἔχοι, συνάγειν πειρᾶσθαι τὴν γαστέρα τοῖς ἐπι-
θέμασιν οἷα μάλιστα ἵστησιν, τὸ κύμινον ἐρίῳ ἐμπάσσοντα, ἢ τὸ
14 ἄνηθον, ἢ τὸ σέλινον. Ἀγαθὸν δὲ καὶ εἰ σπέρμα ῥόδων προσμίσγοις,
καὶ τὸ ὅλον εἰ θερμαίνοις μὲν ξηρῶς, μηδὲν δὲ περὶ τὰς πέψεις
αὐτῶν ἁμαρτάνοις· οὐδὲν γὰρ οὕτω διαῤῥεῖ μᾶλλον ὡς τὸ ἄπεπτον·

position plus ou moins serrée, on peut distinguer les gens qui vivront
longtemps de ceux dont la vie sera courte, que les gens aux dents
lâches et peu nombreuses ont la vie courte, tandis que l'autre espèce
de dents appartient aux gens qui vivront longtemps; il m'est impos-
sible de refuser croyance à cette assertion; cependant je ne l'ai pas en-
12 core soumise entièrement à mes observations. Eu égard aux saisons, les
enfants poussent facilement leurs dents au printemps et vers le cou-
cher des Pléiades; en hiver, au contraire, ils sont incommodés, mais
ils sont moins sujets à l'inflammation; en été, ils sont menacés du dan-
ger d'ulcères, d'inflammation, de flux de ventre et de vomissements
13 répétés. Ces choses se passent ainsi, quand on les abandonne à elles-
mêmes; pour ce qui regarde les remèdes, avec lesquels on peut venir
au secours de l'enfant, on lui prescrira un régime plus restreint, on lui
donnera des bains chauds, et, s'il a un flux de ventre, on tâchera de
resserrer à l'aide des épithèmes, qui ont surtout la propriété d'arrêter
le flux; tels sont le cumin, l'aneth, ou le céleri saupoudré sur de la laine.
14 Il est bon aussi d'ajouter de la graine de rosier, et, en général, d'échauf-
fer en desséchant, pourvu, toutefois, qu'on ne commette aucune erreur
par rapport à la digestion des enfants; car rien n'a autant de tendance à
passer par les intestins que les aliments mal digérés; tandis que la mo-

8. θερμῷ *Syn.*, Paul.; θερμῶς F. — 13. ἄπεπτον ex em.; εὔπεπτον F.

εὔπεπτον δέ που καὶ ἡ μετριότης οὐχ ἧσσον ἢ εἰ πάνυ χρηστὸν
προσφέροις. Εἰ δὲ μηδὲν ὑπίοι κάτω, ἐρεθίζειν ἡσυχῇ τῷ μέλιτι 15
ἡψημένῳ πλασθέντι ὡς βαλάνους, ἢ μίνθῃ τετριμμένῃ μετὰ μέλιτος
διαχρίουσαν· ἀρκεῖ γὰρ οὕτως ἐξάγειν ὀλίγον ὅσον ἐφήμερον. Τὴν 16
δὲ τιτθὴν τότε δὴ καὶ πλεῖον προσήκει πείθεσθαι τῇ γεγραμμένῃ
διαίτῃ, καὶ τἄλλα πάντα ποιεῖν ὡς εἴρηται, καὶ τὴν διακονουμένην τῇ
τιτθῇ τότε που πλέον τέρψεις τε παντοίας παρέχειν τῷ παιδίῳ καὶ
διὰ ἀκριβεστάτης ἄγειν φροντίδος, παραφυλάσσουσαν τοὺς σπα-
σμοὺς μάλιστα, ὡς ἔνια διεφθάρη ῥᾳθυμίᾳ θεραπείας. Δοκεῖ δὲ κάλ- 17
λιστα βοηθεῖν τοῖς σπασμοῖς ἡλιοτρόπιον ἑψόμενον ἐν ὕδατι, εἰ
λούοιτο ἐν τούτῳ τὸ παιδίον· ὠφελεῖ δὲ καὶ ἰρίνῳ χρῖσαι καὶ τῷ
σικυωνίῳ, καὶ τὸ σύμπαν θερμαίνειν. Ἐπεὶ δὲ μελλόντων ἀνατέλλειν 18
τῶν ὀδόντων δάκνει τοὺς δακτύλους καὶ τιτρώσκει, καλῶς ἂν ἔχοι

dération favorise, en quelque sorte, tout aussi bien la digestion que si
vous donnez des aliments de qualité tout à fait supérieure. S'il ne des- 15
cend rien par les selles, il faut provoquer doucement les évacuations
avec du miel cuit auquel on donne la figure d'un suppositoire, ou en
employant, sous forme d'un onguent qu'on introduit dans l'anus, la
menthe triturée avec du miel; car il suffit d'expulser ainsi chaque jour
de petites selles. La nourrice devra alors observer plus rigoureusement 16
encore le régime que nous avons décrit, et faire tout le reste comme
nous l'avons exposé; de son côté, la femme qui sert la nourrice devra
s'attacher encore plus alors à procurer toutes sortes d'amusements à l'en-
fant, et elle en fera l'objet de ses préoccupations les plus assidues, pour
prévenir surtout les convulsions, car des enfants sont morts parce qu'on
avait négligé de les soigner. Il semble que ce soit un excellent remède 17
contre les convulsions qu'un bain d'eau dans laquelle on aura fait bouillir
du tournesol; il convient aussi de l'oindre avec de l'huile d'iris, ou de
l'huile de Sicyone, et, en général, de le réchauffer. Comme les enfants, 18
au moment où les dents sont sur le point de sortir, se mordent et se
blessent les doigts, il sera bon de leur faire tenir une racine d'iris bouil-

3. βαλάνους ex em.; βαλάνοις F; βα- Paul. — 11-12. χρῖσαι ἢ κυπρίνῳ καὶ
λάνιον Syn., Paul. — Ib. καλαμίνθῃ Syn., Paul.

19 κατέχειν ἴρεως ῥίζαν ἐξεσμένην μὴ πάνυ ξηράν. Τοῦτο καὶ τοῖς ἕλκεσι προσβοηθεῖ, καὶ τὸ βούτυρον μετὰ μέλιτος διαχριόμενον ὀνίνησιν· τοὺς δὲ ὀδαξησμοὺς σὰρξ ταρίχου παλαιοῦ ὀνίνησι, καὶ οἶδα οὕτω ποιούσας τὰς τιτθάς.

κε'. Πρὸς ἄφθας παιδίου. Ἐκ τῶν Γαληνοῦ.

1 Γίνεται τῷ παιδίῳ καὶ ἕλκος ὃ καλοῦσιν ἄφθαν, τὸ μὲν ὑπόλευκον, τὸ δὲ ἐρυθρότερον, τὸ δὲ μέλαν οἷον ἐσχάρα, κάκιστον δὲ τὸ μέλαν καὶ θανατωδέστατον· ἐν Αἰγύπτῳ δὲ καὶ πλέον, καὶ καλεῖ-
2 ται διὰ τοῦτο ἕλκος αἰγύπτιον. Γίνεται δὲ τῷ μέν τινι πυρέξαντι συνεχεῖ πυρετῷ· τῷ δὲ καὶ τὸ ἕλκος ἀνῆψε τὸν πυρετὸν, πνιγμός τε καὶ γνάθων ἔρεισις καὶ δύσπνοια καταλαμβάνουσι, καὶ ὁ τράχηλος πήγνυται, καὶ ἀτενὲς βλέπει, καὶ νέμεται πρὸς πνεύμονα καὶ
3 αὐτοῦ δὲ καταμεῖναν κτείνει. Τὴν μὲν οὖν μείζω θεραπείαν τῷ ἰατρῷ ὑποθήσομεν· καὶ γὰρ ἂν χρήσαιτο ὀρθῶς· σοὶ δὲ, ὦ τιτθή·

19 lie, qui ne soit pas trop sèche. Cela est profitable aussi aux ulcères, de même que le beurre, employé sous forme d'onguent, conjointement avec le miel; la chair d'une vieille salaison soulage la cuisson, et je sais que les nourrices ont recours à ce remède.

25. DES APHTHES CHEZ L'ENFANT. — TIRÉ DE GALIEN.

1 L'enfant peut encore être pris de l'ulcère qu'on appelle *aphthe,* lequel est tantôt blanchâtre, tantôt rougeâtre, tantôt noir comme une escarre; mais l'ulcère noir est le plus mauvais et celui qui entraîne le plus souvent la mort; cette maladie est assez fréquente en Égypte; pour cette rai-
2 son, on l'appelle *ulcère égyptien.* Chez quelques enfants, cet ulcère se manifeste à la suite d'une fièvre continue; chez d'autres, l'ulcère allume la fièvre; les enfants sont pris d'étouffements, de fixité des mâchoires et de difficulté de la respiration; le cou devient roide, l'œil fixe, l'ulcère s'étend au poumon, et il tue par son séjour prolongé dans cet organe.
3 Nous confierons le grand traitement de cette maladie au médecin, car lui seul pourra l'appliquer comme il faut; quant à vous, nourrice, vous

Ch. 25, l. 5. τῷ παιδίῳ *Syn.*, Paul.; τὸ παιδίον F. — 6. ἐρυθρόν F text.; ὑπέρυθρον *Syn.*, Paul. — 13. σὺ δέ, ὦ τιτθὴς F.

καὶ γάρ που καὶ μικρὰ γίνεται· οἷς σὺ χρῆσθαι δύνῃ. Ἔστι δὲ ἡ 4
*ἶρις μετὰ μέλιτος, καὶ εἰ ξηρὰν ἐμφυσᾷν ἐθέλεις, καὶ ῥόδων φύλλα
κεκομμένα, καὶ ἄνθος τῶν ῥόδων καὶ κρόκος καὶ ὀλίγον σμύρνης
καὶ ἡ κηκὶς καὶ ὁ λιβανωτὸς καὶ ὁ φλοιὸς τοῦ λιβάνου ὁμοῦ τε καὶ
ἰδίᾳ ἕκαστον μέλιτι δεδευμένον, ἐπὶ δὲ τούτοις μελίκρατόν τε ὕδωρ
καὶ ῥοᾶς γλυκείας ὁ χυλός. Τὰ δὲ κατὰ μηροὺς ἐκτρίμματα μυῤῥίνῃ* 5
*ξηρᾷ διαπάσσειν καὶ κυπέρῳ καὶ ῥόδοις προσμίσγουσάν τι τῶν
ἀρωμάτων. Τὰς δὲ τῶν ὤτων ὑγρότητας ξηραίνειν ἔριον ἀπὸ στυπτη-* 6
*ρίας ἐντιθεῖσαν, ἢ οἴνου, ἢ μελικράτου παλαιοῦ ἐνστάζουσαν, ἢ κρό-
κον μετὰ οἴνου τρίψασαν ἢ κυάμους τοὺς αἰγυπτίους. Ὑγραίνονται* 7
*δὲ τοῖς τοιούτοις τοῦ γάλακτος ὑπερβάλλοντος, καί τισι πύον εἶναι
ἔδοξεν· τὸ δὲ ἂν γάλα οὐδὲν κακὸν μέγα, εἴ τις ἀτρέμα μὲν ξηραί-
νοι, ἀτρέμα δὲ ἐνδεέστερον διαιτᾷν ἐθέλοι.*

vous servirez des médicaments qui sont à votre portée, car il y a aussi
un petit traitement. Ce traitement consiste en iris avec du miel, ou, si 4
vous voulez faire des insufflations sèches, en feuilles de rosier pilées, en
roses, en safran, en myrrhe prise en petite quantité, en noix de galle,
en encens, en écorce de l'arbre qui produit l'encens, qu'on prenne tous
ces médicaments ensemble, ou chacun pour lui seul, en l'humectant de
miel; de plus, ce petit traitement consiste en eau miellée et en suc de
grenades au goût sucré. La nourrice devra saupoudrer aussi les exco- 5
riations du côté interne des cuisses avec de la myrte sèche, du souchet,
ou des roses, en y mêlant quelque aromate. Elle desséchera l'humidité 6
des oreilles en y introduisant de la laine saturée d'alun, en instillant du
vin ou de la vieille eau miellée, ou en triturant du safran ou des fèves
d'Égypte avec du vin. Les oreilles deviennent humides chez les enfants 7
de cet âge par suite de surabondance de lait, et quelques-uns ont cru
que c'était du pus; mais le lait n'est pas un bien grand mal, si on veut
seulement le dessécher doucement et prescrire un régime un peu plus
restreint.

5. *ὕδωρ* om. Sor., *Syn.*, Paul. — 9. *οἴνου ἢ μελικρ.* *Syn.*; *οἴνου μελικρ.* F. — 10. *οἴνου* *Syn.*; *τοῦ οἴνου* F. — Ib. *τρίψασαν* *Syn.*; *τρίψαντα* F.

κϛʹ. Περὶ διαπλάσεώς τε καὶ διαγνώσεως τῆς κεφαλῆς.

1 Ἡ μὲν οὖν μικρὰ κεφαλὴ μοχθηρᾶς ἐγκεφάλου κατασκευῆς ἴδιον σημεῖον· ἡ μεγάλη δὲ οὐκ ἐξ ἀνάγκης ἀγαθή· εἰ μὲν γὰρ διὰ ῥώμην ἐγένετο τῆς ἐγχωρίου δυνάμεως ὕλην χρηστήν τε καὶ πολλὴν δημιουργησάσης, σημεῖον ἀγαθόν· ὅπερ ὑπάρξαι καὶ Περικλεῖ τῷ Ἀθηναίῳ φασίν· εἰ δὲ διὰ τὸ μόνης τῆς ὕλης πλῆθος, οὐκ ἀγαθόν.
2 Διοριστέον οὖν αὐτά ἐστι τῷ τε σχήματι καὶ τοῖς ἀπὸ αὐτῆς πεφυκόσιν· τῷ σχήματι μέν, εἰ εὔρυθμος· ἀεὶ γὰρ ἀγαθὸν τοῦτο σημεῖον· τοῖς πεφυκόσι δέ, εἰ ἄριστα διάκειται, καὶ εἰ τὸ νευρῶδες αὐτῷ σύμπαν εὐτραφές τέ ἐστι καὶ εὔτονον, καὶ εἰ δριμὺ δεδορκότες
3 εἰσὶν οἱ ὀφθαλμοί. Οἰκεῖον δὲ σχῆμα κεφαλῆς ὥσπερ ἂν εἰ νοήσαις σφαῖραν ἀκριβῆ κηρίνην ἑκατέρωθεν ἀτρέμα πεπιλημένην· ἀνάγκη

26. DE LA CONFORMATION DE LA TÊTE ET DES MOYENS DE LA RECONNAÎTRE.

1 Une petite tête est le signe propre d'une mauvaise structure du cerveau; cependant une grande tête n'est pas nécessairement un bon signe : en effet, si cette conformation tient à la bonne condition de la force propre, laquelle a construit de bons matériaux en abondance, c'est un bon signe, et on prétend que cette conformation existait chez Périclès d'Athènes; si, au contraire, la conformation dont il s'agit tient uniquement à l'abon-
2 dance des matériaux, elle n'est pas bonne. On doit donc établir une distinction entre ces deux cas à l'aide de la forme de la tête et à l'aide des organes qui proviennent du cerveau (*nerfs et organes des sens*); par rapport à la forme, on examinera si elle est bien proportionnée, car c'est toujours là un bon signe; et, par rapport aux organes qui proviennent du cerveau, si ces organes sont dans d'excellentes conditions et si tout le système nerveux issu de ce cerveau est bien nourri et vigoureux, enfin si
3 les yeux sont doués d'une vue perçante. La forme propre de la tête est comme si vous vous figuriez un globe parfait en cire, légèrement comprimé des deux côtés : en effet, dans une boule pareille, les parties pos-

Ch. 26, l. 2. ἀγαθῆς *Syn.*; ἀγαθῆς κατασκευῆς σημεῖον G Gal. — 5. φασιν Gal.; φυξοῖν (sic) F. — 6. τῷ σχ. καὶ F *Syn.*; τὸ σχ. τε G. — Ib. ἀπ' αὐτῆς *Syn.*; ἀπ' αὐτοῖς F; ἀπ' αὐτοῦ Gal. — 8. εἰ κρατεραυχήν τ' ἐστὶ καὶ τοῖς ἄλλοις ὀστοῖς (om. ὀστοῖς G) ἄριστα G Gal. — 10. Οἰκεῖον] Σημεῖον F.

γὰρ τῆς τοιαύτης κυρτότερα μὲν ἢ κατὰ σφαῖραν γενέσθαι τό τε
ὄπισθεν καὶ τὸ ἔμπροσθεν, εὐθύτερα δὲ τὰ ἑκατέρωθεν. Αἱ δὲ φο- 4
ξαί· καὶ γὰρ καὶ τούτων εἰδέναι χρή τινας οὐκ εἶναι μεμπτάς· γί-
νονται μὲν ὑπαλλαττομένης κατά τι τῆς ἀρίστης διαπλάσεως, ἥ τις,
ὡς ἔφην, ἔοικε προμήκει σφαίρᾳ τεθλιμμένῃ κατὰ ἑκάτερον οὖς· ἤτοι
δὲ ἐλλείπουσαν ἔχουσι τὴν κατὰ ἰνίον ἢ μέτωπον ἐξοχήν, ἢ περαι-
τέρω τοῦ προσήκοντος ηὐξημένην. Ὡς τὸ πολὺ μὲν οὖν, ὥσπερ τὴν 5
μεγάλην, οὕτω καὶ ταύτας εὑρήσεις μεμπτάς· ἐν δὲ τῷ σπανίῳ καὶ
τούτων γίνονταί τινες ἀγαθαί, τῆς διαπλαττούσης δυνάμεως τὴν
ὕλην ἐξ ἧς ἐγεννήθη κυούμενος ὁ ἄνθρωπος, ἰσχυρᾶς ὑπαρχούσης.
Προσέχειν οὖν σε χρὴ τὸν νοῦν, πότερον αὐξηθείσης ἢ μειωθείσης 6
τῆς ἐξοχῆς ἡ κυρτότης ἐγένετο· μεμπτὸν μὲν γὰρ ἀεὶ τὸ μειωθεί-
σης, οὐ μεμπτὸν δὲ ἀεὶ τὸ προσαυξηθείσης, ἀλλὰ συνεπισκέπτεσθαι
χρὴ τηνικαῦτα πρῶτον μὲν τὴν εὐσχημοσύνην τῆς ἐπαυξήσεως· αἱ

térieure et antérieure doivent nécessairement être plus convexes que
dans un globe [parfait], et les deux côtés plus aplatis. Les têtes obliques 4
(car il faut savoir que quelques-unes de ces têtes sont irréprochables) se
forment si cette partie s'écarte jusqu'à un certain point de la meilleure
conformation possible, laquelle ressemble, ainsi que je viens de le dire,
à un globe allongé comprimé au niveau des deux oreilles, et présente
une insuffisance, ou un développement exagéré soit de la protubérance
occipitale, soit de la protubérance frontale. Le plus souvent donc vous 5
trouverez que ces deux espèces de tête méritent nos reproches aussi bien
que les grandes têtes; mais, dans certains cas rares, quelques-unes de
ces têtes deviennent bonnes aussi, lorsque la force, qui donne une
forme à la matière dont l'homme a été construit dans le sein de sa mère,
présente de bonnes conditions. En conséquence, on examinera si la con- 6
vexité tient à une augmentation ou à une diminution du volume de la
protubérance; car, si elle tient à une diminution, elle méritera toujours
nos reproches, tandis que la convexité produite par une augmentation
de volume n'est pas toujours blâmable; mais, dans ce cas, on prendra
en considération, en premier lieu, l'élégance de la forme de cette aug-

3. γὰρ καὶ om. F. — Ib. εἰδέναι χρή] ἔφην F. — 5. ἕτερον F. — Ib. ἤτοι] οὗτοι F. — 12. κυρτότης ex em.; κυρτότητος F.

γὰρ ἀπρεπεῖς αὐξήσεις μοχθηραί· δεύτερον δὲ πότερον ἡ κατὰ ἰνίον
ἐξοχὴ τῆς κεφαλῆς γέγονεν αὐτῆς μείζων, ἢ τὸ πρόσω μέρος ηὔξη-
ται, βέλτιον εἶναι νομίζοντα αὐξηθῆναι τὴν κατὰ ἰνίον· ἐνταῦθα γὰρ
ἥ τε κυριωτάτη τῶν κοιλιῶν ἐστι τοῦ ἐγκεφάλου καὶ ἡ τοῦ νωτιαίου
7 μυελοῦ ῥίζωσις. Εἶτα ἑξῆς σκόπει τὸν αὐχένα, πότερον ἀσθενὴς, ἢ
καρτερός ἐστιν· ἐὰν γὰρ ἥ τε ἐξοχὴ μήτε ἀσχήμων ᾖ, μήτε ὑπερ-
βαλλόντως μεγάλη, γενναῖός τε αὐτὴν ἐκδέχηται τράχηλος, ἀπο-
δέχου τὴν φοξότητα τῆς τοιαύτης κεφαλῆς· ἰσχυροὺς γὰρ εὑρήσεις
8 τούτους τά τε ἄλλα καὶ τοῖς ὀστοῖς. Ἐπισκέπτου δὲ καὶ τὰ κατὰ τὰς
αἰσθήσεις, ὄψιν τε καὶ γεῦσιν καὶ ὄσφρησιν· ἀλλήλων γάρ εἰσιν
ὁρίσματα καὶ ἀλλήλοις μαρτυρεῖ τά τε ἀπὸ τῆς ἀρχῆς πεφυκότα τῇ
9 τῆς ἀρχῆς ἀρετῇ τε καὶ κακίᾳ, καὶ ἡ ἀρχὴ τοῖς ἀπὸ αὐτῆς. Τῆς
δὲ φαύλως κατεσκευασμένης κεφαλῆς καὶ προσεπίσκεψαι τὸ κατὰ
ὑπερῴαν ἐν τῷ στόματι χωρίον· εὑρήσεις γὰρ καὶ τοῦτο κοῖλον

mentation, car, si ces augmentations sont difformes, elles sont mau-
vaises; en second lieu, on verra si c'est la protubérance occipitale de
la tête qui s'est agrandie, ou si la partie antérieure a augmenté de vo-
lume, et on admettra que l'agrandissement de la protubérance occi-
pitale est préférable, car le principal ventricule du cerveau et la racine
7 de la moelle épinière sont situés dans cette région. Ensuite on consi-
dérera si le cou est faible ou vigoureux : en effet, si la protubérance
n'est ni difforme, ni démesurément grande, ou si elle est soutenue
par un cou robuste, vous devrez accepter l'obliquité d'une pareille
tête, car vous trouverez que ces gens-là sont forts aussi bien sous le
8 rapport des os que sous celui des autres parties. Examinez aussi les
organes des sens, la vue, le goût et l'odorat, car il y a deux séries d'or-
ganes qui se définissent mutuellement et témoignent l'une pour l'autre :
ce sont les organes provenant d'un organe principal qui témoignent du
bon ou du mauvais état de cet organe, et ce même organe témoigne à
9 son tour pour ceux qui y prennent leur origine. Dans les têtes mal bâties,
il faut encore considérer la région du palais située dans la bouche : car
vous trouverez que cette partie est creuse aussi chez les gens qui pré-

2. αὐτῆς γέγονε Gal. — Ib. τὸ κατὰ πρόσωπον μέρος Gal. — 3. νομίζων F. — 7. ἢ γενναῖος ταύτην F. — Ib. ἐκδέχεται F Gal. — 11. γνωρίσματα Gal. — 11-12. πεφ. τῇ τῆς ἀρχ. om. F. — 12. ἡ om. F.

ἐπὶ ὧν ἡ φοξότης ὀξεῖά τε καὶ ἀσχήμων ἐγένετο· καὶ γὰρ οὖν καὶ
καλοῦσιν οἱ ἄνθρωποι τούτους μάλιστα φοξούς. Ἐπὶ πολλῶν δὲ 10
καὶ οἱ ὀδόντες παρηλλαγμένοι φαίνονται, τουτέστιν οὐ κατὰ εὐθὺ
τοῖς ἄνωθεν οἱ κάτω ὀδόντες, καὶ οἷον ἀνεσπασμένον τε ἅμα καὶ
διεστραμμένον αὐτοῖς φαίνεται τὸ στόμα. Τούτους οὖν εὑρήσεις 11
κεφαλήν τε συνεχῶς ἀλγοῦντας καὶ τὰ ὦτα ῥευματιζομένους.

κζ'. Ὀφθαλμῶν κράσεως διάγνωσις.

Ἐπὶ δὲ τῶν ὀφθαλμῶν ὅσοι μὲν ἁπτομένοις ἐναργῶς εἰσι θερμοὶ 1
κα. κινοῦνται ῥᾳδίως τε καὶ πολλάκις καὶ φλέβας εὐρείας ἔχουσι,
θερμοὶ σύμπαντές εἰσιν· ψυχροὶ δὲ οἱ τούτοις ἐναντίοι, καὶ ὑγροὶ
μὲν οἱ μαλακοί τε ἅμα καὶ πλήρεις ὑγρότητος· ξηροὶ δὲ οἱ σκληροὶ
ἅμα καὶ αὐχμηροί. Καὶ βλάπτονται μὲν ὑπὸ τῶν ὁμοίων τῇ κράσει 2
ῥᾳδίως αἰτίων, ὠφελοῦνται δὲ ὑπὸ τῶν ἐναντίων τῇ ἐμμέτρῳ χρή-
σει. Ἀλλὰ τοῦτό γε κοινὸν ἐπὶ πάσῃ διαγνώσει κράσεως ἅπαντος 3

sentent une obliquité pointue et difforme : ce sont, du reste, principa-
lement eux dont le vulgaire dit qu'ils ont la tête de travers. Chez plu- 10
sieurs d'entre eux, on s'apercevra aussi que les dents ne se correspondent
pas exactement, c'est-à-dire que les supérieures n'affrontent pas en ligne
droite les inférieures, et que, chez eux, la bouche est, pour ainsi dire,
à la fois relevée et tordue. Vous trouverez donc que ces individus ont 11
continuellement du mal de tête et des fluxions aux oreilles.

27. MOYENS DE RECONNAÎTRE LE TEMPÉRAMENT DES YEUX.

Pour les yeux, ceux qui sont évidemment chauds au toucher se 1
meuvent facilement et souvent, et contiennent des veines larges; ils sont
tous chauds, et ceux qui sont dans des conditions contraires sont froids;
les yeux à la fois mous et remplis d'humidité sont humides, et les yeux
à la fois durs et arides sont secs. Les yeux sont facilement lésés par les 2
influences semblables à leur tempérament, et ils profitent de l'usage
modéré des influences opposées. Mais c'est là une remarque générale, 3
de quelque partie qu'il s'agisse de reconnaître le tempérament; du reste,

3-4. εὐθὺ τοῖς ἀνθρώποις τοῖς ἄνωθεν F. — 4. οἱ] τοῖς F. — Ib. κάτωθεν Gal. — Ch. 27, l. 12. ἐναντ. συμμέτρῳ F. — 13. γέ τοι G.

μορίου· μέγεθος δὲ ὀφθαλμῶν ἅμα μὲν εὐρυθμίᾳ τε καὶ τῇ τῶν ἐνεργειῶν ἀρετῇ πλῆθος οὐσίας εὐκράτου, ἐξ ἧς διεπλάσθησαν, ἐνδείκνυται· τὸ δὲ ἄνευ τούτων πολλὴν μὲν τὴν οὐσίαν, οὐκ εὔκρατον δὲ δηλοῖ· μικρότης δὲ ὀφθαλμῶν ἅμα μὲν εὐρυθμίᾳ καὶ ἀρετῇ τῶν ἐνεργειῶν ὀλίγην μὲν, ἀλλὰ εὔκρατον ἐνδείκνυται τὴν οὐσίαν ἐξ ἧς διεπλάσθησαν· ἅμα δὲ ἀῤῥυθμίᾳ τινὶ καὶ κακίᾳ τῶν ἐνεργειῶν
4 ὀλίγην τε ἅμα καὶ φαύλην εἶναι σημαίνει τὴν οὐσίαν αὐτῶν. Τὰ δὲ κατὰ χρόαν ὧδε χρὴ διαιρεῖσθαι· γλαυκὸς μὲν ὁ ὀφθαλμὸς ἤτοι διὰ μέγεθος, ἢ λαμπρότητα τοῦ κρυσταλλοειδοῦς, ἢ προπετῆ θέσιν, ἢ διὰ τὴν τοῦ λεπτοῦ καὶ ὑδατώδους ὑγροῦ τοῦ κατὰ τὴν κόρην ὀλιγότητά τε καὶ καθαρότητα γίνεται, πάντων μὲν ἅμα συνελθόντων ὁ γλαυκότατος· εἰ δὲ τὰ μὲν αὐτῶν παρείη, τὰ δὲ μὴ, τὸ μᾶλλόν τε
5 καὶ ἧττον ἐν γλαυκότητι συνίσταται. Μέλας δὲ ὁ ὀφθαλμὸς ἢ διὰ τὴν

la grandeur des yeux, combinée à de bonnes proportions et à l'intégrité des fonctions, indique l'abondance et le bon tempérament des matériaux dont ils ont été formés; mais, si la grandeur des yeux n'est pas accompagnée de ces circonstances, elle indique, il est vrai, une abondance de matériaux; seulement ces matériaux ne sont pas bien tempérés; la petitesse des yeux, combinée à de bonnes proportions et à l'intégrité des fonctions, montre que les matériaux dont ils ont été formés étaient peu abondants, mais bien tempérés; si, au contraire, cette petitesse est combinée à certaines mauvaises proportions et à la perversité des fonctions, cela signifie que leurs matériaux étaient à la fois peu abondants
4 et mauvais. Quant à la couleur, il faut établir les distinctions suivantes : les yeux deviennent gris par suite de la grandeur, de la splendeur, ou de la position saillante du cristallin, ou par suite de la petite quantité, ou de la pureté du liquide ténu et aqueux existant dans la pupille; si toutes ces conditions se rencontrent à la fois, l'œil est très-gris; si, au contraire, quelques-unes de ces conditions existent, tandis que d'autres manquent, cela donne lieu aux nuances plus ou moins prononcées de la couleur grise. Les yeux deviennent naturellement noirs par
5 cées de la couleur grise. Les yeux deviennent naturellement noirs par

2. εὔκρατον F; εὔκρατα G. — 3. τά Gal. — Ib. δ] οὖν GGal. — 11. ὁ] οὐ F. — Ib. οὐκ om. F. — 8. διορίζεσθαι G F. — 12-13. τε καί om. F.

σμικρότητα τοῦ κρυσ7αλλοειδοῦς, ἢ διὰ τὴν ἐν βάθει θέσιν, ἢ ὅτι
λαμπρὸν καὶ αὐγοειδὲς ἀκριβῶς οὐκ ἔσ7ιν, ἢ ὅτι τὸ λεπ7ὸν ὑγρὸν
ἤτοι πλέον, ἢ οὐ καθαρόν ἐσ7ιν, ἢ διά τινα τούτων, ἢ διὰ πάντα
πέφυκε γίνεσθαι· τὸ μᾶλλον δὲ καὶ ἧτ7ον ἐν αὐτοῖς ὡς ἔμπροσθεν
εἴρηται. Τὸ μὲν οὖν λεπ7ὸν ὑγρὸν ὑδατωδέσ7ερόν τε καὶ πλέον γινό- 6
μενον ὑγρότερον ἀποφαίνει τὸν ὀφθαλμὸν, ὥσπερ γε καὶ εἰ παχύ-
τερον ἢ ἔλατ7ον γένοιτο, ξηρότερον· τὸ δὲ κρυσ7αλλοειδὲς, εἰ μὲν
σκληρότερον εἴη, ξηρότερον ἐργάζεται τὸν ὀφθαλμόν· εἰ δὲ μαλα-
κώτερον, ὑγρότερον· οὕτω δὲ καὶ, εἰ μὲν ὑπερβάλλοι τῆς συμμε-
τρίας τοῦ λεπ7οῦ, ξηρότερον· εἰ δὲ ἀπολείποιτο, τοὐναντίον.

κη'. Ὁποῖα κοινὰ δυσκρασιῶν γνωρίσματα;

Εἰ μὲν εὔψυκτον εἴη τὸ μόριον, ἤτοι ψυχρότητος, ἢ ἀραιότητος· 1

suite de la petitesse, ou de la situation profonde du cristallin, ou parce
que ce corps n'est pas parfaitement resplendissant et lumineux, ou parce
que le liquide ténu est trop abondant ou impur, que ce soit par quelques-
unes de ces causes, ou par la réunion de toutes; quant aux nuances
plus ou moins prononcées de cette couleur, il en est comme nous avons
dit plus haut. Si donc le liquide ténu devient plus aqueux et plus abon- 6
dant qu'il n'était, cette circonstance augmente l'humidité de l'œil, de
même qu'une augmentation de l'épaisseur, ou une diminution de la
quantité de ce liquide rend l'œil plus sec qu'il n'était; quant au cristal-
lin, s'il est trop dur, il augmente la sécheresse de l'œil; si, au contraire,
il est trop mou, il en augmente l'humidité; de même, si la quantité du
cristallin excède les proportions du liquide ténu, cette circonstance aug-
mente la sécheresse des yeux, tandis que, si elle reste en deçà, cela pro-
duit l'effet contraire.

28. QUELS SONT LES SIGNES GÉNÉRAUX DES MAUVAIS TEMPÉRAMENTS?

Si une partie se refroidit facilement, c'est un signe de froideur ou de 1

1. θέσιν ὅτι F. — 2. τό om. F. — 5-6. γενόμενον GGal. — 6. ὑγρόν G. — 7. ἤ om. F. — Ib. ξηρόν F. — Ch. 28, l. 11. εὔκρατον F. — Ib. ψυχρότατον FG, et ainsi souv. pour ces mots. — Ib. ἢ ἀραιότητος om. FG.

εἰ δὲ δύσψυκτον, ἤτοι θερμότητος, ἢ πυκνότητος γνώρισμα· εἰ δὲ
ὑπὸ τῶν ξηραινόντων βλάπτοιτο αὐχμηρόν τε καὶ ξηρὸν καὶ δυσκί-
νητον γένοιτο, ξηρότητος, ὥσπερ γε καὶ εἰ βαρύνοιτο πρὸς τῶν
2 ὑγραινόντων, ὑγρότητος. Ἐπιβλέπειν δὲ καὶ, εἰ ὡσαύτως ἅπαντες
οἱ μύες, ἢ οὐχ ὡσαύτως κέκρανται, συνεπισκοπούμενον ἐν ἅπασι
τὴν πηλικότητα τῶν ὑποβεβλημένων ὀσῖῶν· ἐνίοτε γὰρ ἰσχνότερον
εἶναι δοκεῖ τὸ μέρος, οὐκ ὂν ἰσχνὸν, ὅσον ἐπὶ τοῖς μυσὶν, ἀλλὰ διὰ
3 τὴν σῖενότητα τῶν ὀσῖῶν τοιοῦτον φανταζόμενον. Οὕτω δὲ καὶ πα-
χύτερον ἐνίοις εἶναι δοκεῖ πολλάκις, οὐ διὰ τὴν εὐρύτητα τῶν ὀσῖῶν,
ἀλλὰ διὰ τὸ τῆς σαρκὸς πλῆθος, ἥ τις αὐξανομένη τε καὶ μειου-
μένη σκληροτέρα τε καὶ μαλακωτέρα γενομένη ξηρότερον ἢ ὑγρό-
τερον ἀποφαίνει τὸ μόριον, ἡ μὲν ὀλίγη τε καὶ σκληρὰ ξηρότερον,
4 ἡ πολλὴ δὲ καὶ μαλακὴ ὑγρότερον. Οὕτω δὲ καὶ αἱ μεταξὺ χῶραι

rareté; si, au contraire, elle se refroidit difficilement, c'est un signe de
chaleur, ou de densité; si les influences desséchantes lui causent du
dommage, la rendent sèche et aride, ou entravent ses mouvements, c'est
un signe de sécheresse; de même, si les causes humectantes pèsent sur
2 elle, c'est un signe d'humidité. Il faut examiner, de plus, si tous les
muscles ont le même tempérament, ou non, en remarquant, en même
temps, pour toutes quelle est la condition des os sous-jacents : quelque-
fois, en effet, une partie semble être assez maigre, quoiqu'elle ne le
soit pas véritablement, du moins en ce qui tient aux muscles, mais
3 qu'elle se présente seulement ainsi à cause de l'étroitesse des os. De
même une partie semble souvent assez épaisse, non à cause de l'am-
pleur des os, mais par suite de l'abondance des chairs, lesquelles, en
augmentant ou en diminuant, en durcissant ou en ramollissant, aug-
mentent la sécheresse ou l'humidité de la partie; si elles sont peu abon-
dantes et dures, elles dessèchent la partie, tandis qu'elles la rendent
4 humide, si elles sont abondantes et molles. De même encore les in-

5. συνεπισκοπουμένων F. — 6. τήν cap. 6, p. 19, l. 13; om. FG Gal. — 7. οὔκουν FG. — Ib. ἐπὶ τὴν βᾶσιν F; ἐπὶ τὴν βύσιν G; τοῖς μυσίν cap. 6, p. 19, l. 14. — 11. ξηρότερόν τε καί F. — Ib. μαλακώτερον F. — Ib. γενόμενον F; γινομένη G et cap. 6, p. 20, l. 3. — Ib. ξηρ. ἤ om. F. — 12. εἰ FG. — Ib. ξηρότερον ex em.; τὸ σκληρότ. F. — 13. ὑγρότερον ex em.; τὸ ὑγρότερον FG Gal.

τῶν ὁμοιομερῶν σωμάτων ἤτοι πλέον, ἢ ἔλαττον ἐν αὐταῖς περιέχουσι, καὶ ἤτοι παχύτερον, ἢ λεπτότερον, ἢ ξηρότερον, ἢ ὑγρότερον ἀποφαίνουσι τὸ μόριον, ὑγρότερον μὲν ἔνθα λεπτοτέρα καὶ πλέων ἐστὶν ἡ ὑγρότης, ξηρότερον δὲ, ὅπου παχυτέρα τε ἅμα καὶ ἐλάττων· αὐτὰ μὲν γὰρ τὰ στερεὰ τοῦ σώματος μόρια τὰ ὄντως στερεὰ καὶ πρῶτα κατὰ οὐδένα τρόπον οἷόν τέ ἐστιν ὑγρότερα ποιεῖν, ἀλλὰ ἱκανὸν μὴν εἰ κωλύει τις αὐτὰ μὴ ταχέως ξηραίνεσθαι· τὰς δὲ διαλαμβανούσας αὐτὰ χώρας ἔνεστι πληροῦν ὑγρότητος ἤτοι τοίας ἢ τοιᾶσδε, αὕτη δέ ἐστιν ἅπασιν ἡ οἰκεία τροφὴ τῶν ὁμοιομερῶν ἐκ παραθέσεως, οὐ διὰ ἀγγείων ἑλκομένη. Κοινὸς δὲ οὗτος ὁ λόγος ἐστὶν ἁπάντων τῶν εἰρημένων μορίων, καὶ ῥηθήσεται καὶ αὖθις ἐν τῇ τῶν ὑγιεινῶν καὶ νοσωδῶν διδασκαλίᾳ μετὰ ταῦτα· τὰ νῦν δὲ τῶν ἐφεξῆς ἐχώμεθα.

terstices des parties similaires peuvent contenir ou trop, ou trop peu d'humidité dans leur intérieur, et, de cette façon, ils peuvent augmenter soit l'épaisseur ou la maigreur, soit l'humidité ou la sécheresse de la partie; ils rendent la partie trop humide quand l'humidité est trop ténue et trop abondante, et trop sèche au contraire quand elle est trop épaisse à la fois et en trop petite quantité : car il est de toute impossibilité d'augmenter l'humidité des parties solides du corps, je veux parler des parties primitives et véritablement solides; c'est déjà bien assez si on les empêche de se dessécher rapidement; mais on peut remplir les interstices qui les séparent, de telle ou telle humidité; or cette humidité est pour tous nos organes la nourriture naturelle des parties similaires, nourriture qu'elles attirent par l'effet de l'apposition, et non à travers les vaisseaux. C'est là une remarque générale pour toutes les parties dont nous avons parlé; nous y reviendrons plus tard en parlant des influences salubres et morbides; pour le moment nous nous occuperons de ce qui suit.

3. ὑγρόν FG. — 5. ὄντα F. — 7. μήν ex em.; μή FG; om. Gal. — 7-8. διαβαινούσας F; διαμενούσας G. — 8. τοίας ἢ om. F. — 9. τοίας Gal. — Ib. ἢ om. FG. — 11. εἰρημένων om. Gal. — 12. νοσωδῶν αἰτίων Gal.

κθ΄. Ἐρώτημα. Πόσαι διαφοραὶ μορίων; Ἀπόκρισις. Τέσσαρες.

1 Τέσσαρες γάρ εἰσι τῶν μορίων αἱ πᾶσαι διαφοραί· τὰ μὲν γὰρ
αὐτῶν ἀρχαί τινές εἰσι, τὰ δὲ ἀπὸ ἐκείνων, τὰ δὲ οὔτε ἄλλων ἄρχει
τῆς διοικήσεως, οὔτε ὑπὸ ἄλλων ἄρχεται, συμφύτους ἔχοντα τὰς διοι-
κούσας αὐτὰ δυνάμεις· ἔνια δὲ συμφύτους τε ἅμα καὶ ἐπιῤῥύτους
2 ἔχει. Ἀρχαὶ μὲν οὖν εἰσιν ἐγκέφαλος, καρδία, ἧπαρ καὶ ὄρχεις,
ἀπὸ ἐκείνων δὲ ἐκπέφυκε κἀκείνοις ὑπηρετεῖ νεῦρα μὲν καὶ νωτιαῖος
μυελὸς ἐγκεφάλῳ, καρδίᾳ δὲ ἀρτηρίαι, φλέϐες δὲ ἥπατι, τὰ σπερ-
3 ματικὰ δὲ ἀγγεῖα τοῖς ὄρχεσιν. Αὐτὰ δὲ αὑτὰ διοικεῖ χόνδρος,
ὀσΊοῦν, σύνδεσμος, ὑμὴν, ἀδὴν, πιμελὴ καὶ σὰρξ ἁπλῆ· τὰ δὲ ἄλλα
πάντα μόρια κοινὴν τούτοις ἔχοντα τὴν ἐξ αὑτῶν διοίκησιν ἀρτη-
ριῶν καὶ φλεϐῶν καὶ νεύρων προσδεῖται· τριχῶν δὲ καὶ ὀνύχων

29. QUESTION : COMBIEN Y A-T-IL D'ESPÈCES DE PARTIES? — RÉPONSE : QUATRE.

1 En effet, il y a en tout quatre espèces de parties : quelques-unes sont
des points de départ, d'autres proviennent de ces parties-là, d'autres
encore ne président au ménage intérieur d'aucune autre, mais ne su-
bissent pas non plus la direction d'une autre, parce que les forces qui
les dirigent leur sont implantées; quelques-unes, enfin, ont à la fois des
forces qui leur sont implantées, et d'autres qui leur viennent du de-
2 hors. Le cerveau, le cœur, le foie et les testicules sont des points de dé-
part; les parties qui doivent leur origine à celles-ci et qui leur obéissent,
sont, pour le cerveau, les nerfs et la moelle épinière; pour le cœur,
les artères; pour le foie, les veines, et, pour les testicules, les vaisseaux
3 spermatiques. Les cartilages, les os, les ligaments, les membranes, les
glandes, la graisse et la chair simple s'administrent eux-mêmes; toutes les
autres parties ont, de même que les précédentes, un ménage intérieur
qu'elles tirent de leur propre fonds; mais elles ont, en outre, besoin
d'artères, de veines et de nerfs; les poils et les ongles n'ont pas même de

Ch. 29, l. 1. αἱ om. FG. — Ib. διαφοραὶ οἷον τῶν μέν F; διαφοραὶ τῶν μέν G. — 2. τῶν δὲ ἀπό FG. — Ib. τῶν δέ F. — 3. ἔρχεται FG. — Ib. συμφύτως G; συμφοίτως F. — Ib. ἔχοντες F; ἔρχονται G. — 5. Ἀρχαὶ..... ὄρχεις om. FG. — 6. ὑπηρετεῖν εὕραμεν καί FG. — 10. τούτοις om. FG.

οὐδὲ διοίκησίς ἐσῖιν αὐτὴ, ἀλλὰ γένεσις μόνη. Αὗται μὲν οὖν εἰ- 4
σιν αἱ τῶν μορίων διαφοραί· σημεῖα δὲ τῆς ἑκάσῖου κράσεως ἐφε-
ξῆς εἰρήσεται, τὴν ἀρχὴν ἀπὸ ἐγκεφάλου ϖοιησαμένων ἡμῶν.

λ'. Ἐρώτημα. Πόσα γένη σημείων ἐγκεφάλου; Ἀπόκρισις. Πέντε.

Ἔσῖι δὲ τὰ σύμπαντα γένη τῶν γνωρισμάτων τοῦ ἐγκεφάλου 1
ϖέντε, ἓν μὲν ἡ τῆς συμπάσης κεφαλῆς διάθεσις· αὕτη γάρ ἐσῖι
ϖρώτη· δεύτερον δὲ ἡ τῶν αἰσθητικῶν ἐνεργειῶν ἀρετή τε καὶ κα-
κία, καὶ τρίτον ἡ τῶν ϖρακτικῶν, καὶ τέταρτον ἡ τῶν ἡγεμονικῶν,
καὶ ϖέμπῖον ἡ τῶν φυσικῶν. Ἄλλο δὲ γένος ἐπὶ τούτοις ἅπασιν ἡ 2
ἀπὸ τῶν ἔξωθεν ϖροσπιπῖόντων αὐτῷ ἀλλοίωσις. Ἡ μὲν δὴ τῆς 3
συμπάσης κεφαλῆς διάθεσις ἐκ μεγέθους τε καὶ σχήματος αὐτῆς λαμ-
βάνεται καὶ τριχῶν.

ménage intérieur, ils se forment seulement [de toutes pièces]. Ce sont là 4
les diverses espèces de parties; nous allons exposer maintenant les signes
du tempérament de chacune d'elles, en commençant par le cerveau.

30. QUESTION : COMBIEN EXISTE-T-IL D'ESPÈCES DE SIGNES [DE LA BONNE CONFORMATION] DU CERVEAU? — RÉPONSE : CINQ.

Il y a en tout cinq espèces de signes [de la bonne conformation] du 1
cerveau : la première, et la plus importante, consiste dans la condition
de la tête en général; les autres espèces se rapportent à la condition
bonne ou mauvaise des fonctions; la seconde, à celle des fonctions des
sens; la troisième, à celle des fonctions actives (c'est-à-dire celles du mou-
vement volontaire); la quatrième, à celle des fonctions directrices, et
la cinquième à celle des fonctions naturelles. Outre tous ces signes, il 2
en existe encore une autre espèce qui consiste dans le changement que
les influences extérieures produisent dans le cerveau. La condition gé- 3
nérale de la tête se déduit de son volume, de sa forme et des cheveux.

1. αὐτή ex em.; αὐτῶν FG; om. Gal. — Ib. γοῦν F. — 3. ἐπί F. — Ch. 30, 1. 4. σύμφυτα Gal. — Ib. γένη om. F. — Ib. γνωρ. σημεῖα F. — 5. διάγνωσις F. — 5-6 αὕτη ἐσῖὶ ϖρώτη G; om. Gal. — 7. τρίτη δὲ F.

λα'. Περὶ τῶν αἰσθητικῶν μορίων.

1 Οἱ δὲ αὐτοὶ κἀπὶ τῶν ἔμπροσθεν τῆς κεφαλῆς τῶν κατὰ τὸ μέτωπον διορισμοὶ τοῖς ὄπισθεν, εἰς μικρότητα καὶ μέγεθος αὐτοῦ βλεπόντων καὶ σχῆμα καὶ τὰς ἐνταῦθα αἰσθήσεις, ὄψιν τε καὶ γεῦσιν καὶ ὄσφρησιν καὶ ἀκοήν· ἀλλήλων γάρ ἐστι γνωρίσματα καὶ ἀλλήλοις μαρτυρεῖ τά τε ἀπὸ τῆς ἀρχῆς πεφυκότα τῇ τῆς ἀρχῆς ἀρετῇ τε καὶ κακίᾳ καὶ ἡ ἀρχὴ τοῖς ἀπὸ αὐτῆς.

λϐ'. Περὶ τῶν ἡγεμονικῶν ἐνεργειῶν.

1 Ἡ μέντοι τῶν ἡγεμονικῶν ἐνεργειῶν ἀρετή τε καὶ κακία μόνης
ἐστὶ τῆς ἀρχῆς αὐτῆς κατὰ ἑαυτὴν γνωρίσματα· καλῶ δὲ τοίνυν ἡγε-
2 μονικὰς ἐνεργείας τὰς ὑπὸ τῆς ἀρχῆς μόνης γινομένας. Ἀγχίνοια
μὲν οὖν λεπτομεροῦς οὐσίας γνώρισμα, βραδυτὴς δὲ διανοίας πα-

31. DES ORGANES DES SENS.

1 Pour les parties antérieures de la tête, situées au front, il faut établir les mêmes distinctions que pour les parties postérieures, en faisant attention à sa petitesse, à sa grandeur et à sa forme, ainsi qu'aux sens placés dans cette région, comme la vue, le goût, l'odorat et l'ouïe : en effet, il y a deux séries d'organes qui se servent mutuellement de signes et témoignent l'une en faveur de l'autre : ce sont les organes provenant d'un organe principal qui témoignent de la bonne ou mauvaise condition de cet organe, et ce même organe témoigne à son tour en faveur de la condition de ceux qui y prennent leur origine.

32. DES FONCTIONS DIRECTRICES.

1 Le bon ou le mauvais état des fonctions directrices sont des signes
qui se rapportent uniquement à la partie principale, considérée en elle-
même; or j'appelle fonctions directrices celles qui sont uniquement du
2 ressort de la partie principale. La pénétration donc est un signe de
la subtilité de la substance de la partie principale, et la lenteur de

Ch. 31, l. 6. ἡ om. FG. — Ch. 32, l. 8. γνώρισμα Gal.

χυμεροῦς, εὐμάθεια δὲ εὐτυπώτου, καὶ μνήμη μονίμου· οὕτω δὲ καὶ
ἡ μὲν δυσμάθεια δυσ7υπώτου, ἡ δὲ ἐπιλησμοσύνη ῥεούσης, καὶ τὸ
μὲν εὐμετάϐολον ἐν δόξαις Θερμῆς, τὸ δὲ μόνιμον ψυχρᾶς. Ἔτι μοι 3
δοκῶ λείπεσθαι δύο γένη γνωρισμάτων ὧν ἐξ ἀρχῆς ὑπεσχόμην
ἐρεῖν, ἓν μὲν τὸ τῶν φυσικῶν ἐνεργειῶν, ἕτερον δὲ τὸ τῶν ἔξωθεν
ϖροσπιπ7όντων· ἔσ7αι δὲ κοινὸς ὑπὲρ ἀμφοῖν ὁ λόγος, οὗ ἀρχὴ μέν
ἐσ7ιν ἃ καὶ ὁποῖά εἰσι τὰ ϖρῶτα εὐκράτου ἐγκεφάλου κράσεως τὰ
γνωρίσματα· ἔπειτα δὲ καὶ τὰς συνθέσεις ἃς καὶ ταύτῃ ἐδιδάξαμεν
[καὶ] τὰς ἐννοίας τούτων ϖάντων.

λγ'. Περὶ τῶν ἄλλων μορίων καὶ ὅτι ἀτονία γίνεται κατὰ δυσκρασίαν.

Τὰ δὲ ἄλλα μόρια τοῦ ζώου τὰ ἐντὸς ἀμυδρὰ τῆς κράσεως ἔχει 1
τὰ γνωρίσματα· ϖειρατέον δὲ ὅμως αὐτὰ διά τε τῶν ὠφελούντων

l'intelligence est une preuve de son épaisseur; la facilité à apprendre
prouve qu'elle est facile à modeler, et la bonté de la mémoire qu'elle
est solide; de même, la difficulté à apprendre prouve qu'elle se modèle difficilement, et la tendance à oublier est une preuve de sa mobilité; enfin la facilité à changer d'opinion indique sa chaleur, et la persistance dans les opinions son tempérament froid. Il me semble qu'il 3
manque encore deux des espèces de signes dont nous avions promis de parler dès le commencement; l'une se rapporte aux fonctions naturelles, et l'autre aux influences extérieures; nous parlerons simultanément de ces deux espèces de signes, et, pour traiter ce sujet, nous commencerons par dire quels sont les signes primitifs du bon tempérament du cerveau, et comment ces signes sont faits, ensuite nous devrons traiter des combinaisons de ces signes, combinaisons dont nous avons déjà parlé dans ce livre, ainsi que de la valeur de tous ces signes.

33. DES AUTRES PARTIES, ET QUE LA FAIBLESSE TIENT AU MAUVAIS TEMPÉRAMENT.

Les autres parties de l'économie, c'est-à-dire les parties internes, ne 1
fournissent que des signes obscurs pour reconnaître leur tempérament; néanmoins il faut essayer de le reconnaître à l'aide des influences avan-

2. διαῤῥεούσης Gal. — 3. μέν om. F. — 6. ἔσ7ι F. — 6-9. οὗ..... ϖάντων om. Gal. — 8-9. ἃς..... ϖάντων om. G. — 9. [καί] ex em.; om. F.

καὶ βλαπτόντων διαγινώσκειν, ἔτι τε καὶ κατὰ τὰς τῶν φυσικῶν
δυνάμεων ἐνεργείας ἃς καὶ προείπομεν. Ἀλλὰ καὶ αἱ βραχεῖαι δυσ- 2
κρασίαι λανθάνουσαι τοὺς πολλοὺς ἀτονία πρὸς αὐτῶν ὀνομάζονται· φλεγμονῆς μὲν γάρ, ἢ ἕλκους, ἤ τινος ἄλλου τοιούτου κατὰ τὴν κοιλίαν ὑπάρχοντος, οὐδεμίαν ἑτέραν ἐπιζητοῦσι τοῦ μὴ πέττειν αἰτίαν· εἰ δὲ μηδὲν εἴη τῶν τοιούτων, ἀτονίαν εἶναί φασι τῆς κοιλίας, ὥσπερ ἕτερόν τι λέγοντες αὐτοῦ τοῦ φανερῶς γινομένου, τοῦ μὴ πέττεσθαι καλῶς τὰ σιτία· τί γὰρ ἄλλο τὴν ἀτονίαν ἄν τις αὐτοὺς ὑπολάβοι λέγειν πλὴν τῆς περὶ τὴν ἐνέργειαν ἀῤῥωστίας;
Ἀλλὰ οὐ τοῦτό ἐστι τὸ ζητούμενον, ἀλλὰ τίς ἡ ταύτης αἰτία τῆς 3
ἀτονίας, καὶ τίνα κράσεως γαστρὸς τὰ γνωρίσματα, ὥστε χρὴ γινώσκειν ἐκ τούτου, καὶ γαστρὸς ἀτονίαν καὶ φλεβὸς καὶ ἀρτηρίας καὶ μυὸς, καὶ παντὸς ἁπλῶς ὀργάνου διά τινα δυσκρασίαν ἀναγκαίως γίνεσθαι.

tageuses et nuisibles, et, de plus, d'après les fonctions des forces natu-
relles dont nous avons déjà parlé. Mais les détériorations peu considé- 2
rables du tempérament échappent aux médecins vulgaires, et ils leur donnent le nom de faiblesse : en effet, s'il y a à l'estomac une inflammation, un ulcère, ou quelque autre accident analogue, ils ne cherchent aucune autre cause de l'absence de digestion; mais, s'il n'existe rien de semblable, ils disent qu'il y a faiblesse de l'estomac, comme si, en parlant ainsi, ils énonçaient quelque chose de plus que ce qui a lieu manifestement, c'est-à-dire l'absence d'une bonne digestion des aliments : en effet, quel autre état que la langueur des fonctions de cet organe
supposerait-on qu'ils pussent désigner par le mot de faiblesse? Mais ce 3
n'est pas là ce qu'il faut chercher; c'est, au contraire, la cause de cette faiblesse, et quels sont les signes pour reconnaître le tempérament de l'estomac : conséquemment à ce que nous venons de dire, on reconnaîtra donc que la faiblesse de l'estomac, d'une veine, d'une artère, d'un muscle, ou, en un mot, de tout organe, quel qu'il soit, tient nécessairement à quelque vice de tempérament.

1. κατά om. FG. — 2. ἃς καὶ προείπομεν om. G Gal. — Ib. αἱ om. F. — 3. ἀτονίαι Gal. — 4. φλεγμονῆς γὰρ ἕλκους FG. — Ib. τοιούτου om. F. — 6. εἰ] ἐπεὶ F; ἐπί G. — 8. ἔτι FG. — 11. καὶ..... γνωρίσματα om. G Gal. — Ib. τίνα conj.; om. F. — 12. φλεβὸς ἀρτηρίαν FG.

λδ'. Περὶ τῶν ἐν τοῖς συμπ7ώμασιν αἰτιῶν.

Σπασμὸς δὲ καὶ τρόμος καὶ παλμὸς καὶ ῥῖγος καὶ φρίκη καὶ 1
λύγγες καὶ βῆχες, ἐρυγαί τε καὶ π7αρμοὶ καὶ σκορδινισμοὶ καὶ χά-
σμαι καὶ τρισμοὶ κοινὸν μὲν ἅπαντα γένος ἔχει κίνησιν πλημμελῆ
τῶν μυῶν, διενήνοχε δὲ ἀλλήλων τῷ τὰ μὲν αὐτῶν ἔργα φύσεως εἶ-
ναι βιαίως ἀναγκαζομένης κινεῖσθαι πρός τινος αἰτίου νοσεροῦ, τὰ
δὲ νοσώδεσιν ἕπεσθαι διαθέσεσιν, οὐδὲν εἰς τὴν γένεσιν αὐτῶν
συμπρατ7ούσης τῆς φύσεως, ἔνια δὲ ὑπὸ ἀμφοῖν γίνεται, τοῦ τε νο-
σήματος ἅμα καὶ τῆς φύσεως ἐνεργούντων. Ταύτης μὲν οὖν τῆς δυ- 2
νάμεως ἔργα π7αρμὸς καὶ βῆχες καὶ χάσμαι καὶ σκορδινισμοὶ καὶ
λύγγες· μόνου δὲ τοῦ νοσήματος ἐνεργοῦντος παλμὸς καὶ σπασμός·
ἄμφω δὲ συνιόντων, τοῦ τε νοσήματος καὶ τῆς δυνάμεως, αἵ τε ναρ-
κώδεις ἅπασαι κινήσεις καὶ παράλυσις, καὶ προσέτι τρόμος. Προαι- 3
ρετικῆς μὲν οὖν ἐνεργείας βλάβη παράλυσίς τε καὶ σπασμὸς καὶ

34. DES CAUSES DES SYMPTÔMES.

Les convulsions, les tremblements, les palpitations, les frissons, les 1
horripilations, le hoquet, la toux, les éructations, les éternuments, les
extensions des membres, les bâillements et le serrement des mâchoires,
se rapportent tous à un genre commun qui consiste dans la perversion
du mouvement des muscles; mais ils diffèrent entre eux en ce que quel-
ques-uns de ces symptômes sont des actes de la nature forcée par quelque
cause morbide à se mouvoir avec violence, tandis que d'autres sont les
conséquences d'un état morbide, sans que la nature contribue en rien
à leur formation; quelques-uns, enfin, dépendent de ces deux causes à
la fois, de la maladie et de l'activité de la nature. L'éternument, la 2
toux, les bâillements, les extensions des membres et le hoquet sont donc
des œuvres de cette force; les palpitations et les convulsions tiennent, au
contraire, uniquement à l'activité de la maladie, tandis que toute tor-
peur du mouvement provient, ainsi que la paralysie, et, de plus, le
tremblement, de l'action combinée des deux causes, de la maladie et de
la force. La paralysie, les convulsions, les tremblements et la torpeur sont 3

Ch. 34, l. 4. τῶν μυῶν om. Gal. — ἐνεργοῦντος F; ἐνεργοῦντι G. — 11. Ib. αὐτῶν ἔν τε αὐτοῖς ἔργα F. — 8. συνιόντος FG.

τρόμος καὶ νάρκη, ποικίλλεται δὲ ἐν τοῖς κατὰ μέρος ὀργάνοις ἕκασῖον τῶν εἰρημένων οὐ τῇ τῶν συμπῖωμάτων ἰδέᾳ μόνῃ, ἀλλὰ καὶ ταῖς προσηγορίαις· ἡ μὲν γὰρ τῶν τὴν ἀναπνοὴν ἐργαζομένων ὀργάνων παράλυσις ἄπνοια, καθάπερ γε καὶ ἡ τῶν τὴν Φωνὴν ἀφωνία προσαγορεύεται· ἄπνοια δὲ καὶ ἀφωνία οὐ προαιρετικῆς ἐνεργείας, ἀλλὰ Φυσικῆς ἐσῖιν ἀπώλεια· τὸ γὰρ ἐκρεῖν ἀκουσίως τὰ οὖρα προαιρετικῆς ἐνεργείας βλάβη· ὁμοίως καὶ ἐπὶ τῶν διαχωρημάτων ἡ μὲν ἐπίσχεσις Φυσικῆς, ἡ δὲ ἀκούσιος ἔκκρισις προαιρετικῆς ἐνεργείας βλάβη.

λε'. Περὶ τρόμου.

1 Κατὰ δὲ τοὺς τρόμους ἀκούσης αὐτῆς ὑποῤῥεῖ τὸ κῶλον κάτω, καὶ Φανερῶς γε ἐσῖι θεάσασθαι τὴν μάχην αὐτῶν, οὔτε τῆς δυνάμεως ἐπιτρεπούσης κατενεχθῆναι τὸ κῶλον ὡς ἐν ταῖς παραλύσε-

donc des lésions des fonctions volontaires; mais chacun des symptômes dont nous venons de parler présente beaucoup de variété dans les différents organes particuliers, non-seulement par rapport à la forme des accidents, mais aussi par rapport à leur dénomination : ainsi, on appelle *apnée* la paralysie des organes qui accomplissent la respiration, et de même *aphonie* celle des organes qui forment la voix; mais l'apnée et l'aphonie consistent, non pas dans l'abolition d'une fonction volontaire, mais dans l'abolition d'une fonction naturelle; car l'écoulement involontaire de l'urine est une lésion d'une fonction volontaire; il en est de même pour les selles, dont la rétention constitue une lésion d'une fonction naturelle, tandis que leur écoulement involontaire est une lésion d'une fonction volontaire.

35. DU TREMBLEMENT.

1 Pendant le tremblement, le membre retombe en dépit de la force, et on peut voir manifestement la lutte entre les deux influences, la force ne souffrant pas que le membre se porte en bas, comme cela a lieu dans

1. ποικίλαι τε ἐν FG. — 2. μόνον Gal. — 6. ἐκκρυεῖν F. — Ib. ἑκουσίως F. — Ch. 35, l. 10. ἀκουσίως G; ἀκουσον F.

σιν, οὔτε τοῦ βάρους συγχωροῦντος τῇ δυνάμει φυλάττειν οὕτω
μετέωρον. Ἐναλλὰξ γοῦν τῆς δυνάμεως νικώσης τε καὶ νικωμένης, 2
καὶ διαδεχομένων ἀλλήλας τῶν κινήσεων, τῆς μὲν δυνάμεως κουφοτά-
της οὔσης, τοῦ δὲ νοσήματος ἀνθέλκοντος, ὁ τρόμος γίνεται. Ἔνεστι 3
γοῦν θεάσασθαι ἰσχυροτάτους νεανίας ἀραμένους ἐν τοῖς ὤμοις μέγιστον βάρος, εἶτα ἐν τῷ προϊέναι τρέμοντας τοῖς σκέλεσιν, εἰ παύσαιντο δὲ βαδίζοντες, ἢ τὸ φορτίον ἀποῤῥίψειαν, εὐθὺς ἀτρόμους γινομένους· ἐπειδὴ γὰρ ἐν τῷ πρός τι τὸ βαρὺ καὶ κοῦφόν ἐστιν, εἴη ἄν τι καὶ τὸ φορτίον οὕτω μέγιστον ὡς καὶ τοῖς ἰσχυρο-
τάτοις εἶναι βαρύ. Τὴν μὲν οὖν εὔρωστον δύναμιν τὸ μέγιστον 4
φορτίον νικᾷ, τὴν δὲ μὴ τοιαύτην οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ σμικρόν· εἰ δὲ ἐπὶ πλεῖστον ἀῤῥωστήσειεν, αὐτὸ τὸ σύμφυτον αὐτῆς σῶμα βαρύνει δίκην φορτίου, καὶ διὰ τοῦτο οἱ γέροντες, ὅταν

les paralysies, tandis que la pesanteur ne permet pas à la force de le te-
nir tout simplement suspendu. Lors donc que la force est tour à tour 2
victorieuse et vaincue et que les deux mouvements se succèdent alternativement, parce que la force tend vers le haut et que la maladie tire en
sens inverse, le tremblement a lieu. On peut donc voir des jeunes gens 3
très-robustes être pris de tremblement aux jambes en marchant après avoir soulevé sur leurs épaules un fardeau très-considérable; mais on voit que ces jeunes gens cessent de trembler dès l'instant qu'ils arrêtent leur marche, ou qu'ils déposent leur fardeau : en effet, comme la légèreté et la pesanteur sont des notions relatives, il pourra exister un fardeau tellement considérable, qu'il est pesant même pour les gens les
plus robustes. Il faut donc une charge très-considérable pour vaincre 4
une force vigoureuse; mais, une force qui n'est pas dans ces conditions-là est vaincue, non-seulement par une charge ainsi faite, mais aussi par une petite charge, et, si la force est extrêmement affaiblie, le corps même auquel elle est naturellement reliée lui pèse à l'instar d'un fardeau : pour cette raison, les vieillards sont pris de tremblement aux

1. αὐτό Gal. — 2. Ἐναλλάξαι FG. — 3. ἀλλήλων FG. — 3-4. τῆς μὲν..... ἀνθέλκοντος om. Gal. — 5-6. μεγάλου βάρους FG. — 7. παύσατο F; παύσαντες G. — Ib. ἀποῤῥίψειαν ex em.; ἀποῤῥίψαντες Gal.; ἀποῤῥύψοιεν F; ἀποῤῥήψειεν G. — 8. καὶ τὸ κοῦφον FG. — 12. πλέον Gal.

ἐπιχειρήσωσιν ἐνεργείαις σφοδροτέραις, αὐτίκα τρομώδεις γίνονται
5 τοῖς ἐνεργοῦσι μέρεσιν. Οὕτω δὲ καὶ παρὰ κρημνὸν παριών τις
6 τὰ σκέλη τρέμει· καταβάλλει γὰρ τὴν δύναμιν τὸ δέος. Οὕτω δὲ
καὶ θηρίον ἰδών τις ἐπιφερόμενον, ὑποφεύγων τρομώδης καθίστα-
7 ται. Καὶ δὴ καὶ προσιών τις δυνάστῃ φοβερῷ τρέμει παντὶ τῷ
σώματι, καὶ εἰ φθέγξασθαι κελεύσειεν, οὐδὲ τὴν φωνὴν ἄτρομον
ἔχει.

λϛ'. Περὶ φόβου καὶ θυμοῦ καὶ ἀγωνίας.

1 Καὶ γὰρ ὁ μὲν φόβος εἴσω τε καὶ πρὸς τὴν ἀρχὴν ἀπάγει καὶ
συστέλλει τὸ πνεῦμα καὶ τὸ αἷμα σὺν τῷ καταψύχειν τὰ ἐπιπολῆς.
2 Ὁ φόβος οὖν συστολὴν ἄγει τοῦ παντὸς σώματος, ἡ δὲ συστολὴ
λιποθυμίαν, ἡ δὲ λιποθυμία ἔκλυσιν, ἡ δὲ ἔκλυσις συγκοπήν, ἡ δὲ
συγκοπὴ πάντως θάνατον ἐπιφέρει· ὁ δέ γε θυμὸς πάλιν ζέσις

parties qu'ils mettent en activité, dès l'instant qu'ils entreprennent de se
5 livrer à des efforts plus ou moins violents. De même, un individu qui
passe le long d'un précipice est pris de tremblement aux jambes, parce
6 que la peur abat la force. De même encore, un individu qui se voit atta-
qué par une bête sauvage est pris de tremblement au moment où il se
7 met en fuite. Enfin, un individu qui s'approche d'un souverain redou-
table tremble de tout son corps, et, si ce souverain lui ordonne de parler,
sa voix même n'est pas exempte de tremblement.

36. DE LA PEUR, DE LA COLÈRE ET DE L'ANXIÉTÉ.

1 En effet, la peur contracte le pneuma et le sang, et les ramène vers l'in-
térieur et vers le principe, en même temps qu'elle refroidit les parties
2 superficielles. La peur amène donc une contraction de tout le corps, la
contraction amène une défaillance, la défaillance l'épuisement, l'épui-
sement la syncope, et la syncope donne nécessairement lieu à la mort;
la colère, au contraire, est une ébullition du sang dans le voisinage du

3. δέ om. Gal. — 5. τις om. FG. — 6. ἄτρυφον F. — Ch. 36, l. 11. λειποθ. F, et sic sæpius. — Ib. ἔγκλησιν et ἔγκλησις F.

ἐστὶ τοῦ περικαρδίου αἵματος· οὗτος ἀπὸ τῆς ὕλης· ἄλλοι δὲ πάλιν φασὶν ὅτι θυμός ἐστι ζέσις ἄμετρος τῆς θυμοειδοῦς οὐσίας· οὗτος ἀπὸ τῆς δυνάμεως· καὶ γὰρ ὁ θυμὸς ἀποτείνει καὶ χεῖ καὶ θερμαίνει· τὸ δὲ ἀγωνιᾷν ὀνομαζόμενον ἀνώμαλόν ἐστι ταῖς κινήσεσιν. Καὶ τοίνυν καὶ οἱ σφυγμοὶ σμικρότατοί τε καὶ ἀτονώτατοι γίνονται τοῖς φοβιζομένοις, μέγιστοι δὲ καὶ σφοδρότατοι τοῖς θυμωμένοις, ἀνώμαλοι δὲ τοῖς ἀγωνιῶσιν.

λζ'. Περὶ δυσκρασίας.

Ἅπασαι μὲν οὖν αἱ μεγάλαι δυσκρασίαι καταβάλλουσι τὴν δύνα- 1
μιν, ἀλλὰ αἱ μὲν ἐπὶ τῷ ψυχρῷ κρατοῦντι τὰ ψυχρὰ τῶν παθῶν ἐργάζεσθαι πεφύκασιν, αἱ δὲ ἐπὶ τῷ θερμῷ τἀναντία· αἱ γὰρ ἐπὶ πλεῖον ἐκτροπαὶ τῆς δυσκρασίας ἀτονίας εἰσὶν αἴτιαι τοῖς πεπονθόσι μορίοις.

cœur; c'est là une définition empruntée à la matière; d'autres disent à leur tour que la colère est une ébullition démesurée de la substance passionnée; c'est là une définition empruntée à la force, car la colère dissipe les humeurs, les liquéfie et les échauffe; enfin, ce qu'on appelle anxiété donne lieu à des mouvements inégaux. Le pouls devient donc 3
très-petit et très-faible chez les gens effrayés, très-grand et très-fort chez les gens en proie à la colère, et inégal chez les individus saisis d'anxiété.

37. DU MAUVAIS TEMPÉRAMENT.

Toutes les grandes détériorations du tempérament abattent les forces; 1
15 ἐκπνοὴν, ἀψοφητὶ κενοῦται τὸ πνεῦμα. Θαυμασ7ὸν δὲ οὐδὲν εἰ τὴν αὐτὴν ἰδέαν ἴσχει τῆς κενώσεως ὁ ἀὴρ, ἄν τε ἅπαντες, ἄν τε οἱ κλείοντες μόνοι τὸν λάρυγγα παραλυθῶσι μύες· ἐξ ἐπιμέτρου γὰρ ἡ τῶν ἀνοιγνύντων αὐτὸν ἐν τοῖς τοιούτοις πάθεσι προσέρχεται παράλυσις, οὔτε ἰωμένη τὴν ἐκ τῶν παραλυθέντων βλάβην, οὔτε ἐπαυξάνουσα· τὸ γὰρ ἐπὶ πλεῖσ7ον ἀνοίγνυσθαι τὸν πόρον τοῦ πνεύματος ἐν ταῖς ἐκφυσήσεσιν ἀμφοτέραις ὑπάρχει ταῖς διαθέσεσιν· ἄν τε γὰρ ἐνεργῶσιν οἱ διασ7έλλοντες τὸν λάρυγγα μύες, ἄν τε παραλυθῶσιν, ὡσαύτως ὅλος ὑπὸ τῆς ἐκφυσήσεως ἀναπετάννυται· πάσχων δὲ τοῦτο σὺν μὲν χαλαρᾷ τῇ φάρυγγι τὸ καλούμενον ἄζειν
16 ἐργάζεται· ταθείσης δὲ βραγχώδη τὸν ψόφον ἀποτελεῖ. Τὸ δὲ ἧττόν τε καὶ μᾶλλον ἐν τῷ βραγχώδει ταῖς τῆς φάρυγγος ὑγρότησιν ἕπεται· ξηρᾶς μὲν γὰρ οὔσης αὐτῆς ἧτ7ον βραγχώδης· ὑγρανθεί-

lorsqu'il accomplit tout simplement une expiration exempte de violence,
15 l'air est évacué sans bruit. Il n'y a rien d'étonnant que la forme de l'émission de l'air reste la même, si on paralyse tous les muscles du larynx, ou seulement ceux qui ferment cet organe, puisque, dans ces affections-là, la paralysie des muscles qui ouvrent le larynx est une lésion surajoutée, laquelle ne saurait ni redresser, ni augmenter le mal causé par la paralysie des autres muscles : car, dans les deux conditions, la dilatation des voies aériennes poussée jusqu'au suprême degré existe en cas d'exsufflation : en effet, que les muscles qui dilatent le larynx agissent ou qu'ils soient paralysés, l'exsufflation déploie de la même manière toutes les voies aériennes; or, si cette altération se trouve combinée au relâchement du pharynx, elle produit ce qu'on appelle *voix haletante;* si, au
16 contraire, le pharynx est tendu, elle donne lieu à un son rauque. Les différences graduelles dans la raucité sont sous la dépendance de l'humidité du pharynx : en effet, quand cet organe est sec, la voix est moins

1. εἴ θ' ἁπλῶς V. — 2. ἢ τήν F; εἰς τήν V. — 3. πάντες V. — 5. οἱ F. — Ib. τοιούτ. δὲ πάθ. F. — 6-7. ἐπαυξάνεσθαι F. — 7. πλεῖσ7ον (lac.) πος τοῦ V. — 7-8. πνεύματος conj.; πνεύμονος FV. — 8. ὑπάρχειν V. — 9. διασ7είλαντες V. — 10. φυσήσεως F. — 13. τε om. F.

σης δὲ μᾶλλον. Εἰ δὲ εἰς τὸν λάρυγγα συμβαίη διαδοθῆναι τὴν ὑγρό- 17
τητα, κἂν ἐνεργῶσιν ὥσπερ προσῆκεν οἱ τοῦ λάρυγγος μύες, ἡ
φωνὴ βραγχώδης γενήσεται· σφοδρυνθέντος δὲ ἐπὶ μᾶλλον τοῦ κα-
τάῤῥου, τελέως ἀπόλλυσθαι συμβαίνει τὴν φωνήν, ἢ μικρὸν καὶ δασὺ
καὶ μέλαν γίνεσθαι τὸ φώνημα· καλοῦσι γὰρ οὕτως αὐτὸ μουσικῶν
παῖδες. Χωρὶς δὲ τῶν μεσοπλευρίων μυῶν οὔτε ἐκφύσησις, οὔτε φωνὴ 18
γενέσθαι δύναται. Σαφῶς γοῦν ἐθεάσω κατὰ τὸν ἀριθμὸν τῆς βλά- 19
βης τῶν μεσοπλευρίων μυῶν ἀνάλογον ἀπολλύμενόν τι τῆς φωνῆς·
τοσοῦτον γὰρ ἀεὶ μέρος ἀπόλλυται τῆς φωνῆς ὅλης ἡλίκον ἐσῖὶ μό-
ριον ὁ τῶν παραλυθέντων μυῶν ἀριθμὸς ἅπαντος τοῦ κατὰ τὰ με-
σοπλεύρια. Ἐθεάσω δὲ αὐτὸ τετραχῶς δεικνύμενον ὑπὸ ἡμῶν, ἅπαξ 20
μὲν ἐπὶ ταῖς τοῦ νωτιαίου τομαῖς, αὖθις δὲ ἐπὶ ταῖς τῶν μεσοπλευ-
ρίων μυῶν, τὸ τρίτον δὲ ἐπὶ τῶν κινούντων αὐτοὺς νεύρων, καὶ τέ-
ταρτον ἐκκοπῖομένων τῶν πλευρῶν. Ὥσπερ δὲ τῆς φωνῆς ἡ ἐκφύ- 21

rauque; quand, au contraire, il est humecté, elle l'est davantage. S'il 17
advient que l'humidité pénètre jusque dans le larynx, la voix deviendra
rauque, même quand les muscles du larynx agissent comme il faut; si
le catarrhe augmente encore, il arrive que la voix se perd entièrement,
ou que le son devient grêle, rude et *sombre* (voyez plus bas p. 246, l. 9);
car c'est par ce mot-là que les musiciens désignent la voix dont il s'agit.
Mais, sans l'intervention des muscles intercostaux, il est impossible qu'il y 18
ait, soit exsufflation, soit émission de la voix. En effet, vous avez vu clai- 19
rement que la partie de la voix qui se perd est proportionnelle à la me-
sure de la lésion des muscles intercostaux : car il existe toujours, entre la
partie de la voix qui se perd et la voix tout entière, la même relation
qu'entre le nombre des muscles paralysés et le nombre entier des muscles
intercostaux. Vous m'avez vu démontrer ce fait de quatre manières : une 20
première fois par la section de la moelle épinière, une autre fois par celle
des muscles intercostaux, la troisième en coupant les nerfs qui mettent
ces muscles en mouvement, et la quatrième par l'excision des côtes. De 21
même que l'exsufflation est, pour ainsi dire, la cause matérielle propre

1. Οὐδ' εἰς τόν V. — 3. γίνεται V. — 4. συμβαίη F. — Ib. φωνὴν ὡς μικρόν V. — 5. μέλαν] μᾶλλον F. — 9. ἀεί om. V. — 10. ἁπάντων τῶν V. — Ib. τά om. F. — 12. ἐπὶ τοῦ V. — 13. τό om. V. — 14. δέ om. V. — Ib. ἡ om. F.

σησις ὕλη τίς ἐστιν οἰκεία, κατὰ τὸν αὐτὸν τρόπον ἡ φωνὴ τῆς
διαλέκτου· γίνεται γὰρ ἡ μὲν ἐκφύσησις ἀνεῳγμένου συμμέτρως
τοῦ λάρυγγος φωνὴ, αὕτη δὲ αὖ πάλιν ἡ φωνὴ πρός τε τῆς γλώττης
καὶ τῶν συνεργούντων αὐτῇ, περὶ ὧν αὖθις εἰρήσεται, διάλεκτος
22 ἀποτελεῖται. Πλήττεται γοῦν τὸ πνεῦμα καὶ πληττόμενον ὑπὸ τῶν
τοῦ λάρυγγος χόνδρων ἐργάζεται τὴν φωνήν· πλήττει δὲ αὐτὸ καὶ ἡ
ἀρτηρία· καὶ γὰρ ταύτῃ περιῤῥήγνυται· καὶ ἡ φάρυγξ δὲ καὶ ὁ γαρ-
23 γαρεὼν καὶ ἡ ὑπερῴα σύμπασα. Καὶ ὁ οὐρανίσκος ἅμα τῇ κατὰ τοὺς
μυκτῆρας διεξόδῳ πληγὴν ἀπεργάζεται τῷ πνεύματι, καὶ ὁ τῆς
πληγῆς ψόφος ἐγγὺς μὲν ἥκει ζῴου φωνῆς· οὔπω μὴν ἔχει τὸν
οἰκεῖον κόσμον, οὐδὲ τὴν πρέπουσαν ἰδέαν ἄνευ τῆς κατὰ τὸν λά-
ρυγγα πληγῆς· ἠχεῖον γάρ τι τοῦτο κατὰ τῆς ἀρτηρίας ἐπίκειται
θαυμάσιον οἷον εἰς τὸ πλήττεσθαί τε ἅμα καὶ πλήττειν τὸν ἐκφυ-
σώμενον ἀέρα· ὡς γὰρ οἷόν τε ἦν μάλιστα τῇ ῥώμῃ τοῦ πνεύματος

de la voix, de même la voix devient à son tour la cause matérielle propre
de la parole : en effet, l'exsufflation devient voix quand le larynx est mo-
dérément ouvert, et cette voix est à son tour transformée en parole par
la langue et par les autres organes qui concourent au même but; mais
22 nous reviendrons plus tard sur ce fait. L'air est donc répercuté par les car-
tilages du larynx, et, au moment même où il est répercuté par eux, il
produit la voix; mais la trachée artère repousse aussi l'air, car il se brise de
tous côtés contre elle; le pharynx, la luette, et tout l'ensemble du pa-
23 lais produisent encore des répercussions de l'air. Enfin, le voile du palais
donne lieu à une répercussion de l'air à l'instant même où il traverse les
narines, et le son de cette répercussion se rapproche d'une voix d'animal;
seulement elle n'a pas encore la perfection spéciale à la voix, ni le timbre
qui lui convient, tant que la répercussion qui se fait dans le larynx n'a pas
lieu : en effet, cet organe est admirablement placé comme un vase sonore
au-dessus de la trachée-artère et fait tout exprès, pour ainsi dire, dans le
but d'être frappé par l'air qu'on expulse en soufflant, en même temps que
pour le répercuter lui-même; car, la nature a construit l'organe de la voix
de façon à rendre, autant que possible, sa résistance proportionnelle à la

4. εἴρηται F.— 5. οὖν V.— 6. πλήττεται δὲ αὐτῷ V. — 9-10. τῆς πληγῆς om. V. — 10. ἥκει] τῆς V. — Ib. μέν V. — 11. τόν om. V. — 12. τοῦτο ex em.; τοῦ F; τούτῳ V. — 14. γάρ om. F.

ἰσοσθενὲς ἀπεργάσασθαι τὸ τῆς φωνῆς ὄργανον, οὕτω παρεσκευά-
σθαι τῇ φύσει μετὰ τοῦ καὶ τὴν οὐσίαν αὐτοῦ χόνδρον οὖσαν ἠχείου
ὀργάνου μουσικοῦ μεμιμῆσθαι. Δηλοῖ δὲ μάλιστα καὶ αὐτοῖς τοῖς 24
πάθεσιν, εἰς ὅσον ἥκει συμμετρίας· ὑγρανθὲν μὲν γὰρ ἐν κατάῤῥοις
βραγχώδη τὴν φωνὴν ἀπεργάζεται· ξηρανθὲν δὲ ἐπὶ πλέον ἐν πυ-
ρετῷ ἣν Ἱπποκράτης ὀνομάζει κλαγγώδη. Συντελεῖ μὲν δὴ μεγάλα 25
καὶ ἡ τῆς οὐσίας τοῦ λάρυγγος συμμετρία πρὸς τὴν τῆς φωνῆς
γένεσιν· ἔτι δὲ μείζω ταύτης ἡ τῶν κινούντων αὐτὸν μυῶν ἐνέργεια·
πλέον μὲν γὰρ ἢ προσήκει τοῦ λάρυγγος εὐρυνθέντος ἐκλυθήσεται
μὲν τὸ τάχος τῆς ἐκφυσήσεως, συνδιαφθαρήσεται δὲ αὐτῷ τοῦ πνεύ-
ματος ὁ τόνος, ἄῤῥωστος δὲ ἡ πληγὴ γενήσεται, τῶν ἀνθισταμένων
τῷ πνεύματι χόνδρων ἀποχωρησάντων ἐπὶ πλέον· εἰ δέ γε ἀμε-
τρότερον συσταλείη, τάχος μὲν καὶ ῥώμην ἡ ἐκφύσησις ἕξει, καὶ
πλήξει τε καὶ κινήσει βιαίως, ἀλλὰ ὀλίγον ἔξω φερόμενον τὸ πνεῦμα

puissance de l'air, en s'arrangeant en même temps pour que la substance
de cet organe, laquelle est constituée par du cartilage, imitât les parois
sonores des instruments de musique. C'est surtout par les maladies que 24
la nature nous enseigne le degré d'exactitude qu'atteint cette proportion:
en effet, quand cet organe devient trop humide dans les catarrhes, il produit
la voix rauque, et, quand il devient trop sec dans la fièvre, il donne lieu à
l'espèce de voix qu'Hippocrate appelle *retentissante* (cf. *Prorrhet.* I, 19). La 25
condition moyenne de la substance du larynx entre donc pour beaucoup
dans la formation de la voix, mais l'activité des muscles qui mettent cet
organe en mouvement y a une part bien plus grande encore : en effet,
quand le larynx est plus fortement dilaté qu'il ne le faut, la rapidité de
l'exsufflation faiblira, la vigueur de l'air disparaîtra avec elle et sa réper-
cussion deviendra peu intense, puisque les cartilages qui lui résistent
se seront trop fortement écartés; si, au contraire, le larynx est rétréci
d'une manière trop démesurée, l'exsufflation sera douée, il est vrai,
de rapidité et de vigueur; elle frappera avec véhémence et produira des
mouvements violents; mais, comme l'air qui se porte au dehors est en

1-2. παρεσκεύασθο V. — 2. οὐσίαν ex em.; ὄν V. — Ib. μεγάλως V. — 8. αὖ χόνδ. V. — 4. γάρ om. V. — 5-6. αὐτῶν F. — 10. μὲν γάρ τό F. — 12. ἐν πυρ..... ὀνομάζει om. F. — 6. ἥν γε om. V.

μικρὰν ἐργάζεται τὴν φωνήν· οὐ γὰρ οἷόν τε μεγάλην γενέσθαι φωνὴν χωρὶς τοῦ συναυξηθῆναι κατὰ ἴσον ἄμφω τὰ πρώτως συνιστάντα τὴν οὐσίαν αὐτῆς· ἕκαστον γὰρ τῶν ὄντων μέγα γίνεται κατὰ τὴν οἰκείαν οὐσίαν αὐξανόμενον· οἰκεία δὲ ἦν οὐσία φωνῆς πνεῦμα καὶ πληγὴ, τὸ μὲν οἷον ὕλη τις, τὸ δὲ οἷον εἶδος ἐν ὕλῃ.
26 Καὶ τοίνυν καὶ ὅπως ἡ μεγίστη κατὰ ἕκαστον ζῷον γίνεται φωνὴ, σαφὲς ἤδη γέγονεν· ὅταν γὰρ ὁ μὲν θώραξ πᾶσι τοῖς μυσὶν ἐνεργήσῃ σφόδρα, τῷ δὲ ἔξω φερομένῳ πνεύματι πλείστῳ τε ἅμα καὶ ἰσχυροτάτῳ κατὰ τὴν τοιαύτην ἐνέργειαν ὑπάρχοντι τό τε εὖρος ὁμότιμον ᾖ τοῦ λάρυγγος, ἰσοσθενὴς δὲ ἡ πληγὴ, μεγίστην οὕτως ἀναγκαῖον γενέσθαι τὴν φωνήν· εἰ δὲ ἤτοι στενώτερος ὁ πόρος, ἢ εὐρύτερος εἴη τοῦ πνεύματος, ἐπὶ μὲν τῷ στενωτέρῳ ταχεῖάν τε ἅμα καὶ εὐτονωτέραν ἀνάγκη γενέσθαι τὴν φωνήν· ἐπὶ δὲ θατέρῳ τἀναντία βραδεῖάν τε καὶ ἀτονωτέραν, ἀμφοτέρας δὲ μικροτέρας εἰς

petite quantité, il produira une petite voix; car il n'est pas possible qu'il se forme une voix grande sans que les deux éléments qui constituent en premier lieu la substance de la voix subissent une augmentation égale d'intensité; car chaque chose, quelle qu'elle soit, grandit à mesure de l'augmentation de sa substance propre; or la substance propre de la voix est l'air et la répercussion, la première comme une espèce de matière,
26 l'autre comme forme contenue dans la matière. Maintenant, il est déjà devenu clair pour nous comment se forme, chez chaque animal, la voix la plus grande possible : en effet, quand la poitrine entre, à l'aide de tous ses muscles, dans une activité intense, quand l'ampleur du larynx est en raison à la fois de la quantité très-grande et de la vigueur très-prononcée de l'air propres à une telle activité, quand la répercussion opérée par cet organe répond, eu égard à son intensité, à la force de cet air, il doit se former indispensablement, de cette manière, une voix très-grande; mais, quand les voies aériennes sont ou trop étroites, ou trop larges, la voix, en cas d'étroitesse, gagnera nécessairement en rapidité et en force, tandis que, dans l'autre cas, elle deviendra lente et trop faible; mais, dans les deux cas, elle deviendra d'autant plus petite que les con-

2. συναυξυνθῆναι F, et sic sæpius. — 4. ἦν om. F. — 5. εἶδος om. F. — 6. τοίνυν ὅπως V. — 12. στενωτάτῳ V. — 13. εἰ δ' ἐπὶ θάτερον V.

τοσοῦτον εἰς ὅσον ἂν ἀποχωρήσωσιν ἐκείνης τοῦ λάρυγγος τῆς κατασῖάσεως, ᾗ τις εἰργάζετο μεγίσῖην Φωνήν. Ἀλλὰ ἐπεὶ δέδεικται 27 πρόσθεν ἀναγκαῖον ὑπάρχειν εἰς γένεσιν Φωνῆς αὐξηθῆναι τῆς Φορᾶς τοῦ πνεύματος τὸ τάχος, αὐξάνεσθαι δὲ ἐδείκνυτο κατὰ τὰς σῖενωτέρας τῶν ὁδῶν, εὐλόγως ἡ Φύσις ἔνδον τοῦ λάρυγγος εἰργάσατο τοιοῦτον ἀκριβῶς ὄργανον, οἷόν περ ἐν τοῖς αὐλοῖς ἐσῖιν ἡ γλωττίς· τὸ κάτω μὲν γὰρ αὐτῆς πέρας ἀκριβῶς ἐσῖι σῖενόν· ἄνω δὲ εὐρύνεται πρὸς τὴν τῆς Φωνῆς γένεσιν ἐπιτηδείως· ἐπίκειται δὲ ἐφεξῆς ἄνωθεν μὲν τῆς γλωτῖίδος τὸ πέρας τοῦ λάρυγγος, ἐφεξῆς δὲ ἡ Φάρυγξ, εἶτα ἑξῆς δίκην ἠχείου τινὸς ὁ τοῦ σῖόματος οὐρανός. Τοῦ δὲ μὴ κλείεσθαι τὴν γλωτῖίδα Φωνούντων σφοδρῶς αἴτιοι μάλισῖά εἰσιν οἱ ἔνδον ἐν αὐτῷ τῷ πόρῳ λοξοὶ μύες, κατὰ ὧν ἡ γλωττὶς ἐπιβέβληται, κυριώτατοι τῶν κατὰ τὸν λάρυγγα μυῶν πάντων ὄντες· ἐν γὰρ τῷ Φθάσαι ποτὲ τοῖς πλαγίοις αὐτῆς ἐν κύκλῳ πε- 28

ditions de son émission s'écarteront davantage de l'état du larynx propre à produire, ainsi que nous l'avons déjà dit, la voix la plus grande possible. Mais, comme nous avons montré plus haut que l'accroissement 27 de la rapidité du mouvement de l'air est une condition indispensable pour la formation de la voix, et que nous montrions tout à l'heure que cette rapidité augmentait par l'étroitesse du passage, la nature a construit, non sans raison, à l'intérieur du larynx, un organe exactement semblable aux anches qu'on trouve dans les flûtes [antiques] : en effet, l'extrémité inférieure de cet organe est tout à fait mince, tandis qu'en haut il s'élargit conformément aux conditions requises pour la formation de la voix; ensuite l'extrémité du larynx est placée au-dessus de la glotte, puis vient le pharynx, et après cela, comme une table sonore, la voûte du palais. Ce qui empêche principalement la glotte de se 28 fermer pendant les fortes émissions de la voix, ce sont les muscles obliques placés à l'intérieur des voies aériennes, muscles que recouvre la glotte, et qui sont les plus importants de tous ceux du larynx : en effet, le danger que la glotte ne se ferme a lieu dès que l'air, qui se

2. ἐργάζεται V. — 3. ὑπάρχων F. — 5. ἀλόγως V. — 10. ἡ λάρυγξ F. — 11-12. μᾶλλον V. — 12. ἐν om. V. — 13. τόν om. V.

ριχυθέντα τὸν ἄνω Φερόμενον ἀέρα σφίγξαι καὶ θλῖψαι καὶ συνα-
29 γαγεῖν αὐτὴν ἔσω βιαίως ὁ τοῦ κλεισθῆναι κίνδυνος ἕπεται. Τοῦτο οὖν ἡ Φύσις ἐπὶ τῶν ζώων ἐφυλάξατο περιθεῖσα τῇ γλωττίδι τοὺς εἰρημένους μῦς ἀντιβαίνοντας, ἐπειδὰν ταθῶσι, τῇ βίᾳ τοῦ πνεύμα-
30 τος. Οἱ γοῦν πλεῖστοι τῶν ἰσχνοφώνων, ὅταν ἐθέλωσι μέγα Φωνῆσαι, τότε μάλιστα ἐμποδίζονται· γίνεται γὰρ ἡ μεγάλη Φωνὴ, καθάπερ ἐδείχθη πρόσθεν, ἰσχυρῶς μὲν ἐκθλιβομένου τοῦ ἀέρος, ἰσχυρῶς δὲ ἀντιβαινόντων αὐτοῦ τῇ Φορᾷ τῶν τοῦ λάρυγγος μυῶν.
31 Ὅταν οὖν ἀναΦέρηται μὲν ἀθρόως, ἀτονώτεροι δὲ οἱ μύες ὑπάρχωσιν, ἐμπίπτει Φθάνων τοῖς τρήμασιν, εὐρύνων τε τὰς κοιλότητας ἐμφράττει τὸν πόρον· ὅθεν ἔνιοι μὲν ἐξ αὐτῶν ὀλίγον τι κατὰ ἀρχὰς Φθεγξάμενοι, συλλαβῆς μιᾶς που Φθόγγον, ἄφωνοι γίνονται τοὐντεῦθεν· ἐνίοις δὲ παραμένει μικρός τις Φθόγγος, οἷος τοῖς μύζουσι
32 γίνεται. Καὶ Φθέγξασθαί γε τοῖς οὕτως ἐπισχεθεῖσι τὴν Φωνὴν

porte à l'extérieur, tombant parfois avec précipitation de tous les côtés sur les parties latérales de la glotte, serre, presse et ramasse violem-
29 ment cet organe vers l'intérieur. La nature a donc évité ce danger chez les animaux, en plaçant autour de la glotte les muscles susdits, qui, lorsqu'ils se contractent, résistent au mouvement violent de l'air.
30 Aussi la plupart des gens qui bégayent éprouvent surtout de l'embarras lorsqu'ils veulent émettre une grande voix : en effet, la grande voix se produit, ainsi que nous l'avons montré plus haut, quand on exprime fortement l'air et que les muscles du larynx s'opposent fortement aussi à
31 son expulsion. Lors donc que l'air se porte subitement en haut, mais que les muscles sont trop faibles, il commence par tomber sur les trous et bouche le passage en dilatant les ventricules; pour cette raison, quelques bégayeurs, après avoir parlé un instant en commençant et énoncé la valeur à peu près d'une seule syllabe, perdent ensuite la voix; chez quelques-uns, cependant, il reste un petit son semblable à celui des gens qui
32 chuchotent. Aux gens dont la voix s'est arrêtée d'une telle manière, il

5. ἐθελήσωσι V. — 6. ἐμπαγίζονται (lac.) αν (l. λίαν vel ἄγαν) V; ἐμποδ. inter l.— 9. ἀνώτεροι V.— 9-10. ὑπάρχουσιν FV. — 11. κατ' ἀριχᾶς F; om. V. — 13. οἷον V. — Ib. ἄζουσι V. — 14. τε V.

ἀδύνατόν ἐσΊι ϖρὶν ἐκκενῶσαι τῶν κοιλοτήτων τὸ ϖνεῦμα· γενέσθαι δὲ τοῦτο ἀδύνατον εἰ μὴ ϖαύσαιντο τείνοντες τὸν θώρακα· μέχρι γὰρ ἂν ἀναφέρηται βιαίως ὁ ἐκφυσώμενος ἀὴρ, οὐκ ἐπιτρέπει συμπεσεῖν ταῖς κοιλότησιν· εἰ δὲ ἐκλύσειε μὲν ὁ θώραξ τὴν τῆς ἐκφυσήσεως ἐνέργειαν, ἐπὶ ϖλεῖσΊον δὲ ὁ λάρυγξ ὑπὸ τῶν τοῦτο ἔργον ἐχόντων μυῶν ἀνοιχθείη, κενοῦται τηνικαῦτα τῶν κοιλοτήτων αὐτοῦ τὸ ϖνεῦμα· ϖολὺ δὲ δὴ μᾶλλον εἰ ϖρὸς τῷ ϖαύσασθαι τῆς ἐκφυσήσεως ἔτι καὶ διασΊέλλοι τις ἐπὶ βραχὺ τὸν θώρακα· Φερομένου γὰρ ἐπὶ τὸν ϖνεύμονα τοῦ κατὰ τὴν τραχεῖαν ἀρτηρίαν ἀέρος ἐν τῷ καιρῷ τῷδε, συνέπεται τῇ τούτου Φορᾷ καὶ ὁ ἐκ τῶν κοιλοτήτων, εἶτα αὖθις ὅταν ἐντεῖναι μὲν ἰσχυρῶς Φθάσωσι τοὺς κατὰ τὸν λάρυγγα μῦς, συσΊέλλωσι δὲ τὸν θώρακα μὴ ϖάνυ βιαίως, ἔφθασεν οὕτω καὶ ὁ διὰ τῆς γλωτΊίδος ἐκφυσώμενος ἀὴρ Φέρεσθαι διὰ αὐτῆς ἔξω ϖρὶν ἐμπεσεῖν ταῖς κοιλίαις, κἂν τούτῳ λοιπὸν ἀλύ-

est impossible de parler avant d'avoir évacué l'air des ventricules; or cela ne saurait se faire, s'ils ne cessent de tendre la poitrine : en effet, aussi longtemps que l'air expulsé par l'exsufflation se porte violemment en haut, il ne permet pas aux sinus de s'affaisser; quand, au contraire, la poitrine ralentit la vigueur de l'exsufflation, et que les muscles auxquels cette fonction est confiée dilatent le larynx aussi largement que possible, alors seulement l'air est évacué des ventricules du larynx; ce phénomène a lieu, à bien plus forte raison encore, si, au moment où on est sur le point de cesser de souffler, on dilate, de plus, légèrement la poitrine : en effet, l'air contenu dans la trachée-artère se portant en ce moment-là vers le poumon, celui qui vient des ventricules suit également le mouvement de celui-ci, et, si, après cela, on commence par contracter fortement les muscles du larynx pour rétrécir ensuite la poitrine, sans cependant y mettre trop de violence, l'air qu'on souffle à travers la glotte aura déjà commencé à se porter au dehors, en passant par cet organe, avant qu'il puisse tomber dans les ventricules, et, à compter de ce moment-là, on pourra continuer à émettre la voix sans dé-

1. ἐγκενῶσαι τήτων (sic) τό F. — 4. ϖεσεῖν F. — 5. ἐκφωνήσεως F. — 7. ϖολλῷ V. — 8. ἔτι δὲ καί F. — Ib. διασΊείλοι F; διασΊελεῖ V. — 11. αὖθις καὶ ὅταν V. — Ib. διατεῖναι F. — 13. ὄντως V. — Ib. διά om. V 1ª m. — Ib. ἐπιγλωτΊίδος F. — 14. ἐκπεσεῖν τὰ κοιλίας F.

πως φωνοῦσι μηκέτι ἐμποδιζόμενοι· διακοπῆναι γὰρ οὐκέτι οἷόν
33 τε ἦν τὴν ἔμπλωσιν αὐτοῦ φθάσαντος φέρεσθαι ταύτην. Ῥήτωρ γοῦν τις τῶν παρὰ ἡμῖν ἰσχνοφωνότερος ὢν ἀντὶ παντὸς ἐποιεῖτο θεραπευθῆναι· θεασάμενος δὲ αὐτὸν ἐγὼ κατὰ ἀρχὰς μὲν τοῦ διαλέγεσθαι δυσχερῶς ἐκφωνοῦντα, μετὰ δὲ τὸ φθέγξασθαί ποτε δυνηθῆναι κἂν ἓν ὄνομα θαυμασίως ὅπως εἴροντα, συνεβούλευσα μετρίως ἐντείνειν τὸν θώρακα κατὰ τὴν ἀρχὴν τοῦ φωνεῖν, ἐντεῦθεν δὲ, εἰ
34 βούλοιτο, πρὸς τὸ σφοδρότατον ἀνάγειν. Ὁ δὲ καὶ μάλα ἔφη καλῶς αὐτῷ τοῦτο συμβουλεύεσθαι· μάλιστα γὰρ δημηγορῶν, ἢ δίκας λέγων, ἢ μελετῶν, ἐμποδίζεσθαι, ῥᾳθυμῶν δὲ καὶ ταύτῃ τῇ συνήθῃ
35 φθεγγόμενος ἑτοίμως ἄρχεσθαι. Ἐκμέλεια δὲ γίνεται διὰ ὀργάνων ξηρότητα κατὰ τρόπους τρεῖς, ἤτοι τραχυνθέντων αὐτῶν καὶ διὰ τοῦτο τὸν φθόγγον ἀποτελούντων τραχὺν, ἢ δυσκινήτων γινομέ-

sagrément et en n'éprouvant plus aucun empêchement : en effet, il n'est plus dorénavant possible d'interrompre l'arrivée de l'air [sur la fente de la glotte], puisqu'il a déjà commencé auparavant à passer par cette route.
33 Ainsi, un certain rhéteur de mon pays, qui bégayait assez fortement, tenait beaucoup à être guéri : m'étant donc aperçu que, lorsqu'il commençait à prendre la parole, il éprouvait surtout de la difficulté, mais que, dès qu'il avait réussi une fois à parler, ne fût-ce qu'un seul mot, il liait admirablement bien son discours, je lui donnai le conseil de tendre modérément la poitrine lorsqu'il commençait à parler, pour pousser plus
34 tard cette tension, s'il le voulait, au degré le plus intense. Le rhéteur me répondit que je lui donnais là un excellent conseil, puisque c'était surtout quand il haranguait le peuple, quand il plaidait, ou quand il s'exerçait, qu'il éprouvait de l'embarras, tandis qu'il commençait facilement
35 quand il se reposait et qu'il parlait avec sa voix tout à fait ordinaire. Le chant faux est causé par la sécheresse des organes de trois manières différentes : d'abord quand ces organes sont devenus rudes, et produisent, pour cette raison, une voix rude, ensuite lorsque leurs mouvements sont devenus difficiles, et, en troisième lieu, quand ils rendent

4-6. μὲν τοῦ..... ὄνομα resectum apud F. — 6. ὅπερ εἴροντο V. — Ib. συνεβουλεύσατο (vel αυτος) V. — Ib. μετρίως] μήτε V. — 6-7. ἐντείνειν..... δέ om. V. — 8. σφοδρότερον V. — 9. συμβεβουλεῦσθαι V. — Ib. δίκαια V. — 10. ἢ μελετῶν om. V. — 12. αὐτῶν om. V.

νων, ἢ κλαγγώδη τὸν ἦχον ἐργαζομένων· ἔστι δὲ κλαγγώδης φθόγγος ὁ τῆς ὑπερεξηραμμένης γλωττίδος ὀξὺς καὶ τραχὺς καὶ μικρὸς, μηδενός γε ἄλλου προσελθόντος αὐτῇ συμπτώματος. Εἰ δέ γε ἢ μύ- 36
σειεν ἐπὶ πλέον, ἢ διασταίη, τούτοις αὖ πάλιν οἰκείους ἀκολουθῆσαι φθόγγους ἀναγκαῖον, ὑπὲρ ὧν ἄμεινον ἐφεξῆς εἰπεῖν, ἐπειδὰν ἐπὶ τέλος ἀφικώμεθα τῶν νῦν ἡμῖν ἐνεστώτων· οὐ μικρὰ γάρ τις ἔοικε χρεία τῆς γενομένης ὑγρότητος ὑπάρχειν ἐν τῷ τοῦ λάρυγγος ἔνδον σώματι πρὸς τὸ μήτε τὰ νεῦρα, μήτε τοὺς μῦς, μήτε τοὺς χιτῶνας, ἢ τοὺς ὑμένας, ἢ τοὺς συνδέσμους τῶν τῆς φωνῆς ὀργάνων ξηρανθῆναι.
Τρισὶ δὲ μορίοις ἐφεξῆς ἀλλήλων κειμένοις εἰς φωνὴν καὶ διάλεκτον 37
ἀναγκαίοις, γλώττῃ καὶ φάρυγγι καὶ λάρυγγι καὶ συζυγίαι τρεῖς εἰσιν ἀδενωδῶν σωμάτων ἐπιτήδειον ὑγρότητα παρασκευάζουσαι, ἀλλὰ ἐκ μὲν τῶν τῆς γλώττης ἀδενωδῶν ἀγγείων ζεῦγος ἐκπεφυκὸς οὐ ταύτῃ μόνον, ἀλλὰ καὶ τῷ στόματι παντὶ παροχετεύει τὸ σίε-

le son retentissant; or le son retentissant est le son aigu, rude et grêle, qui est le propre d'un état de sécheresse exagérée de la glotte, pourvu qu'aucun autre accident ne vienne se surajouter à cet état. Si la glotte 36
est trop fortement fermée, ou trop fortement béante, il se produit indispensablement de nouveau des sons spéciaux; mais il vaut mieux que nous parlions plus tard de ces sons quand nous serons arrivé à la fin de notre traité actuel, car il semble que le liquide qui se forme dans le corps intérieur du larynx a une utilité assez importante pour empêcher que, soit les nerfs, soit les muscles, soit les tuniques, soit les membranes, soit les ligaments des organes de la voix, ne se dessèchent. En effet, trois organes situés immédiatement l'un après l'autre, 37
et qui sont indispensables pour la formation de la voix et de la parole, la langue, le pharynx et le larynx, sont pourvus de trois paires de corps glanduleux qui préparent une humeur appropriée; mais les corps glanduleux de la langue donnent naissance à une paire de conduits qui amènent la salive, non-seulement sur cet organe, mais aussi

2. ὀξὺς δὲ καί V. — 2-3. μικρὸς καὶ μηδ. F. — 3. γε om. V. — Ib. προσπεσόντος vel περιπεσόντος V. — Ib. ἢ om. V. — 5. ἄμεινον ἐξειπεῖν F. — 8. τῷ F V. — Ib. μηκέτι τά V. — 10. διακειμένοις V. — 11. λάρ. συζυγ. V. — 14. οὔτ' αὐτῇ F. — Ib. παντί om. F. — 14-p. 245, l. 1. σίαλον V.

38 λον. Οὔτε δὲ ἐκ τῶν ἀντιάδων, οὔτε ἐκ τῶν κατὰ τὸν λάρυγγα τοιοῦ-
τόν τι πέφυκεν ἀγγεῖον, ἀλλὰ αἱ μὲν ἀντιάδες ὅμοιαι σπόγγῳ τὴν
φύσιν ὑπάρχουσαι, λεπτὴν ἰκμάδα δροσοειδῶς ἐξερεύγονται κατὰ τὴν
ἀρχὴν τῆς φάρυγγος, ὥστε ἐντεῦθεν ἄνωθεν κάτω ῥᾳδίως ἐπιῤῥεῖν
39 αὐτὴν, μὴ δεομένην τῶν παραξόντων ἀγγείων. Ἡ δὲ ἐν τῷ λάρυγγι
κατὰ τὴν γλωττίδα τοιαύτην μὲν οἵαν εἶπον ἔμπροσθεν ἔσχε τὴν
οὐσίαν, δύο δὲ ἐν αὐτῇ κοιλότητας ἐπὶ διττοῖς ὀρθίοις τρήμασιν ἐν
τοῖς μεγαλοφωνοτάτοις ζώοις ὑπὲρ τοῦ κλείεσθαι τὸν πόρον τῆς
40 γλωττίδος ἐπεκτήσατο. Περὶ μὲν οὖν τούτων ἱκανὰ τὰ εἰρημένα·
τὸ δὲ τάχος τῆς φορᾶς τοῦ πνεύματος εἰς ὀξύτητα συντελεῖν ἀπο-
41 δέδεικται τῇ φωνῇ, τῶν ἄλλων ὡσαύτως ἐχόντων. Ἐπεὶ τοίνυν ἡ
μὲν στενότης ἐπιτείνει τὸ τάχος, ἡ δὲ εὐρύτης ἐκλύει, διὰ τοῦτο
ἐπὶ μὲν ταῖς στεναῖς ἀρτηρίαις ὀξυτέραν τὴν φωνὴν, ἐπὶ δὲ ταῖς
εὐρείαις βαρυτέραν γίνεσθαι συμβαίνει· κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ

38 dans tout l'intérieur de la bouche. Ni les amygdales, ni les corps glandu-
leux du larynx ne donnent naissance à un pareil vaisseau, mais les amyg-
dales, qui, par leur nature, ressemblent à une éponge, laissent échapper
une humeur ténue sous forme de rosée vers le principe du pharynx,
de sorte que, de ce point-là, cette humeur peut couler facilement de
haut en bas sans avoir besoin de vaisseaux pour la porter à sa destination.
39 Les corps glanduleux du larynx situés dans la région de la glotte ont
une substance telle que je l'ai décrite plus haut, mais, chez les animaux
à voix très-grande, ils ont de plus deux cavités dans leur intérieur, cavités
qui font suite à deux trous percés droits, et cette disposition a pour but
40 de permettre qu'on ferme le canal de la glotte. — Ce que nous venons de
dire suffit pour ce sujet-là; quant à la rapidité du mouvement de l'air,
nous avons montré plus haut qu'il contribuait à l'acuité de la voix, pour-
41 vu que toutes les autres conditions restassent les mêmes. Puis donc que l'é-
troitesse augmente la rapidité, tandis que l'ampleur l'affaiblit, pour cette
raison il arrive que la voix devient plus aiguë quand la trachée-artère
est étroite, et plus grave quand elle est large, et que, de la même ma-

1. Οὐδὲ ἐκ τῶν ἀντ. F. — 4. ἄνω κάτω V. — 5. παρεξόντων F. — 7. ταύτῃ V. — 9. οὖν om. F. — 10. ὀξύτατον καὶ βαρύτατον V. — Ib. συστέλλειν F. — 11. τὴν φωνήν F. — 14. κατὰ δὲ τόν V.

μὲν ταῖς βραχυτέραις ὀξυτέραν, βαρυτέραν δὲ ἐπὶ ταῖς μακροτέραις.
Αἱ μὲν οὖν γυναῖκες, εἰ καὶ μὴ τῷ μήκει τῆς ἀρτηρίας, ἀλλὰ τῷ γε 42
εὔρει πάντως ἀπολείπονται τῶν ἀνδρῶν, καὶ ὀξυφωνότεραι δεόντως
εἰσίν· τὰ δὲ παιδία καὶ τούτων ἔτι μᾶλλον, ἐπειδὴ καὶ τῷ μήκει
λείπεται· διπλασιασθέντων γὰρ αὐτοῖς τῶν τῆς ὀξύτητος αἰτίων,
ἀνάγκη δήπου καὶ τὴν φωνὴν ὀξυτέραν γενέσθαι μακρῷ. Εὔηχος δὲ 43
ἡ φωνὴ καὶ μέγας ὁ ψόφος γίνεται πολλοῦ πνεύματος ἐμπίπτοντος
ἰσχυρῶς ἰσοσθενεῖ σώματι· πλήττειν τε γὰρ οὕτως ἔφαμεν αὐτὰ
καὶ πλήττεσθαι πρὸς ἀλλήλων. Καὶ ὀνομάζουσι μέλαν φώνημα ὃ 44
προοίμιόν ἐστι βραγχώδους φωνῆς. Ἕπεται γοῦν ἄμφω περιτταῖς 45
ὑγρότησιν, ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἀλλήλων διαφέροντα· ὅθεν
οἶμαι καὶ τοῖς γέρουσι διὰ τὸ πλῆθος τῶν περιττωμάτων βραγχώδης ἡ φωνή, ὡς εἴ γε δύναιντο φυλάττειν ἀπερίττους ἑαυτοὺς, εὐφωνότεροι φαίνοιντο ἂν τῶν νεωτέρων. Καὶ ἑκάτερον τούτων κατὰ 46

nière, la brièveté de cet organe augmente l'acuité, et la longueur la gravité de la voix. Or les femmes sont inférieures aux hommes, sinon pour 42
la longueur, du moins toujours pour l'ampleur de la trachée-artère, et elles ont donc nécessairement la voix plus aiguë qu'eux; les enfants ont la voix encore plus aiguë que les femmes, puisqu'ils ont en outre la trachée-artère plus courte : en effet, les causes d'acuité étant devenues doubles chez les enfants, leur voix doit devenir inévitablement beaucoup plus aiguë. La voix devient sonore et le son est fort lorsqu'une grande quan- 43
tité d'air tombe vigoureusement sur un corps assez dense pour lui faire résistance : car nous disions que, de cette façon, les deux corps se frappaient mutuellement au même instant où ils étaient frappés l'un par l'autre. On appelle voix *sombre* celle qui est le prélude de la voix rauque. 44
Ces deux espèces de voix tiennent à une humidité superflue, et elles ne 45
présentent entre elles qu'une différence graduelle; je pense donc que la raucité de la voix des vieillards dépend de la grande quantité de résidus de la nutrition propre à cet âge, et que, s'ils pouvaient tenir leurs corps libres de ces résidus, les vieillards nous présenteraient une voix plus belle que les gens moins âgés. Ces deux particularités de la voix des vieillards, 46

1. βραχυτάταις F. — 4. ἐπειδὴ τῷ V. — 5. λείπονται V. — 7. ἐγγίγνεται V. — 9. καὶ πλήττ. πρ. ἀλλ. om. V. — 10. φωνῆς..... ἄμφω om. V. — Ib. περὶ τοῖς F. — 14. φαίνοιντο ἂν ex em.; φανοῦνται FV.

λόγον γίνεται τοῖς γέρουσι, τό τε βραγχῶδες ἐν τῷ φωνήματι, καὶ τὸ λαμπρὸν, ὅτι ξηρὸν μὲν ἐδείχθη τὸ σῶμα αὐτῶν εἶναι τοῖς οἰκείοις μορίοις, ὑγρὸν δὲ τῷ πλήθει τῶν περιτλωμάτων· ὅτι δὲ τὰ ξηρὰ καὶ πυκνὰ σώματα λαμπρότερα ἠχεῖ τῶν ἐναντίων, παντὶ
47 δῆλον. — Γίνεται μὲν οὖν ὑπό τε τῆς ἐκφυσήσεως ἡ φωνὴ καὶ τῆς γλωττίδος μόνον· φέρεται δὲ ἔξω διά τε τοῦ κατὰ τὸν λάρυγγα στομίου, καὶ μετὰ αὐτὸ διὰ φάρυγγος καὶ στόματος, οὐδὲν μὲν ἔτι συντελούντων εἰς γένεσιν φωνῆς, βλάπτειν δὲ αὐτὴν οὐ σμικρὰ δυνα-
48 μένων. Αὐτίκα γέ τοι φλεγμονῆς, ἤ τινος ἄλλου συστάντος ὄγκου περί τι τῶν εἰρημένων μορίων, ἡ στενοχωρία τῆς ὁδοῦ βλάπτει τὴν
49 φωνήν. Οὔκουν οὐδὲ ἐκφυσᾷν οἱ τοιοῦτοι δύνανται· εἰ δὲ ἐπὶ πλέον ὁ παρὰ φύσιν ὄγκος ἐξαρθείη, κινδυνεύσουσι μήτε εἰσπνεῖν ἔτι, μήτε ἐκπνεῖν δύνασθαι· κοινὴ γὰρ δὴ τούτων ἁπάντων ἐστὶν ὁδὸς ἡ διὰ τῶν εἰρημένων ὀργάνων, ὥστε καὶ βλάψει κοινῇ σύμπαντα,

aussi bien la clarté que la raucité, n'ont ni l'une ni l'autre rien de contraire à la raison, car nous avons déjà montré (p. 6) qu'à cet âge le corps est sec eu égard à ses parties propres, mais humide par suite de l'abondance des résidus; or il est évident pour tout le monde que les corps secs et denses produisent un son plus clair que ceux qui se
47 trouvent dans des conditions opposées. — La voix est donc uniquement formée par l'air qu'on expulse en soufflant et par la glotte; mais elle se porte à l'extérieur à travers l'orifice du larynx, et, après cela, à travers le pharynx et la bouche, organes qui ne contribuent plus en rien à la formation de la voix, quoiqu'ils puissent lui faire un tort
48 assez considérable. Par exemple, s'il survient une inflammation, ou quelque autre tumeur aux environs d'une des parties susdites, l'étroitesse
49 du passage compromet la voix. Les gens affectés d'une pareille tuméfaction ne peuvent donc même pas souffler, et, si le volume de cette tuméfaction augmente encore, ils courront le danger de ne pouvoir plus ni inspirer, ni expirer, car le canal qui passe à travers les organes susdits est la route commune pour tout ce que nous allons énumérer, pour la voix, pour l'exsufflation, pour l'exspiration et pour l'inspiration; le dom-

4. λαμπρόν V. — 5. τε om. V. — 6. ἐπιγλωττίδος FV. — Ib. ἔξωθεν V. — 7. μὲν οὖν οὐκέτι V. — 9. Ἄνευ δή γε V. — 12. κινδυνεύουσι F. — 12-13. ἔτι, μήτε ἐκπνεῖν om. V. — 13-14. ὁδὸς μία τῶν V. — 14. βλάψαι F text.

φωνὴν, ἐκφύσησιν, ἐκπνοὴν, εἰσπνοήν. Οὐ μὴν ἥ γε ἔμφραξις τῆς 50
ῥινὸς ἀδικεῖ τι τὴν φωνὴν, ἀλλὰ ἐκεῖνα μόνα τῆς διαλέξεως ὅσα δεῖ-
ται τῶν κατὰ τὴν ῥῖνα πόρων ἀφράκτων. Ἀλλὰ τί τοῦτο; καὶ γὰρ 51
τῶν ὀδόντων ἄλλος ἄλλο κακοῖ διαλέκτου μόριον, ὥσπερ γε καὶ τοῦ
χείλους ἀπολλύμενόν τι, καὶ ὁ γαργαρεὼν ἀμέτρως ἐκτμηθεὶς, ἀλλὰ
καὶ τῆς ὑπερῴας ἄμετρος ὑγρότης ἐμποδίζει τῷ καθαρῷ τῆς φωνῆς,
ὥσ7ε ἀκριϐολογουμένῳ τινὶ, καθάπερ ἡμεῖς νῦν ἀκριϐολογούμεθα,
χρὴ μηδὲν φάναι τῶν εἰρημένων εἰς φωνὴν συντελεῖν· ἄλλως δὲ
οὐ προσήκει σμικρολογεῖσθαι πρὸς τὸν εἰπόντα συντελεῖν τι τῇ
φωνῇ.

με'. Περὶ μυῶν κινήσεως.

Ὄργανα κινήσεως τῆς κατὰ ὁρμὴν οἱ μύες εἰσὶν, οὕτω δή τι πολὺ 1
πλῆθος ὄντες ὥσ7ε οὐδὲ ἀριθμῆσαι ῥᾴδιον αὐτούς· καὶ γὰρ οὖν καὶ

mage qu'il cause portera donc aussi en commun sur toutes ces fonctions.
Mais l'obstruction du nez ne fait aucun tort à la voix, elle compromet 50
seulement l'énonciation de ceux des éléments de la parole qui exigent
que les narines soient libres. Mais qu'ai-je besoin de mentionner ce fait, 51
puisque les dents mêmes compromettent l'énonciation de certains éléments de la parole, l'une tel élément, et une autre tel autre, et qu'il en est de même pour la perte d'une partie des lèvres, ou pour une excision trop étendue de la luette? de plus, l'humidité exagérée du palais est un obstacle pour la pureté de la voix; si donc ont veut s'exprimer avec exactitude, comme nous le faisons actuellement, il faut dire qu'aucun des organes dont nous venons de parler ne contribue à la formation de la voix; toutefois il ne faudrait pas disputer pour si peu avec celui qui prétendrait qu'ils y contribuent.

45. DU MOUVEMENT DES MUSCLES.

Les muscles sont les organes du mouvement volontaire, et leur 1
nombre est si considérable, qu'il n'est pas même facile de les compter : en

1. ἔμφρ. ἡ τῆς V. — 4. ἄλλο ἢ ἄλλο V. — Ib. -λέκτου μόριον resect. ap. F. — Ib. ὥσπερ ἴσ7ε τοῦ V. — 7. ἀκριϐολογημένῳ V. — 8-9. συντελεῖν, ὡς οὐδ' οὐ V. — 9. ἀκριϐολογεῖσθαι V. — Ib. συσ7έλλειν F. — 9-10. τὴν φωνήν V.

συμφύονταί τινες ἀλλήλοις ὡς δοκεῖν εἷς εἶναι, καί τις εἷς ὢν εἰς πολ-
λοὺς τελευτήσας τένοντας, οὐχ εἷς ἔτι μῦς, ἀλλὰ ὅσοι περ οἱ τένον-
2 τες, εἶναι δοκεῖ. Διά τε οὖν ταῦτα, καὶ ὅτι πολυειδεῖς εἰσι τοῖς σχή-
μασιν, εἰς ἀνόμοιά τε καταφύονται μόρια δυσφωρατότατον ἴσχουσι
3 τὸν τῆς κινήσεως τρόπον. Ἀλλὰ καὶ τμηθεὶς ἅπας μῦς ἐγκάρσιος
μὴ πάνυ λεπτῇ, μηδὲ ἐπιπολῆς τῇ τομῇ βλάπτει μέν τινα πάντως
τῶν τοῦ μορίου κινήσεων εἰς ὃ καταφύεται· τῷ δὲ εἶναι πολυειδεῖς
τὰς βλάβας, καὶ ταύτῃ δυσφωρατότατος αὐτῶν ὁ τῆς κινήσεως τρό-
4 πος. Αὐτίκα τῶν κατὰ σκέλος μυῶν ἄλλοτε ἄλλου τμηθέντος, ἢ
κάμπτειν, ἢ ἐκτείνειν, ἢ ἐπαίρειν, ἢ καθιέναι, ἢ ἐπιστρέφειν ἀδυνα-
5 τοῦσι τὸ κῶλον. Τὰ δὲ αὐτὰ καὶ φλεγμοναὶ καὶ σκίρῥοι καὶ θλά-
σεις αὐτῶν καὶ σήψεις καὶ σκληρότητες οὐλῶν ἐργάζονται· τὰ δὲ
αὐτὰ καὶ τῶν τενόντων παθόντων γίνεται· καλοῦσι δὲ αὐτοὺς ἀπο-
νευρώσεις μυῶν οἱ νεώτεροι· μικτὴ δέ τις αὐτῶν ἡ φύσις ἐστὶ καὶ

effet, quelques muscles s'unissent entre eux de façon qu'ils semblent
ne former plus qu'un seul; d'autres fois, un muscle unique se termine
en plusieurs tendons et semble, par conséquent, n'être plus un seul
2 muscle, mais autant de muscles qu'il y a de tendons. Pour cette raison
donc, et aussi parce qu'ils présentent des formes très-variées et s'im-
plantent sur des parties dissemblables, ils ont un mode de mouvement
3 très-difficile à saisir. Mais, de plus, si l'on fait sur tout le diamètre d'un
muscle une incision transversale qui ne soit ni trop petite ni trop superfi-
cielle, l'un des mouvements de la partie sur laquelle ce muscle s'implante
sera nécessairement compromis, et, comme ces dérangements sont d'une
nature très-variée, cette circonstance contribue aussi à rendre le mode de
4 mouvement des muscles très-difficile à saisir. Par exemple, l'incision des
divers muscles du membre inférieur rendra impossible, soit la flexion,
soit l'extension, soit le soulèvement, soit l'abaissement, soit la rotation
5 de ce membre. L'inflammation, le squirrhe, la contusion, la pourri-
ture de ces muscles, ou l'induration de leurs cicatrices, auront encore
les mêmes conséquences, et le même effet sera également produit par
les lésions des tendons, organes que les médecins modernes appellent
muscles transformés en nerfs, car leur nature est, en quelque sorte, mixte

2. μῦς] μόνας Gal. — 4. δυσφώρατον Gal.; it. l. 8. — 6. τινας F. — 7. καταφύετο F inter l.; κατεφύετο Gal. — 13. πασχόντων Gal.

μέση συνδέσμου τε καὶ νεύρου. Πρὸς ἐγκέφαλον δὲ καὶ νωτιαῖον ἅπασι μυσὶν οὐ σμικρὰ κοινωνία· δέονται γὰρ ἢ παρὰ ἐγκεφάλου 6 νεῦρον ἢ παρὰ νωτιαίου λαβεῖν, τοῦτο τὸ νεῦρον, ἰδέσθαι μὲν σμικρὸν, οὐ μὴν τήν γε δύναμιν σμικρόν. Ἐπιγνώσῃ δὲ τοῖς παθήμα- 7 σιν· καὶ γὰρ τεμνόμενον καὶ θλιβόμενον καὶ θλώμενον καὶ βρόχῳ διαλαμβανόμενον καὶ σκιῤῥούμενον καὶ σηπόμενον ἀφαιρεῖται τοῦ μυὸς ἅπασαν αἴσθησιν καὶ κίνησιν. Ἀλλὰ καὶ φλεγμαίνοντος ἐσπά- 8 σθησάν τε καὶ παρέπαισαν οὐκ ὀλίγοι καί τινες τῶν οὕτως ἐχόντων ἰατροῦ σοφωτέρου τυχόντες τέμνοντος τὸ νεῦρον, αὐτίκα μὲν ἐπαύσαντο τοῦ σπᾶσθαί τε καὶ παραπαίειν, εἰς ὕστερον δὲ τὸν μῦν, εἰς ὃν τὸ νεῦρον ἐνέβαλλεν, ἀναίσθητόν τε καὶ ἀχρεῖον εἰς τὰς κινήσεις ἔσχον. Οὕτως ἄρα μεγάλη τις δύναμις ἐν τοῖσδε τοῖς νεύροις ἐστὶν 9 ἄνωθεν ἀπὸ τῆς μεγάλης ἀρχῆς ἐπιῤῥέουσα. Γνοίης δὲ ἂν τῷδε 10 μάλιστα· εἰ τέμοις τῶν νεύρων τούτων ὁτιοῦν, ἢ εἰ τὸν νωτιαῖον

et tient le milieu entre celle du ligament et celle du nerf. Tous les muscles 6 ont des relations assez importantes avec le cerveau et la moelle épinière, car ils ont besoin de recevoir du cerveau ou de la moelle épinière un nerf, ce nerf qui est si petit à voir, mais dont les forces sont loin d'être petites. Vous le reconnaîtrez à ses lésions : en effet, l'incision, la com- 7 pression, la contusion, la ligature, le squirrhe, ou la pourriture du nerf enlève au muscle tout sentiment et tout mouvement. Qui plus est, chez 8 un assez grand nombre de malades, l'inflammation d'un nerf a amené des convulsions ou le délire, et quelques-uns des gens qui se trouvaient dans cet état, ayant été assez heureux pour rencontrer un médecin bien avisé qui coupât le nerf, furent immédiatement délivrés de leurs convulsions et de leur délire; mais, à compter de ce moment, le muscle auquel ce nerf s'insérait fut, chez eux, insensible et incapable de servir aux mouvements. Telle est donc l'importance des forces de ces nerfs, 9 forces qui leur viennent d'en haut du grand principe. Vous le reconnaî- 10 trez surtout au fait suivant : si vous coupez tel ou tel de ces nerfs qu'il vous plaira, ou bien la moelle épinière, toute la partie située au-dessus

3. καὶ τοῦτο Gal. — 7. κίνησίν τε καὶ αἴσθησιν Gal. — 9. τέμνοντος ex em.; τέμνον F; τεμόντος Gal. — 10. εἰς om. Gal. — 11. ἐνέβαλε Gal. — 12. τοῖσδε om. Gal. — 13. ἂν ἐν τῶδε F. — 14. εἴτε μύς F. — Ib. ἢ ἢ εἰ F.

αὐτὸν, ὅσον μὲν ἀνωτέρω τῆς τομῆς συνεχὲς ἐγκεφάλῳ, τοῦτο μὲν
ἔτι διασώσει τὰς τῆς ἀρχῆς δυνάμεις, τὸ κατωτέρω δὲ πᾶν οὔτε αἴ-
11 σθησιν, οὔτε κίνησιν οὐδενὶ χορηγεῖν ἔτι δυνήσεται. Λόγον οὖν
ὀχετῶν ἔχοντα τὰ νεῦρα καθάπερ ἔκ τινος πηγῆς τοῦ ἐγκεφάλου
τοῖς μυσὶ παράγοντα τὰς δυνάμεις, ἐπειδὰν πρῶτον αὐτοῖς ὁμιλήσῃ,
σχίζεται πολυειδῶς ἄλλην ἐπὶ ἄλλῃ σχίσιν, καὶ τέλος εἰς λεπτὰς
καὶ ὑμενώδεις ἶνας ὅλα λυθέντα πᾶν οὕτω διαπλέκει τὸ σῶμα τοῦ
12 μυός. Οἱ δὲ αὖ σύνδεσμοι κατὰ οὓς τοῖς ὀστοῖς οἱ μύες συνδοῦνταί τε
καὶ συμφύονται, τούς τε ὑμένας τοὺς ἀμφὶ αὐτοῖς γεννῶσι καί τινας
εἴσω διαφύσεις εἰς αὐτὴν τὴν σάρκα τῶν μυῶν πέμπουσιν, ἣν ὥσπερ
τινὰ χώραν μοι νόει πολλοῖς ὀχετοῖς ἀρδομένην, ἑνὶ μὲν τῷ πρό-
σθεν εἰρημένῳ τῷ νεύρῳ, δύο δὲ ἄλλοις τῷ μὲν αἵματος θερμοῦ καὶ
λεπτοῦ καὶ ἀτμώδους, τῷ δὲ ψυχροτέρου τε καὶ παχυτέρου· καλεῖ-
13 ται δὲ αὐτῶν τὸ μὲν ἀρτηρία, τὸ δὲ φλέψ. Οὗτοι μὲν οὖν οἱ ὀχετοὶ

de l'incision, et qui reste en rapport avec le cerveau, conservera encore
les forces qui viennent de ce principe, tandis que toute la partie qui est
au-dessous ne pourra plus communiquer ni sentiment, ni mouvement
11 à aucun organe. Les nerfs, qui jouent par conséquent le rôle de conduits,
et qui, dès l'instant qu'ils entrent en contact avec les muscles, leur appor-
tent les forces qu'ils tirent du cerveau, comme d'une source, se divisent
d'une manière très-variée à l'aide de plusieurs bifurcations successives,
et, s'étant résolus à la fin entièrement en fibres membraneuses et ténues,
12 elles forment un réseau pour tout le corps du muscle. Les ligaments,
au contraire, qui servent à relier et à unir les muscles aux os, donnent
naissance aux membranes qui les environnent et font pénétrer certaines
cloisons intérieures dans la chair même des muscles, chair que vous de-
vez vous représenter comme un lieu arrosé par plusieurs canaux; d'abord
par celui dont nous venons de parler, c'est-à-dire par le nerf, ensuite par
deux autres, dont l'un amène du sang chaud, ténu et vaporeux, et
l'autre du sang plus froid et plus épais; le premier de ces canaux s'ap-
13 pelle artère, et le second veine. Ces canaux donc, qui tirent leur origine

3. ἔτι om. Gal. — 5. πρῶτον δ' αὐτοῖς Gal. — 9. τοὺς δ' ὑμένας Gal. — Ib. αὐτούς Gal. — 10. ἣν om. F. — 11. ἀρδευομένην Gal.

τὴν ἀρχὴν ἀπὸ καρδίας καὶ ἥπατος ἔχοντες, τὸ σῶμα τῶν μυῶν ἄρ-
δουσι, καὶ διὰ τοῦτο οὐκέτι χώρα τις ἁπλῶς, ἀλλὰ οἷον φυτὸν ὁ μῦς
γίνεται· διὰ δὲ τὸν τρίτον ὀχετὸν τὸν ἀπὸ τῆς μεγάλης ἀρχῆς οὐ
φυτὸν, ἀλλὰ ἤδη κρεῖτλόν τι φυτοῦ, προσλαβὼν αἴσθησίν τε καὶ
κίνησιν τὴν κατὰ ὁρμὴν, οἷς τὸ ζῷον τοῦ μὴ ζῴου διαφέρει. Διὰ ταύ- 14
τας οὖν τὰς δυνάμεις ὄργανον ψυχικὸν ὁ μῦς ἐγένετο, καθάπερ ἀρ-
τηρία καὶ φλὲψ φυσικά. Καὶ γοῦν καὶ τῶν κινήσεων αἱ μὲν ἀρτηρίας 15
καὶ φλεβὸς φυσικαί τε καὶ χωρὶς ὁρμῆς, αἱ δὲ τῶν μυῶν ψυχικαί
τε καὶ μετὰ ὁρμῆς. Τί δήποτε οὖν οὐκ αἰσθήσεως ὄργανον εἴπομεν 16
τὸν μῦν, ἀλλὰ κινήσεως μόνης, καίτοι γε ἀμφοτέρων αὐτῷ μετῆν;
ὅτι κίνησις μὲν οὐκ ἂν γένοιτο τοῖς ζῴοις οὐδεμία κατὰ ὁρμὴν ἄνευ
τῶν μυῶν, ὥσ7ε ἴδιον αὐτῆς ὄργανον ὁ μῦς· αἴσθησις δὲ ὑπάρχει
τοῖς αἰσθητικοῖς μορίοις πᾶσι καὶ χωρὶς μυῶν· ὅ τι γὰρ ἂν αὐτῶν
μετάσχῃ νεύρου, τοῦτο πάντως αἰσθάνεται. Τί μὲν οὖν ἐσ7ιν ὁ μῦς, 17

du cœur et du foie, arrosent le corps du muscle, et, pour cette raison,
il n'est plus simplement un lieu, mais il devient, pour ainsi dire, une
plante; grâce au troisième canal, qui provient du grand principe, il n'est
pas une plante, mais déjà quelque chose de meilleur qu'une plante,
puisqu'il gagne le sentiment et le mouvement volontaire, propriétés qui
distinguent l'animal de ce qui n'est pas animal. Par l'effet de ces forces, 14
le muscle est donc devenu un organe de l'âme, comme l'artère et la
veine sont des organes de la nature. En effet, les mouvements de l'artère 15
et de la veine sont des mouvements naturels et sans spontanéité, tandis
que ceux des muscles sont volontaires et du ressort de l'âme. Pourquoi 16
donc n'appelons-nous pas le muscle organe du sentiment, mais uni-
quement organe du mouvement, quoiqu'il participe à tous les deux?
Parce que les animaux n'auraient aucun mouvement volontaire sans les
muscles, de sorte que le muscle est l'organe propre de ce mouvement;
tandis que toutes les parties sensibles sont douées de sentiment même
sans l'intervention des muscles; car toute partie pourvue de nerfs est
nécessairement douée de sentiment. On a donc dit ce que c'est qu'un 17

2. τούτους Gal. — 3. ὀχ. ἀπό F. — 6-7. δι' ἀρτηρίας καὶ φλεβὸς φυσικόν Gal. — 9. δήπου τ' οὖν F; δήποτε δέ Gal. — 11. ἢ ὅτι Gal.

*εἴρηται· λείποι δὲ ἂν ἔτι περὶ τῆς τῶν τενόντων φύσεως εἰπεῖν
πρὸς τὸ μηδὲν ἀσαφὲς ὑπολείπεσθαι τοῖς ἑξῆς λόγοις. Σκληρότερός* 18
*ἐστιν ὁ τένων νεύρου τοσοῦτον ὅσον συνδέσμου μαλακώτερος, ἀλλὰ
καὶ τὸν ὄγκον τοῦ σώματος τηλικοῦτος οἷος ἐξ ἀμφοῖν μάλιστα γέ-
γονεν ἄν. Καὶ σύνδεσμος μὲν ἅπας ἀναίσθητος, νεῦρον δὲ ἅπαν* 19
*αἰσθητικὸν, ὁ δὲ τένων οὔτε ἀναίσθητος, ὅτι καὶ νεύρου μετέσχεν,
οὔτε οὕτως αἰσθητικὸς ὡς τὸ νεῦρον μόνον. Ἀλλὰ κἀκ τοῦ φύεσθαι* 20
μὲν ἐκ τῆς τελευτῆς τοῦ μυὸς τὸν τένοντα, καταφύεσθαι δὲ εἰς τὴν κεφαλὴν αὐτοῦ τό τε νεῦρον καὶ τοὺς συνδέσμους, εἶτα εἰς ὅλον διασπείρεσθαι τὸν μῦν, εὔλογον ἐξ ἀμφοῖν γεγονέναι τὸν τένοντα· τὸ γὰρ νεῦρον τὸ καθῆκον εἰς αὐτὸν κατὰ μὲν τὴν πρώτην ἔμφυσιν εἰς ὀλίγας νενέμηται μοίρας, ἐκείνων δὲ αὖθις εἰς ἑτέρας τεμνομένων, καὶ τῶν γενομένων αὖθις εἰς ἄλλας, καὶ μέχρι τοσούτου τῆς σχίσεως προϊούσης ὥστε εἰς ὑμενώδεις καὶ πάνυ λεπτὰς ἶνας τελευτῆ-

muscle; pour qu'il ne reste aucune obscurité dans ce que nous allons
dire, il nous faut encore parler de la nature des tendons. Le tendon 18
dépasse autant en dureté le nerf qu'il dépasse le ligament en mollesse;
mais le volume du corps du tendon est aussi tel qu'il serait à peu près,
si le tendon avait été formé des deux organes en question. De plus, tout 19
ligament est insensible, tout nerf est sensible; le tendon n'est ni insen-
sible, parce qu'il tient du nerf, ni aussi sensible qu'un nerf pur. Mais la 20
circonstance que le tendon provient de l'extrémité du muscle, tandis que le nerf et les ligaments s'implantent à sa tête, et se distribuent ensuite dans tout le muscle, rend vraisemblable la conjecture que le tendon se forme des deux organes en question : en effet, le nerf qui arrive au muscle se divise, dès l'instant de son implantation, en parties peu nombreuses, et, si ces parties se distribuent de nouveau en d'autres, si les parties qui proviennent de cette seconde division se séparent encore une fois en d'autres, si cette bifurcation continue jusqu'au point de faire terminer les nerfs en fibres membraneuses et extrêmement ténues, si, enfin, ces parties

1. *εἴρηται σαφῶς* Gal. — 4-5. *γέγονεν ἂν* ex em.; *γεγονέναι* F Gal. — 6. *ὅτε* F. — 7. *νεῦρον· οὐ γάρ ἐστι νεῦρον μόνον* Gal. — 9. *τε* om. F. — 11. *ἔκφυσιν* F. — 12-13. *τεμν. καὶ τούτων τεμνομένων αὖθις* Gal.

σαι, πάλιν ἐκ τούτων τῶν λεπτῶν μορίων συνιόντων εἰς ἄλληλα
καὶ ποιούντων νεῦρα, μείζονα μὲν τὸν ὄγκον τῶν ἔμπροσθεν, ἐλάσ-
σονα δὲ τὸ πλῆθος, ἐν τῇ τελευτῇ τοῦ μυὸς ἴσα τόν τε ἀριθμὸν καὶ
τὸ μέγεθος ταῦτα γίνεται τοῖς κατὰ τὴν πρώτην ἀρχήν. Ἐπεὶ δὲ 21
αὖθις ὁ τένων φύεται πολὺ μείζων τοῦ καθήκοντος εἰς τὸν μῦν νεύ-
ρου, δῆλον ὡς οὐκ ἐκ τοῦ νεύρου μόνον γέγονεν, ἀλλά τι καὶ τῶν
συνδέσμων τῆς φύσεως προσέλαβε, καὶ οὐκ ὀλίγον γε τοῦτο· πολ-
λαχόθι γὰρ δεκαπλάσιος τῷ πάχει τοῦ νεύρου φαίνεται, πολλαχόθι
δὲ ἑξαπλάσιος. Καὶ προσηκόντως ἄρα τοιοῦτός τε καὶ τηλικοῦτος 22
ἐγένετο, μέλλων γε καὶ τὴν συνδέσμου καὶ τὴν νεύρου χρείαν παρέ-
ξειν· συνδεῖ μὲν γὰρ τὸν μῦν τοῖς ὑποκειμένοις ὀστοῖς εἰς ἃ κατα-
φύεται, καὶ ταύτῃ μὲν οὐδὲν διαφέρει συνδέσμου· αἰσθάνεται δὲ καὶ
κινεῖται, καὶ ταύτῃ πάλιν νεύρου μετέχει. Μείζων δὲ ἐγένετο τοῦ 23
νεύρου, μέλλων κινήσειν αὐτὸς τὸ ὀστοῦν· καταφύεται γὰρ ὡς τὸ

si ténues se réunissent de nouveau entre elles pour former des nerfs moins nombreux, mais d'un volume plus considérable que ceux qui les précèdent, il en résulte, à l'extrémité du muscle, des nerfs égaux en nombre et en volume à ceux qui se trouvent à la première origine du muscle.
Mais, comme, au contraire, le tendon, dès son origine, est beaucoup plus 21
grand que le nerf qui arrive au muscle, il est clair qu'il ne s'est pas formé uniquement du nerf, mais qu'il s'est approprié aussi une partie, et même une partie assez considérable, de la substance des ligaments : en effet, dans plusieurs endroits, on voit que l'épaisseur du tendon est le décuple de
celle du nerf, et, dans plusieurs aussi, qu'elle en est le sextuple. C'est, 22
d'ailleurs, fort à propos que les tendons sont ainsi faits et qu'ils ont ce volume-là, puisqu'ils devaient rendre les services que rendent aussi bien un ligament qu'un nerf, attendu qu'ils relient les muscles aux os sous-jacents sur lesquels ils s'implantent, et, sous ce rapport, ils ne diffèrent en rien d'un ligament; d'un autre côté, ils sentent et se meuvent, et, en
cela, ils tiennent de nouveau du nerf. Le tendon est devenu plus grand 23
qu'un nerf, parce qu'il devait lui-même mettre en mouvement un os : car

1. λεπτῶν om. Gal. — 5. αὐτοῖς F. — Ib. ἐγένετο Gal. — 6. δῆλον οὖν ὡς F Gal. — 8. μὲν γὰρ ἑξαπλάσιος Gal.; δὲ δεκαπλάσιος F. — 9. δὲ δεκαπλ. Gal.; γὰρ ἑξαπλ. F. — 14. μέλλων γε κινήσειν Gal.

πολὺ πᾶς τένων εἰς ὀστοῦ μὲν πέρας ὑπαληλιμμένον χόνδρῳ· οὐ
μὴν τὸ τυχόν γε τοῦτο πέρας, οὐδὲ ὡς ἔτυχεν, ἀλλὰ αὐτὸς μὲν πλα-
τυνθεὶς, εἰς δὲ τὸ πέρας τοῦ ὀστοῦ τὸ ἄνωθεν ὃ καλεῖται κεφαλή·
οὕτω γὰρ ἤμελλεν ὑπὸ τοῦ μυὸς ἑλκόμενος αὐτὸς συνεφελκύσεσθαι
συμφυὲς ὂν ἑαυτῷ τὸ ὑποκείμενον ὀστοῦν· δεσμοῦ μὲν γὰρ ἀσφα-
λοῦς τινος ἔδει τῷ μυῒ πρὸς τὸ κινηθησόμενον ὀστοῦν ὑπὸ αὐτοῦ,
24 καὶ οὐδὲν ἦν ἐπιτηδειότερον εἰς τοῦτο συνδέσμου. Τὸ δὲ νεῦρον τὸ
ἀπὸ ἐγκεφάλου, ὁδός τις ὂν δυνάμεως κινητικῆς ἕνεκα τοῦ μεταδοῦ-
ναι ταύτης, συμπαρεξετάθη τε καὶ συνανεμίχθη τῷ συνδέσμῳ, καὶ
25 οὕτως ἐξ ἀμφοῖν ὁ τένων ἐγένετο. Πᾶς μὲν οὖν τένων εἰς ὀστοῦν κα-
26 ταφύεται τοὐπίπαν· οὐ μὴν ἅπας γε μῦς εἰς τένοντα τελευτᾷ. Τῶν
γοῦν τὴν γλῶτταν κινούντων μυῶν ἐπὶ οὐδενὶ φύεται τένων· οὐδὲ
27 γὰρ ἐδεῖτο κινεῖν οὐδὲν ὀστοῦν ἡ γλῶττα. Καὶ τὰ χείλη δὲ τοῦ στό-
ματος καὶ οἱ ὀφθαλμοὶ, καὶ μὴν καὶ τὸ δέρμα τὸ κατὰ τὸ μέτωπόν

le plus souvent tout tendon s'implante sur une extrémité d'os revêtue de
cartilage; cependant cette implantation ne se fait pas au hasard, et il ne
choisit pas à cet effet la première extrémité d'os qui se présente, mais
il s'élargit lui-même, et ensuite il s'implante sur l'extrémité supérieure
de l'os appelée tête : en effet, de cette manière, le tendon devait, au
moment où il est attiré lui-même par le muscle, attirer avec lui l'os
sous-jacent auquel il est réuni, puisque le muscle avait besoin d'un
lien sûr pour le rattacher à l'os qu'il devait mettre en mouvement, et
24 qu'il n'existait rien de plus approprié à cet usage qu'un ligament. Le
nerf venant du cerveau, lequel est une route pour la force motrice,
ayant pour but de communiquer cette force, est étendu à côté du liga-
ment et entremêlé avec lui, et, de cette manière, le tendon s'est formé
25 de ces deux organes. Tout tendon s'implante donc ordinairement sur un
26 os, mais tout muscle ne se termine pas en tendon. Ainsi, aucun des
muscles de la langue ne donne naissance à un tendon, car la langue n'a-
27 vait pas non plus besoin de mettre en mouvement aucun os. De même,
les lèvres de la bouche, les yeux, de même encore la peau du front et des

1. παρηλειμμένον Gal. — 2-3. πλατυνθεὶς ἐλίττεται δὲ περὶ τοῦ Gal. — 6. ὑφ' ἑαυτοῦ F Gal. — 14. κατὰ μέτωπον F.

τε καὶ τὰς ὀφρῦς καὶ τὰ πάντα μέρη τοῦ προσώπου τῶν ὀστῶν ἀτρε-
μούντων κινεῖται κατὰ ὁρμήν. Ἐν κεφαλαίῳ δὴ κατὰ πάντων μυῶν 28
λεκτέον ὅτι κινήσεως τῆς κατὰ ὁρμὴν ὄντες ὄργανα, ποτὲ μὲν ἑαυ-
τοὺς μόνους κινοῦσι συστέλλοντες, ὡς οἱ τῆς ἕδρας τε καὶ κύστεως,
ποτὲ δὲ τὸ δέρμα πρὸς τὴν ἑαυτῶν ἀρχὴν ἑλκόμενοι συνεπισπῶν-
ται, καθάπερ οἱ κατὰ τὰ χείλη καὶ τὸ μέτωπον καὶ ὅλον τὸ πρόσω-
πον. Τούτων μὲν οὖν οὐδεὶς ἀποφύεται τένων· οἱ δὲ ἄλλοι πάντες 29
μῦς ὅσοι μὲν ὀστᾶ κινοῦσιν, εἰς τένοντας τελευτῶσι τοὐπίπαν, ἢ
μείζους, ἢ ἐλάττους· ὅσοι δὲ ἄλλο τι, τούτων τοῖς μέν εἰσι τένοντες,
τοῖς δὲ οὔ· κινοῦσι δὲ ἄλλο τι, καὶ οὐκ ὀστοῦν, οἵ τε τῶν ὀφθαλ-
μῶν καὶ οἱ τῆς γλώττης, καὶ οἱ τῶν ὄρχεών τε καὶ οἱ τοῦ αἰδοίου,
καὶ οἱ τῆς φάρυγγος, καὶ οἱ κατὰ τὸν λάρυγγα μάλιστα· καλεῖται
δὲ οὕτω τὸ ἄνω πέρας τῆς τραχείας ἀρτηρίας, ὅπερ καὶ κεφαλὴν
ὀνομάζουσι βρόγχου τε καὶ φάρυγγος. Οἱ μὲν οὖν τῶν ὀφθαλμῶν 30

sourcils, ainsi que toutes les parties de la face se meuvent volontaire-
ment, les os restant en repos. Pour résumer donc ce qui regarde tous les 28
muscles, il faut dire que, puisque ce sont les organes du mouvement vo-
lontaire, parfois, en se contractant, ils ne mettent en mouvement qu'eux-
mêmes, comme le font les muscles du siége et de la vessie; que, d'autres
fois, en se rétractant vers leur propre origine, ils attirent avec eux la
peau, comme les muscles des lèvres, du front et de toute la face. Or 29
aucun de ces muscles ne donne naissance à un tendon, mais tous les
autres muscles, qui mettent en mouvement des os, se terminent, en gé-
néral, en tendons d'un volume plus ou moins considérable; quant aux
muscles qui mettent en mouvement autre chose que des os, quelques-
uns ont des tendons, et d'autres n'en ont pas; or, les muscles qui mettent
en mouvement quelque autre partie, et non un os, sont ceux des yeux,
ceux de la langue, ceux des testicules et du membre viril, ceux du pha-
rynx, et surtout ceux du larynx; on donne ce nom à l'extrémité supérieure
de la trachée-artère, partie qu'on appelle aussi tête de la trachée ou du
pharynx. Les muscles des yeux parviennent, en se transformant en nerfs 30

1. πλεῖστα Gal. — 2. δέ Gal. — 4. ὁ F. — 5. τὴν ἐξ αὐτῶν ἀρχήν F. — 11. τῶν αἰδοίων F; it. p. 257, l. 3. — 12. φάρυγγες οἱ F.

ὑμενώδεσι μὲν, ἀλλὰ ἰσχυραῖς ἀπονευρώσεσιν, εἰς τὸν σκληρὸν καὶ
χονδρώδη χιτῶνα τὸν περικείμενον τῷ ῥαγοειδεῖ καθήκουσιν· οἱ δὲ
τοῦ αἰδοίου τε καὶ τῶν ὄρχεων οὐδεμίαν ἀπονεύρωσιν ποιησάμενοι,
τοῖς σαρκώδεσι σφῶν αὐτῶν μορίοις ἐμφύονται· τῶν δὲ κατά γε
τὴν φάρυγγα καὶ τὸν λάρυγγα μυῶν τοῖς μὲν ἀμυδραί τινες ἀπο-
νευρώσεις, τοῖς δὲ οὐδὲ ὅλως εἰσίν. Ἡ μὲν οὖν ὡς ἐνέργεια κίνησις 31
μυὸς μία κατὰ ἕκαστον· ἡ δὲ ἐναντία κατὰ συμβεβηκός. Ἐνεργεῖ μὲν 32
οὖν ἕλκων ἐπὶ ἑαυτὸν τὸ κινούμενον μόριον· οὐκ ἐνεργεῖ δὲ ὅταν
ὑπὸ ἄλλου μυὸς εἰς τὸν ἐναντίον τόπον ἀπάγηται, καὶ διὰ τοῦτο
οὐδὲν τῶν κινουμένων μορίων ἑνὶ κέχρηται μυΐ, ἀλλὰ εἰ μὲν ἄνωθέν
τις ἐμφύοιτο, πάντως ἄλλος ἀντεμφύεται κάτωθεν· εἰ δὲ ἐκ τῶν
δεξιῶν, πάντως ἄλλος ἐκ τῶν ἀριστερῶν· ἕκαστον γὰρ τῶν κινου-
μένων μορίων, οἷον ὑπὸ ἡνιῶν τινων, τῶν μυῶν εἰς τἀναντία διειλημ-
μένον ἐναλλὰξ ἔχει τὸν μὲν ἐντεινόμενον αὐτῶν, τὸν δὲ χαλώμενον.
Ὁ μὲν οὖν ἐνταθεὶς ἕλκει πρὸς ἑαυτὸν, ὁ δὲ χαλασθεὶς ἕλκεται σὺν 33

membraneux, mais robustes, jusqu'à la tunique dure et cartilagineuse
qui entoure l'uvée; ceux du membre viril et des testicules ne donnent
lieu à aucune transformation en nerf, et s'implantent sur leurs propres
parties charnues; enfin, parmi les muscles du pharynx et du larynx,
les uns présentent des transformations en nerfs peu apparentes, et
les autres n'en présentent pas du tout. Chaque muscle n'a qu'un seul 31
mouvement qui soit une activité; il ne possède le mouvement opposé
qu'accidentellement. Or, un muscle agit quand il attire vers lui la partie 32
qui est en mouvement, mais il n'agit pas quand il est amené au côté
opposé par un autre muscle, et, pour cette raison, aucune des parties
douées de mouvement ne possède qu'un seul muscle; au contraire, si
un muscle s'implante en haut, un autre s'implante nécessairement de son
côté en bas, et, si un muscle s'implante à droite, un autre s'implante
nécessairement à gauche; car, chaque partie mise en mouvement par
des muscles, comme si c'était par des rênes, étant obligée de partager
son activité des deux côtés, présente, tour à tour, l'un des deux muscles
contracté et l'autre relâché. Le muscle contracté attire donc vers soi, tandis 33
que le muscle relâché est attiré conjointement avec la partie, et, pour

2. *νευρώδη* Gal. — 14. *ἐκτεινόμενον* Gal. — 15. *ἐκταθεὶς* Gal.

τῷ μορίῳ, καὶ διὰ τοῦτο κινοῦνται μὲν κατὰ ἀμφοτέρας τὰς κινή-
σεις ἀμφότεροι· οὐ μὴν ἐνεργοῦσιν ἀμφότεροι· τὸ γὰρ ἐνεργεῖν
ἡγεῖσθαι τῶν κινουμένων ἐστὶν, οὐχ ἕπεσθαι· ἕπεται δὲ ὅταν αὐτὸς
ὥσπερ ἄλλο τι τῶν τοῦ κώλου μορίων, μεταφέρηται. Δῆλον οὖν ἐκ 34
τῶν εἰρημένων ὡς τὸ μὲν κάμπτειν τῶν ἐντός ἐστιν ἔργον μυῶν,
τὸ δὲ ἐκτείνειν τῶν ἐκτός· οὐκ ἄδηλον δὲ ὅτι τὸ μὲν ἐντείνεσθαί τε
καὶ εἰς ἑαυτοὺς συνέρχεσθαι σύμφυτος ἐνέργεια τοῖς μυσὶ, τὸ δὲ
ἐκτείνεσθαι καὶ χαλᾶσθαι τῶν ἀντιτεταγμένων ἐνταθέντων τε καὶ
πρὸς ἑαυτοὺς ἑλκυσάντων γίνεται. Εἰ γοῦν μῦν ὅλον ἐγκάρσιον 35
ἐθέλοις διατεμεῖν, εἴτε ἐπὶ τεθνεῶτος, εἴτε καὶ ζῶντος ἔτι τοῦ ζῴου,
τῶν μερῶν αὐτοῦ τὸ μὲν ἄνω, τὸ δὲ κάτω φερόμενον ἐναργῶς ὄψει
πρὸς τὸ ἴδιον πέρας ἑκάτερον ἑλκόμενον, καὶ τοῦτο κατὰ ὅ τι ἂν
μέρος τὸν μῦν ὅλον ἐγκάρσιον διατέμῃς, ἐναργῶς ὄψει γινόμενον·
ᾧ δῆλον ὅτι πᾶν μόριον αὐτοῦ σύμφυτον ἔχει κίνησιν τὴν εἰς ἑαυτὸ

cette raison, les deux muscles se meuvent pendant l'accomplissement de
chacun des deux mouvements, mais ils n'agissent pas tous les deux; car
agir c'est donner l'impulsion aux parties qui se meuvent, et non pas leur
obéir; or un muscle obéit quand il est transporté comme le serait toute
autre partie du membre. Il ressort de ce que je viens de dire que la flexion 34
est la fonction des muscles du côté intérieur, et l'extension celle de ceux
du côté extérieur; ce n'est pas un secret non plus que l'activité naturelle
des muscles consiste à se contracter et à revenir sur eux-mêmes et que
l'extension et le relâchement ont lieu, quand les muscles antagonistes se
contractent et attirent vers eux. Si donc vous coupez transversalement tout 35
un muscle, que l'animal soit déjà mort, ou qu'il soit encore en vie, vous
verrez clairement que l'une de ses parties se porte en haut, et l'autre
en bas, chaque partie étant attirée vers sa propre extrémité, et vous re-
connaîtrez manifestement que cela a lieu, quelle que soit la partie où
vous aurez coupé transversalement tout le muscle : d'où il ressort que
toute partie d'un muscle a pour mouvement inné la contraction sur elle-

3. τείνεσθαι τὸν κινούμενον Gal. — Ib. ὅταν] ὥσπερ F. — 4. ὥσπερ καί Gal.; ὅταν F. — Ib. ἄλλο τι καὶ ἄλλο F. — 6. ἐντείνεσθαι ex em.; τείνεσθαί F Gal. — Ib. τε om. F. — 9. γίνεσθαι F. — 12. ὁτιοῦν ἂν Gal.

σύνοδον· καὶ γὰρ αὖ καὶ εἰ τὴν ἄνωθεν ἀρχὴν μόνην ἀποτέμοις
τοῦ μυὸς, ἐπὶ τὸ πέρας ἐνεχθήσεται, καὶ εἰ τὴν κάτω τελευτὴν,
ἐπὶ τὴν κεφαλὴν ἀνασπασθήσεται, καὶ εἰ ἑκατέρωθεν ἀποτέμοις αὐ-
τὸν, οἷον σφαιρούμενον ὄψει καὶ συντρέχοντα πρὸς τὸ μέσον ἐξ
36 ἀμφοῖν τῶν περάτων. Σκιῤῥωθέντος δὲ μυὸς ἢ τένοντος οὐτινοσοῦν,
τῶν μὲν ἐντὸς τοῦ κώλου τεταγμένων, καμφθὲν τὸ μέρος οὐκέτι
ἐκτείνεται· τῶν δὲ ἐκτὸς, ἐκταθὲν οὐκέτι κάμπτεται, ἔμπαλιν ἢ κατὰ
37 τὰς τρώσεις εἶχεν. Φαίνεται δὲ δὴ καὶ τοῦτο μὴ ὅτι μαχόμενον τοῖς
ἔμπροσθεν, ἀλλὰ καὶ μεγάλα μαρτυροῦν· τὸ γὰρ σκιῤῥωθὲν ἅπαν
38 ὑπὸ τοῦ παρὰ φύσιν ὄγκου τείνεται. Τοῦτο γοῦν αὐτῷ πρὸς τοῦ πα-
θήματος φαίνεται γινόμενον ὅπερ ἐῤῥωμένῳ πρὸς τῆς ὁρμῆς, πλὴν
ὅτι πρὸς τῆς ὁρμῆς μὲν ἑκούσιος ἡ κίνησις, πρὸς δὲ τοῦ παθήμα-
39 τος ἀκούσιος. Ἅπερ δὲ ἐπὶ τῶν σκίῤῥων, ταῦτα κἀπὶ τῶν φλεγμο-
νῶν ὁρᾶται γινόμενα· καὶ γὰρ καὶ μύες καὶ τένοντες φλεγμήναντες

même : en effet, si vous coupez de nouveau le bout supérieur du muscle
tout seul, ce muscle se portera vers son point d'implantation, et, si vous
coupez le bout inférieur, il sera rétracté vers sa tête; enfin, si vous le
détachez des deux côtés, vous verrez qu'il se rassemble et se forme pour
36 ainsi dire en boule vers le milieu en partant des deux bouts. Si un
muscle ou un tendon quelconque est affecté de squirrhe, et qu'il s'agisse
d'un muscle ou d'un tendon placé au côté intérieur du membre, ce
membre, une fois fléchi, ne s'étend plus; et, s'il s'agit de ceux qui existent
au côté extérieur, le membre, une fois étendu, ne se fléchit plus, contrai-
37 rement à ce qui avait lieu à l'occasion des plaies. Évidemment, ce fait
non-seulement n'est pas en contradiction avec ceux qui précèdent, mais il
fournit même une preuve très-forte en leur faveur, car tout membre af-
38 fecté de squirrhe est tendu par la tumeur contre nature. On voit donc que
le même phénomène, qui, dans le membre sain, était une conséquence
de la volonté, est maintenant le produit de la maladie, excepté que la
volonté donnait lieu à un mouvement spontané, et la maladie à un mou-
39 vement sans spontanéité. Pour l'inflammation on voit la même chose
avoir lieu que pour le squirrhe : en effet, il est souvent arrivé que des

1. οὖν Gal. — 2. μυὸς, ὅλος ἐπί Gal. — 6. ἔτι om. F. — 8. δή om. F. — 11. πρὸς μὲν τῆς F. — 11-12. πλὴν ..... μέν om. F. — 14. γὰρ μύες F.

ϖολλάκις ἐπὶ ἑαυτοὺς τείναντες τὸ κῶλον ἀκίνητον εἰργάσαντο, καὶ
σκληρότης δὲ οὐλῶν οὐδὲν ἧττον τῶν ϖροειρημένων ϖαθῶν ϖολ-
λάκις ἐπέδησεν αὐτό. Λεκτέον δὲ ἐφεξῆς τὸ μήτε ϖᾶσαν κίνησιν 40
τῆς χειρὸς ἐνεργείᾳ γίνεσθαι μυῶν, μήτε ἅπασαν ἀκινησίαν ἡσυ-
χίᾳ· καὶ γὰρ κίνησίν τινα δυνατὸν εὑρεῖν, ἀργούντων ἁπάντων τῶν
κατὰ αὐτὴν μυῶν, καὶ ἡσυχίαν ἐνεργούντων ϖάνυ ϖολλῶν· λεγέσθω
δὲ ϖρότερον ὑπὲρ τῆς κινήσεως. Ἀναμνησθῶμεν ϖρῶτον ἐπὶ τοῦ 41
ϖαντὸς σώματος δυοῖν τούτων κινήσεων ἀλλήλαις μὲν ϖαρακειμέ-
νων, οὐχ ὁμοίως δὲ γινομένων· καλεῖται δὲ αὐτῶν ἡ μὲν κατάκλι-
σις, ἡ δὲ κατάπτωσις. Καὶ γίνεται δηλονότι κατὰ ὁρμὴν μὲν τὸ 42
κατακλίνεσθαι, τὸ καταπίπτειν δὲ ἀκούσιον. Τὸ μὲν οὖν κατακλί- 43
νεσθαι μυῶν ἐνεργείᾳ συντελεῖται, καὶ διὰ τοῦτο ἔργον ἐστὶν ἑκού-
σιον τοῦ ζώου, τὸ καταπίπτειν δὲ οὐκ ἔργον, ἀλλὰ ἀκούσιον ϖάθημα,
καὶ μυὸς οὐδενὸς ἐνεργοῦντος δεῖται· μόνον γὰρ χρὴ ϖάντας ἐκλῦ-
σαι τοὺς μῦς τῆς τάσεως, ἐπιτρέψαντα τῷ βάρει τοῦ σώματος ᾗ ῥέπει

muscles ou des tendons enflammés ont rendu un membre immobile en
l'attirant vers eux, et l'induration des cicatrices a, tout aussi bien que
les maladies que nous venons de nommer, souvent arrêté un membre
tout court. Il faut expliquer maintenant comment tout mouvement du 40
bras n'est pas causé par l'activité des muscles, ni toute immobilité de ce
membre par leur repos; en effet, il est possible de découvrir un mou-
vement pendant lequel tous les muscles du membre sont inactifs, et un
repos pendant lequel un très-grand nombre sont en activité; parlons
donc, en premier lieu, du mouvement. Mentionnons d'abord les deux 41
mouvements suivants de tout le corps, qui ont beaucoup de rapports
entre eux, mais qui ne se font pas de la même manière; on appelle l'un
d'eux se coucher, et l'autre tomber. Il est évident que le coucher a lieu 42
volontairement, et la chute, au contraire, involontairement. Le coucher 43
donc se fait grâce à l'activité des muscles, et, pour cette raison, c'est
un acte volontaire de l'animal, tandis que la chute n'est pas un acte,
mais un mouvement passif involontaire, et ne réclame l'activité d'aucun
muscle : en effet, tout ce qu'il faut, c'est qu'on relâche la tension de
tous, et qu'on permette au poids du corps de se porter du côté vers le-

14. χρή] ἀρκεῖ Gal.

44 φέρεσθαι. Ταύτῃ μὲν τὸ καταπίπτειν τοῦ κατακλίνεσθαι διήνεγκε,
ταύτῃ δὲ καὶ τὸ καταφέρεσθαι τὴν χεῖρα τοῦ καθίεσθαι· καταφέρε-
ται μὲν γὰρ ἀργούντων ἁπάντων τῶν κατὰ αὐτὴν μυῶν ὑπὸ τοῦ συμ-
φύτου τοῖς σώμασι βάρους κατασπωμένη, καθίεται δὲ τῶν κατὰ
45 τὴν μασχάλην μυῶν πρὸς ἑαυτοὺς ἑλκόντων τὸν βραχίονα. Ἆρα
οὖν οὐδὲ κινεῖται μῦς οὐδεὶς καταφερομένης τῆς χειρός; καὶ μὴν
οὐκ ἐνδέχεται τοῦ κώλου παντὸς κάτω φερομένου τὸν μῦν ἀκίνητον
μένειν, ἀλλὰ κινεῖται μέν, οὐ μὴν ἐκτείνεταί γε, οὐδὲ συστέλλεται
46 τηνικαῦτα. Τίς οὖν ὁ τρόπος αὐτῷ τῆς κινήσεως; οἷος καὶ τοῖς ὀστοῖς
δηλονότι· οὐδὲ γὰρ ταῦτα ἐκτεινόμενα καὶ συστελλόμενα συμπερι-
φέρεται τοῖς κώλοις, ἀλλὰ ὥσπερ εἰ καὶ τῶν ἀψύχων τι σωμάτων
47 προσδήσας αὐτοῖς ἔτυχες. Ἐπειδὴ τοίνυν τῶν κινήσεων ἡ μὲν ἔν-
τασις ἐνέργεια τοῦ μυός ἐστιν ὡσὰν ὀργάνου ψυχῆς, ἡ δὲ ἔκτασις
ὡς ὀργάνου μέν, οὐ μὴν ἐνέργειά γε, ἀλλὰ ἁπλῶς κίνησις, ἡ δὲ
νῦν προτεθεῖσα τρίτη κίνησις οὐδὲ ὡς ζῶσιν ὑπάρχει τοῖς μυσίν,

44 quel il penche. Voilà en quoi la chute diffère du coucher; la même dif-
férence existe entre le fait de laisser tomber le bras et celui de l'abaisser;
en effet, quand ce membre tombe, entraîné par la pesanteur naturelle
aux corps, tous ses muscles sont dans l'inactivité; quand on l'abaisse,
45 au contraire, les muscles situés à l'aisselle attirent le bras à eux. Au-
cun muscle n'entre-t-il donc en mouvement quand on laisse choir
le bras? Il est impossible qu'un muscle reste immobile quand tout le
membre se porte en bas; seulement, dans ce cas, il se meut sans s'é-
46 tendre ou se contracter. Quel est donc le mode de son mouvement? Le
même évidemment que celui des os; car ces organes ne suivent pas non
plus le mouvement des membres en s'étendant et en se contractant, mais
47 exactement comme si on leur avait attaché quelque corps inanimé. Puis-
que donc, parmi les divers mouvements, la tension est une activité du
muscle, agissant comme organe de l'âme, que l'extension est aussi un
mouvement du muscle jouant le rôle d'organe, quoique ce ne soit pas un
acte, mais tout simplement un mouvement, que le troisième mouvement,
qui forme le sujet actuel de notre discours, n'est pas même un attribut

8. γε om. F. — 12-13. σύντασις Gal. — 14. γε om. F.

ἀλλὰ ὡς τοῖς ἀψύχοις τε καὶ τελέως ἐξ αὑτῶν ἀκινήτοις, ἐπὶ τὴν
λοιπὴν καὶ τετάρτην μεταβάντες κίνησιν, ἐπισκεψώμεθα καὶ τὸν
αὐτῆς τρόπον. Ἀντίστροφος δέ πως ἔοικεν ὑπάρχειν τῷ τρίτῳ· κατὰ 48
μὲν γὰρ τὸν τρίτον τρόπον τῆς κινήσεως ἀργεῖν οἱ μύες ἀπεδείχθη-
σαν, καίτοι κινούμενοι, κατὰ δὲ τὸν τέταρτον ἐνεργεῖν ἀποδειχθή-
σονται, καίτοι μηδαμῶς κινεῖσθαι φαινόμενοι. Ἐννοήσωμεν γὰρ 49
ἀνατεταμένην τὴν χεῖρα, κἄπειτα ἐν τούτῳ τῷ σχήματι φυλαττομέ-
νην, κἄπειτα ἐρωτῶμεν ἑξῆς ἡμᾶς αὐτοὺς, τί δή ποτε οὐ φέρεται
κάτω τῷ βάρει ῥέπουσα, κἄπειτα ἀποκρινώμεθα διότι τῶν ἀνατει-
νόντων αὐτὴν μυῶν ἡ τάσις διαμένει. Πρὶν οὖν ταύτην ἐκλυθῆναι 50
τελέως οὐχ οἷόν τε μετακινηθῆναι τῇ χειρί· παυσαμένων μέντοι τῆς
τάσεως, εἰ μὲν μηδεὶς ἄλλος ταθείη μῦς, ἀλλὰ ἀργοὶ μένοιεν ἅπαν-
τες, ᾗ τὸ βάρος αὐτὴν ἄγει, ταύτῃ κατενεχθήσεται· εἰ δέ τις ἄλ-
λος ταθείη μῦς, ἵνα περ ἂν ἐκεῖνος ἕλκῃ, ταύτῃ κινηθήσεται. Δῆλον 51

des muscles comme êtres vivants, mais comme corps inanimés et tout à fait
incapables de se mouvoir par eux-mêmes, il nous faudra passer maintenant
au quatrième mouvement, dont il nous reste à parler, et examiner quelle
est sa nature. Ce mouvement semble, en quelque sorte, être l'opposé du 48
troisième, car nous avons montré que, dans le troisième mode de mou-
vement, les muscles restent inactifs, quoiqu'ils se meuvent, et nous allons
montrer maintenant que, dans le quatrième, ils agissent, quoiqu'on
n'aperçoive pas le moindre mouvement en eux. Figurons-nous, en effet, 49
que le bras soit étendu, et qu'après cela on le maintienne dans cette po-
sition; alors nous nous demanderons ensuite quelle est la cause qui
l'empêche de se porter en bas du côté où il penche en vertu de sa pe-
santeur, et nous nous répondrons que c'est parce que la contraction des
muscles qui le soulèvent persiste. Avant donc que cette contraction 50
soit complétement relâchée, il est impossible qu'on fasse changer le bras
de place; mais, dès que nous cessons de contracter, il descendra du
côté où la pesanteur l'entraîne, pourvu, cependant, qu'aucun autre
muscle ne se contracte, mais que tous restent inactifs; si, au contraire,
un autre muscle se contracte, le bras fera un mouvement dans le sens
où celui-ci l'entraîne. Il est donc clair que, lorsqu'on maintient le bras 51

3. τῇ τρίτῃ Gal. — 8. οὖν F. — 10. ταύτης Gal. — 14. ἂν ex em.; om. F Gal.

οὖν ὡς ἐν τῷ τεταμένην φυλάττειν τὴν χεῖρα τῶν εἰς τοῦτο αὐτὴν
52 καταστησάντων μυῶν ἡ τάσις διασώζεται. Τέτταρες γοῦν αἱ πᾶσαι
διαφοραὶ τῶν κατὰ τοὺς μῦς κινήσεων· ἢ γὰρ συστέλλονται, ἢ ἐκ-
τείνονται, ἢ μεταφέρονται, ἢ τεταμένοι μένουσιν· ἔστι δὲ ἐκ ταὐ-
τοῦ γένους ἡ τετάρτη διαφορὰ τῇ πρώτῃ· ἀμφότεραι γὰρ ἐνέργεια
53 μυῶν. Διττοῦ δὲ τρόπου τυγχάνοντος τοῖς μυσὶν ἅπασι τῆς ἐμφύ-
σεως, οὐδὲν χεῖρον ἑκάτερον αὐτῶν σαφῶς ἑρμηνεῦσαι· τῶν γὰρ
συμβαλλόντων ἀλλήλοις ὀστῶν ἵνα ἄρθρον γένηται, τὸ μὲν ἕτερόν
ἐστιν αὐτῶν τὸ κινούμενον, θάτερον δὲ ἕδρα τις ὑπερήρεισται τῷ
κινουμένῳ, καθάπερ ὁρᾷς τοὺς τῶν θυρῶν στροφεῖς ἔχοντας, ὥστε
ἐξ ἀνάγκης τῷ μένοντι μὲν ἡ κοιλότης, τῷ κινουμένῳ δὲ ἡ κυρτό-
της ὑπῆρξεν· καλεῖται δὲ ἡ μὲν κοιλότης κοτύλη τε καὶ γλήνη, ἡ
54 δὲ αὖ κυρτότης κεφαλή τε καὶ κόνδυλος. Τοσοῦτον δὲ ἡ κοτύλη τῆς
γλήνης βαθυτέρα ὅσον ἡ κεφαλὴ τοῦ κονδύλου προμηκεστέρα, ἑκά-
τερον δὲ ἑκατέρῳ καθάπερ στρόφιγγι χώραν ἐπιτήδειον ἡ φύσις

dans l'état d'extension, la contraction des muscles qui l'ont mis dans
52 cet état, persiste. Par conséquent, il y a en tout quatre espèces de mou-
vements des muscles : en effet, ou ils se contractent, ou ils s'étendent,
ou ils sont changés de place, ou ils restent tendus; mais la quatrième
espèce appartient au même genre que la première, puisque toutes les
53 deux sont une activité des muscles. Comme, pour tous les muscles, il
existe deux modes d'implantation, il ne sera pas trop hors de propos
de donner une exposition claire de tous les deux : l'un des os qui se
réunissent pour former une articulation se meut, tandis que l'autre
appuie le premier en guise de soutien, arrangement qu'on voit se re-
produire pour les charnières des portes; il est donc indispensable que
l'os qui reste en repos soit muni de la surface creuse, et celui qui
se meut, de la surface convexe; or on appelle la surface creuse cotyle
54 ou évasement, et la surface convexe tête ou condyle. Le cotyle dépasse
autant l'évasement en profondeur que la tête dépasse le condyle en
saillie; mais la nature a, dans tous les deux cas, construit l'une des
deux surfaces pour fournir un emplacement convenable à l'autre, comme

3-4. ἐπεκτείν. Gal. — 10. στρόφιγγας Gal. — 11. μέν om. Gal.

παρεσκεύασεν. Ἐπειδὴ δὲ καλῶς εἶχε τὰ κινηθησόμενα, πολὺ κάλ- 55
λιον αὐτοῖς ἔτι καὶ τεχνικώτερον συνῆψε τὰ κινήσοντα· τὰ γὰρ τῶν
κινήσεων ὄργανα τοὺς μῦς ἐξέφυσε μὲν τῶν ὑπερκειμένων ὀστῶν
ἐν οἷς αἱ κοτύλαι, κατέφυσε δὲ εἰς τὰς κεφαλὰς τῶν ὑποκειμένων
ἅπερ ἔμελλε κινήσεσθαι, καὶ διὰ τούτων ἐντεινομένων ἀνασπωμέ-
νων τῶν κεφαλῶν συνανασπᾶται πᾶν τὸ κῶλον. Ἐπεὶ δὲ οἱ μὲν αὐ- 56
τῶν μεῖζον, οἱ δὲ ἔλασσον ὀστοῦν ἔμελλον κινήσειν, ἀνάλογον τοῖς
ὄγκοις τῶν κινηθησομένων ὀστῶν τὸ μέγεθος τῶν κινησόντων ἐδη-
μιούργησε μυῶν, ὥστε εὐλόγως οἱ μὲν ἐξ αὐτῶν τῶν κεφαλῶν ἢ
κονδύλων τῶν ὑπερκειμένων ὀστῶν ἐξέφυσαν, οἱ δὲ μικρὸν τούτων
κατωτέρω, πλησίον δὲ τῆς κοτύλης ἢ γλήνης οὐ πάνυ τι· μικρὸς
γὰρ ἂν οὗτος παντάπασιν ἐγένετο καὶ ἀδύνατος κινεῖν τὸ ὑποκεί-
μενον ὀστοῦν. Αὕτη μὲν ἡ φύσις τῶν τε ἀλλήλοις συντεταγμένων 57

cela a lieu pour les charnières. Les organes qui devaient être mis en 55
mouvement ayant déjà été placés dans de bonnes conditions, la
nature a encore employé un soin et un art beaucoup plus exquis
pour y rattacher ceux qui devaient les mouvoir; car elle a fait par-
tir les muscles, qui sont les organes du mouvement, des os pourvus
de cotyles et situés au-dessus d'eux, tandis qu'elle les a implantés
sur les têtes des os sous-jacents qui devaient être mis en mouvement;
lors donc que, par la contraction des muscles, ces têtes sont tirées en
haut, tout le membre est entraîné avec eux. Mais, comme certains 56
muscles devaient mouvoir un os plus gros, et d'autres un os plus petit,
la nature a construit les muscles qui devaient les mouvoir, d'un volume
proportionnel à la masse des os qu'ils devaient mettre en mouvement:
il est donc conforme à la raison qu'une partie des muscles prenne son
point de départ aux têtes ou aux condyles mêmes des os placés au-
dessus d'eux, et qu'une autre partie ait son origine un peu plus bas que
les premiers, mais aucun muscle, à peu près, ne provient d'un point
voisin du cotyle ou de l'évasement, car un tel muscle serait tout à
fait petit et incapable d'ébranler l'os sous-jacent. Voilà quelle est la na- 57
ture des os réunis pour former une articulation et des muscles qui les

5. ἐκτεινομένων Gal. — 13. συντεταμμένων F; συνταττομένων Gal.

ὀστῶν κατὰ ἄρθρα καὶ τῶν κινούντων αὐτὰ μυῶν· ἄνευ δὲ τῆς ψυχικῆς ὁρμῆς οὐδέτερος τῶν μυῶν οὔτε ἐσχάτην καμπὴν, οὔτε ἔκτασιν ἄκραν ἐργάζεσθαι δύναται τοῦ μορίου· στερήσας γὰρ τοὺς μῦς τῆς ψυχικῆς ὁρμῆς μέσον ὄψει σχημάτων τὸ κῶλον γινόμενον· εἰ δέ γε τέμοις τὸν ἐκτὸς μῦν, καμπτόμενον ἐπὶ πλέον τοῦ μέσου σχήματος ὄψει τὸ κῶλον· οὕτω δὲ εἰ καὶ τὸν ἐντὸς μῦν τέμοις, ἐκτεινόμενον
58 ἐπὶ πλέον τοῦ μέσου θεάσῃ τὸ μόριον. Μία μὲν οὖν ἐν τῷ μέσῳ σχήματι κατάστασις μυῶν ἐστιν, ἡ εἰρημένη πρόσθεν ἐν ᾗ μηδέτερος τῶν ἀντιτεταγμένων ἐνεργεῖ μυῶν, ἑτέρα δὲ ἡ νῦν ῥηθησομένη, κατὰ ἣν ἐνεργοῦσιν ὁμοίως ἀμφότεροι· ὑπάρχει δὲ ἡ μὲν προτέρα τοῖς ἐλινύουσιν ὡς Ἱπποκράτης ὠνόμαζεν· ἡ λοιπὴ δὲ ὅταν μήτε κάμπτειν, μήτε ἐκτείνειν τὸ κῶλον ἐπιτρέπωμέν τινι, μηδὲ εἰ πάνυ σφόδρα βιάζοιτο· γίνεται δὲ αὕτη τῶν ἀντιτεταγμένων μυῶν τὴν
59 τονικὴν καλουμένην ἐχόντων ἐνέργειαν. Οὕτω δὲ κἂν εἰ τοῦ μέσου

mettent en mouvement; mais, sans l'impulsion qui vient de l'âme, aucun des deux muscles ne saurait produire une flexion ou une extension extrêmes : en effet, si vous enlevez aux muscles cette impulsion, vous verrez le membre prendre la position moyenne, et, si vous coupez le muscle du côté extérieur, vous verrez qu'il se fléchit au delà de la moyenne; si vous coupez le muscle intérieur, vous vous apercevrez
58 également que l'extension du membre dépasse la moyenne. Il n'existe donc qu'un seul état des muscles qui réponde à la position moyenne, c'est celui dont nous avons parlé plus haut, et dans lequel aucun des muscles antagonistes n'entre en activité; une autre position est celle dont nous allons parler maintenant, et dans laquelle les deux muscles sont également en activité; le premier de ces mouvements a lieu chez ceux qui sont au repos, comme dit Hippocrate (*Fract.* § 7, t. III, p. 440), et l'autre quand nous ne permettons à personne de fléchir ou d'étendre notre membre, quels que soient les efforts qu'on fasse; or, ce mouvement tient à ce que les muscles antagonistes emploient leur activité qu'on
59 appelle *tonique*. De même, quand vous aurez placé le membre dans une

3. ἐργάσασθαι Gal. — 4. σχημάτων Gal. — 7. ἐν om. F. — 10. καθ' ἣν] κἂν κῶλον F; σχῆμα τῶν ὀστῶν πρὸς ἄλληλα F. — 11. ἐλινύζουσιν F.

σχήματος ἑκατέρωθεν σΊήσεις τὸ κῶλον, ὁμοίως ἐνεργεῖν ἀμφοτέ-
ροις δυνήσῃ τοῖς μυσίν· ὅταν δὲ εἴς τι τῶν ὑπερβολικῶν ἀγάγῃς
αὐτὸ σχημάτων, ὁ ἕτερος μῦς ἱκανὸς εἰς τὴν τοιαύτην ἐνέργειαν. Μὴ 60
τοίνυν ἁπλῶς τὸ μέσον ἀνώδυνον εἶναι λέγωμεν, ἀλλὰ τὸ ἐν τῷ
ἐλινύειν· τὸ γὰρ μετὰ τῆς ἑκατέρων τῶν μυῶν τάσεως μέσον σχῆμα
τοῖς ἐσχάτοις ὁμοίως ὀδυνηρόν. Ἐπεὶ δὲ ἐν αὐτῷ τῷ ἐλινύειν μέσον 61
σχῆμα τὸ μὲν ἁπλῶς ἐσΊι, τὸ δὲ οὐχ ἁπλῶς, ἁπλῶς μὲν τὸ πάν-
των τῶν ὑπερβολικῶν τοῦ κώλου σχημάτων μέσον, οὐχ ἁπλῶς δὲ
τὸ τῆς ἑτέρας ἀντιθέσεως μόνης, τὸ μὲν ἁπλῶς μέσον ἀκάματον ἄν,
ὡς Ἱπποκράτης ἐκάλεσεν, εἴη μόνον· οὐ μὴν τῶν γε ἄλλων οὐδὲν
ἀκριβῶς ἀκάματον. Ἀπόδειξις δὲ τοῦ λόγου γένοιτο ἂν σαφὴς, διε- 62
λομένων πρότερον ἡμῶν τό τε ἁπλῶς μέσον σχῆμα καὶ τὰ μὴ
τοιαῦτα· γενήσεται δὲ ὁ λόγος ἵνα ᾖ σαφὴς, ἐπὶ χειρὸς ὡς ἐπὶ
παραδείγματος. Ὄντων οὖν ἐν αὐτῇ σχημάτων τετΊάρων, πρανοῦς, 63

position qui s'écarte, dans l'un des deux sens, de la position moyenne, vous
pourrez mettre en activité les deux muscles à la fois; mais, quand vous
lui aurez fait prendre l'une des positions extrêmes, l'un des deux muscles
suffira pour produire une pareille démonstration de force. Ne disons 60
donc pas tout simplement que c'est la position moyenne qui est exempte
d'efforts pénibles, mais celle qui est propre au repos; car la position
moyenne qui est accompagnée de la tension de l'un des deux systèmes de
muscles n'est pas plus à l'abri de pareils efforts que les positions extrêmes.
Mais, comme la position moyenne propre au repos est tantôt une position 61
moyenne absolue, et tantôt une position moyenne non absolue, que la
moyenne absolue est celle qui tient le milieu entre toutes les positions ex-
trêmes du membre, tandis que la moyenne non absolue n'est moyenne
que pour l'un des deux systèmes de muscles opposés, la position moyenne
absolue sera seule exempte de fatigue, comme Hippocrate (*Fract.* § 3, t. III,
p. 426) le disait, mais aucune autre n'en sera complétement exempte. Nous 62
pourrons démontrer clairement ce que nous avançons, en établissant d'a-
bord une distinction entre la position moyenne absolue et celles qui ne
le sont pas, et, pour être clairs, nous prendrons le bras pour exemple
dans notre démonstration. En effet, comme il existe pour ce membre 63

1. καταστήσεις Gal. — 7. οὐχ ἁπλῶς μέν F. — 8. ὑπερβολῶν F. — 14. σχημάτων ἐσχάτων Gal. — Ib. πρηνοῦς Gal. et sic semper.

ὑπτίου, τοῦ κατὰ ἔκτασιν ἄκραν, τοῦ κατὰ κάμψιν, τὸ μὲν ἁπλῶς μέσον τούτων ἁπάντων ἐστὶ μέσον, τὸ δὲ οὐχ ἁπλῶς ὁποτερασοῦν τῶν ἀντιθέσεων· ἄλλο μὲν γὰρ ἐκτάσεως ἄκρας καὶ καμπῆς, ἄλλο
64 δὲ ὑπτίου καὶ πρανοῦς τὸ μέσον. Ὕπτιον μὲν οὖν ἐστι σχῆμα χειρὸς ὅταν τὸ κοῖλον μὲν αὐτῆς μέρος ἄνωθεν ᾖ, τὸ δὲ κυρτὸν κάτωθεν· πρανὲς δὲ τὸ ἐναντίον τούτῳ· μέσον δὲ ἀμφοῖν ὅταν ἔσωθεν μὲν ᾖ τὸ κοῖλον, ἔξωθεν δὲ τὸ κυρτὸν, ὑποκείμενος δὲ ὁ μὲν μικρὸς δάκτυλος τοῖς ἄλλοις, τὸ δὲ τοῦ πήχεως ὀστοῦν τῷ τῆς κερκίδος.
65 Τοῦτο οὖν τὸ μέσον σχῆμα δύναται μὲν ἐκτεταμένης τελέως τῆς χειρὸς, δύναται δὲ καὶ κεκαμμένης γίνεσθαι, ὥσπερ οὖν καὶ τὸ τῆς ἑτέρας ἀντιθέσεως μέσον σχῆμα δύναται μὲν ὑπτίας τῆς χειρὸς, δύναται δὲ καὶ πρανοῦς οὔσης ὑπάρχειν· ὅρος δὲ ἐκείνου τοῦ σχήματός ἐστιν ὁ πῆχυς ὀρθὴν ἐργαζόμενος γωνίαν πρὸς βραχίονα, καὶ
66 διὰ τοῦτο αὐτὸ καλοῦσιν ἐγγώνιον. Τὸ τοίνυν ἁπλῶς μέσον ἐκ τῆς

quatre positions, la pronation, la supination, l'extension et la flexion extrêmes, la position moyenne absolue sera celle qui tient le milieu entre toutes les positions énumérées, et la position moyenne non absolue celle qui présente les mêmes rapports eu égard à celui des deux systèmes de mouvements opposés qu'on voudra; car il existe une position qui tient le milieu entre l'extension et la flexion extrêmes, et une autre qui est
64 dans le même cas pour la supination et la pronation. Or la supination du bras a lieu quand sa partie creuse est en dessus et sa partie bombée en dessous, et la pronation est le contraire de la supination, tandis que la position moyenne entre les deux existe, quand la surface creuse est du côté intérieur, et la surface convexe du côté extérieur, quand le petit doigt est placé au-dessous des autres, et le cubitus au-dessous du radius.
65 Cette position moyenne peut donc se combiner tout aussi bien avec l'extension complète qu'avec la flexion du bras, de même que la position moyenne par rapport à l'autre système de mouvements opposés peut se combiner également avec la supination et avec la pronation du membre; ce qui détermine cette position, c'est l'angle droit que l'avant-bras fait
66 avec le bras, et, pour cette raison, on l'appelle position angulaire. Par conséquent la position moyenne absolue provient de la combinaison des

11. μέσον om. F. — 14. ἁπλῶς om. F.

ἀμφοτέρων τῶν εἰρημένων σχημάτων συνόδου γίνεται· τὰ δὲ ἄλλα
μέσα τέτταρα μὲν ἔσται τὰ σύμπαντα, γενήσεται δὲ οὐδὲν αὐτῶν
ἁπλῶς ὅλου τοῦ κώλου μέσον, ἀλλὰ μιᾶς ἀντιθέσεως μόνης· ὡς γὰρ
ἐκτάσεως καὶ συστολῆς μόνον ἔσται μέσον, οὕτως ὑπτίου τε καὶ πρα-
νοῦς· ἐπεὶ δὲ ἑκάτερον αὐτῶν διττὸν γίνεται ζευγνύμενον ἐν μέρει
ταῖς ἐκ τῆς λοιπῆς ἀντιθέσεως ὑπερβολαῖς, ἀναγκαῖον οὕτω τὰ πάντα
γίνεσθαι τέτταρα. Καθάπερ δὲ ἐπὶ τῶν χειρῶν τὸ καλούμενον ἐγγώ- 67
νιον μέσον ἀκριβῶς ὂν ἄκρας ἐκτάσεως καὶ καμπῆς, ἀνωδυνώτατόν
ἐστιν, οὕτω δόξειεν ἂν ἔχειν κἀπὶ τῶν σκελῶν· οὐ μὴν ἔχει γε οὕ-
τως, ἀλλὰ ἐν τῷ μεταξὺ τοῦ τε μέσου σχήματος καὶ τῆς ἄκρας ἐκ-
τάσεως τὸ ἐν τούτοις ἀνώδυνον. Αἴτιον δὲ τὸ ἔθος· τὰ πολλὰ γὰρ 68
ἐκτεταμένοις τοῖς σκέλεσι χρώμεθα· καὶ γὰρ τούτου χάριν ἐγένετο,
τοῦ πᾶν ὀχεῖσθαι τὸ σῶμα πρὸς αὐτῶν ἑστώτων τε ἡμῶν καὶ βα-
διζόντων. Ταῦτα γοῦν τὰ δύο σκοπῶν ἐπὶ ἁπάντων τῶν ἄρθρων, τὴν 69

deux positions dont nous venons de parler, tandis que les autres positions
moyennes sont en tout au nombre de quatre; seulement aucune de ces
positions ne sera une moyenne absolue pour tout le membre, mais uni-
quement eu égard à l'un des deux systèmes de mouvements opposés : en
effet, aussi bien qu'il existe une moyenne entre l'extension et la contrac-
tion seules, il en existe une autre pour la supination et la pronation; mais,
comme, par la combinaison alternative de ces deux positions avec les po-
sitions extrêmes appartenant à l'autre système de mouvements opposés,
chacune de ces positions devient double, il en résulte nécessairement en
tout quatre. Mais, ainsi que la position qu'on appelle angulaire, et qui 67
tient exactement le milieu entre l'extension et la flexion extrêmes, est,
pour les bras, la plus exempte de douleur, la même chose semblerait
devoir se rencontrer pour les jambes; cependant il n'en est pas ainsi;
mais c'est la position tenant le milieu entre la position moyenne et
l'extension extrême qui est, pour ces membres, à l'abri de la douleur.
La cause de ce fait est l'habitude; car nous employons le plus sou- 68
vent nos jambes dans l'état d'extension, puisque, en effet, elles ont été
créées dans ce but, c'est-à-dire pour porter tout le corps, quand nous
sommes debout, ou que nous marchons. En faisant donc attention, pour 69

1. εἰρ. μέσων σχ. Gal. — 5. ἐν om. F.

τε φύσιν καὶ τὸ ἔθος, ἐξευρήσεις οὕτω τὸ μέσον τε καὶ ἀνώδυνον.
70 Ἐν τῷ καθόλου τοίνυν ἐπὶ ἁπάντων ἄρθρων τὰς ἐσχάτας κινήσεις
71 ἐπισκεψάμενος ἐξευρήσεις τὸ μέσον τε καὶ ἀνώδυνον σχῆμα. Καὶ
ὅσοι δὲ μύες χωρὶς ἄρθρων εἰσὶ, κἂν τούτοις ἡ μέση κατάστασις
ἀνώδυνος, ὥσπερ ἐπὶ ἕδρας ἔχει καὶ κύστεως καὶ γλώττης· τό τε
γὰρ εἰς ἔσχατον σφίγγειν τὴν ἕδραν καὶ τὸ διοίγειν ἐπὶ μέγιστον
ὀδυνηρὰ, τό τε ἐκτείνειν ἐπὶ μήκιστον τὴν γλῶτταν, ἢ κάμπτειν, ἢ
72 ὁπωσοῦν ἄλλως περιάγειν ἀμέτρως. Ῥᾷστον οὖν καὶ τούτοις ἐξευρί-
σκειν τὸ μέσον τῶν ὑπερβολῶν, ὅπερ καὶ ἀνωδυνώτατόν ἐστι, καὶ
πάντες ἄνθρωποι κατὰ ὃν ἀναπαύονται χρόνον τῶν κατὰ τὸν βίον
ἐνεργειῶν, τὸ μέσον τε καὶ ἀνώδυνον ἐν ἅπασι τοῖς μορίοις ἔχουσι
73 σχῆμα. Περὶ μὲν τούτων οὕτω χρὴ γινώσκειν· πῶς δὲ ἐν μὲν τῇ
γλώττῃ κατὰ συζυγίαν πάντες οἱ μύες πεφύκασιν ἄνωθέν τε καὶ
κάτωθεν, κἀκ τῶν ἀριστερῶν τε κἀκ τῶν δεξιῶν· διόπερ οὐδὲ θαυ-

toutes les articulations, à ces deux points, la nature et l'habitude, vous serez sur la voie de découvrir la position moyenne et exempte de douleur.
70 En général donc, vous trouverez toujours la position moyenne et sans dou-
71 leur en faisant attention aux mouvements extrêmes. Quant aux muscles sans rapport avec les articulations, la condition moyenne est de même exempte de douleur pour eux tous, comme, par exemple, pour le siége, la vessie et la langue : en effet, le resserrement exagéré ou la déhiscence la plus grande possible de l'anus sont douloureux, et il en est de même, si on étend la langue aussi loin que possible, ou si on lui imprime une flexion exagérée, ou un autre mouvement quelconque de circon-
72 volution démesurée. Il est donc très-facile aussi de découvrir, pour ces parties, la moyenne entre les extrêmes, qui est en même temps la plus exempte de douleur de toutes les conditions, et tous les hommes tiennent tous leurs membres dans cette position moyenne et exempte de douleur, lorsqu'ils se reposent de leurs occupations professionnelles.
73 Voilà l'opinion qu'on doit avoir sur ces points-là; mais, dans la langue, tous les muscles sont, jusqu'à un certain point, disposés par paires, en haut et en bas, à gauche et à droite; pour cette raison, il ne semble pas étonnant

2-3. Ἐν τῷ.... σχῆμα om. Gal. — 6-7. ἐπὶ μέγ.... ἐκτείνειν om. F.

μασΊὸν φαίνεται ἡμῖν εἰς τὰς ἐναντίας ἄγεσθαι τὸ μόριον κινήσεις ὑπὸ τῶν ἀντιτεταγμένων· ἐπὶ δὲ τοῦ κατὰ τὴν ἕδραν μυὸς καὶ τοῦ κατὰ τὴν κύσΊιν καὶ τοῦ κατὰ τὰς φρένας θαυμάζειν μὲν, πόθεν εἰς τὰς ἐναντίας ἄγεται τὰ μόρια κινήσεις· κατὰ ἕκασΊον γὰρ αὐτῶν κυκλοτερὴς εἷς ἐσΊιν οὐδενὸς ἀντιτεταγμένου μυός· λεκτέον δὲ ὡς τοῦ μὲν κατὰ τὴν ἕδραν τε καὶ τὴν κύσΊιν μυὸς ἔργον ἐσΊὶν οὐ τὸ ἀποκρίνειν τὰ περιτΊώματα τῆς τροφῆς, ἀλλὰ τὸ κατέχειν, φύλακας τῆς ἀκαίρου τῶν περιτΊωμάτων ἐξόδου τῆς φύσεως αὐτοὺς κατασΊησάσης, ὥσΊε οὐχ ὅπως οὐκ ἐνεργοῦσι πρὸς τὴν ἔκκρισιν, ἀλλὰ οὐδὲ ἐπιτρέπουσι τοῖς ἐνεργοῦσιν. Τίνα τοίνυν τὰ τῆς ἐνεργείας ταύτης 74
ὄργανα; πλείω μὲν κατὰ μέρος, διτΊὰ δὲ τῷ γένει· τὰ μὲν γὰρ αὐτῶν ψυχῆς, τὰ δὲ φύσεώς ἐσΊιν, αἱ μὲν δὴ φρένες καὶ οἱ κατὰ τὸ ἐπιγάσΊριον ἅπαντες μύες τὰ τῆς ψυχῆς ἐσΊιν ὄργανα, τῶν δὲ ἐντέρων ἁπάντων ἡ σύνταξις ἅμα τῇ γασΊρὶ τὰ τῆς φύσεως. Ἀλλὰ 75
περὶ μὲν τῆς τούτων ἐνεργείας ἐν ἑτέροις εἰρήσεται· περὶ δὲ τῶν

non plus que nous puissions imprimer à cet organe des mouvements en sens opposé par les muscles antagonistes; pour le muscle du siége, pour celui de la vessie et pour le diaphragme, il y a, au contraire, lieu de se demander d'où vient la force qui pousse ces parties à des mouvements opposés; car chacune d'elles n'a qu'un seul muscle circulaire dépourvu de tout antagoniste; or il faut dire que la fonction du muscle du siége et de celui de la vessie ne consiste pas à expulser les résidus de la nutrition, mais à les retenir, la nature en ayant fait des surveillants contre la sortie intempestive de ces résidus; non-seulement ils n'agissent donc pas pour pousser à cette excrétion, mais ils ne permettent pas même d'agir dans ce sens aux organes qui ont cette fonction. Quels sont donc les organes 74
de cette fonction? Il y en a plusieurs de particuliers et qui sont de deux espèces; car les uns sont des organes de l'âme, et les autres, des organes de la nature: le diaphragme et tous les muscles abdominaux, des organes de l'âme, et toute la série des intestins conjointement avec l'estomac, des organes de la nature. Mais nous parlerons, dans un autre endroit, de la 75
fonction de ces derniers organes; maintenant nous parlerons des muscles,

1. ἀπάγεσθαι Gal. — 3. θαυμ. μέν om. Gal. — 5. εἷς om. F. — 7. φύλακα Gal. — 9. οὐκ om. F. — 15. εἰρηται Gal.

μυῶν νῦν ἐροῦμεν, ἐπειδὴ τῆς τούτων κινήσεως ὁ παρὼν λόγος ἐξή-
76 γησίς ἐσΊιν. Οἱ κατὰ τὸ ἐπιγάσΊριον ἅπαντες μύες ὅταν ἐνεργοῦν-
τες τείνωνται, θλίβουσιν εἴσω τὰ τῆς τροφῆς ὄργανα, τὰ δὲ, ἢν
μὲν εἴκωσιν αἱ φρένες, εἰς τὸν ἐκείνων ἀναχωροῦντα τόπον ἐκλύει
τὴν βίαν τῶν μυῶν· ἢν δὲ ἀνθισΊῶνται, καθάπερ ὑπὸ δυοῖν πιε-
ζόμενα χεροῖν, ἔξωθεν μὲν τῶν μυῶν, ἔσωθεν δὲ τῶν φρενῶν, ἐκθλί-
77 βοιτο ἂν τὰ ταῖς κοιλότησιν αὐτῶν περιεχόμενα. ΠροσΊιμωρεῖ δὲ
εἰς τοῦτο μεγάλα ἡ λοξότης τῶν φρενῶν, τὸ μὲν ἕτερον τῶν πε-
ράτων τῷ κατὰ τὸ σΊέρνον χόνδρῳ προσκείμενον ἐχουσῶν, τὸ δὲ
78 ἕτερον ὀπίσω κατὰ τὴν ἀρχὴν τῆς ὀσφύος. Πλειόνων δὲ ὄντων κατὰ
τὴν γασΊέρα μυῶν καὶ πάντων τεινομένων, ἐν ταῖς ἀποπατήσεσι
μᾶλλον μὲν οἱ πρὸς τοῖς ὑποχονδρίοις, ἧτΊον δὲ οἱ κάτω τείνον-
ται ἔμπαλιν ἢ ἐν ταῖς οὐρήσεσιν ἔχει· μᾶλλον μὲν γὰρ ἐπὶ ἐκείνων
οἱ κάτω, ἧτΊον δὲ οἱ πρὸς τοῖς ὑποχονδρίοις ἐνεργοῦσιν· συνεντεί-
νονται δὲ ἀμφοτέροις οἱ κατὰ τὰς πλευρὰς μύες, οὐκ οὐρήσεως ὄντα

puisque le présent discours est consacré à l'exposition de leur mouve-
76 ment. Quand tous les muscles abdominaux agissent en se contractant,
ils poussent en dedans les organes de la digestion, et, si le diaphragme
cède, ces organes remontent dans l'endroit qu'il occupait, et épuisent
ainsi l'activité des muscles; si, au contraire, le diaphragme résiste,
ce qui est contenu dans les cavités de ces organes sera expulsé par suite
de la compression qu'exercent sur eux, comme si c'étaient deux mains, à
77 l'extérieur les muscles, et à l'intérieur le diaphragme. Ce qui aide puis-
samment à produire cet effet, c'est l'obliquité du diaphragme, dont l'une
des extrémités est adjacente au cartilage du sternum, tandis que l'autre
78 est placée en arrière vers l'origine des lombes. Quoique les muscles ab-
dominaux soient assez nombreux et qu'ils se contractent tous, ceux des
hypocondres se contractent cependant plus fortement que ceux de la
région inférieure pendant la défécation, contrairement à ce qui a lieu
pendant l'émission de l'urine; car, dans ce dernier cas, les muscles in-
férieurs agissent plus fortement que ceux des hypocondres; conjointe-
ment avec ces deux ordres de muscles, les muscles intercostaux se con-

3. τροφῆς] φύσεως Gal. — 9. πρόσω κείμενον Gal. — 10. τὴν ῥάχιν Gal. — 14-15. συνεκτείν. Gal. — Ib. 15. πλευράς] ἀναπνοάς Gal.

ἢ ἀποπατήσεως ὄργανα· τοῦτο μὲν γὰρ ἐσχάτως ἄλογον· ἀλλὰ ἐπεὶ τῶν φρενῶν τὴν τάσιν ἴσην ἐχρῆν εἶναι τῇ τάσει τῶν κατὰ τὴν γασΊέρα μυῶν, ἦν δὲ ἀδύνατον ἕνα μῦν οὖσας αὐτὰς πολλοῖς καὶ μεγάλοις ἁμιλλᾶσθαι, καὶ κίνδυνος ἐν τούτῳ νικηθείσας [εἰς τὴν εὐρυχωρίαν ἀνατραπῆναι τοῦ θώρακος, διὰ τοῦτο οἱ κατὰ τὰς πλευρὰς συνεντείνονται].

tractent aussi, non que ce soient des organes de l'émission de l'urine ou de la défécation, car il serait de la dernière absurdité de prétendre cela; mais ces muscles se contractent aussi : en effet, la tension du diaphragme devait être égale à celle des muscles abdominaux; il était impossible que le diaphragme, qui n'est qu'un seul muscle, luttât contre des muscles grands et nombreux; enfin, ces circonstances amenaient le danger que le diaphragme ne succombât et ne se renversât dans la cavité de la poitrine.

2. ἴσην om. F. — 3. ἐναμυνούσας F. — 4-6. εἰς..... συντείνονται om. F. — 6. συντείνονται Gal.

ΒΙΒΛΙΟΝ ΚΔ'.

α'. Περὶ ἐγκεφάλου καὶ μηνίγγων. Ἐκ τῶν Γαληνοῦ.

1 Γυμνώσας ἐπιτηδείως τὸν ἐγκέφαλον ὄψει τὴν σκληρὰν μήνιγγα
κατὰ τὸ μῆκος αὐτοῦ μέσον ἑαυτῆς πολὺ παχυτέραν γε φαινομένην,
ἐγκαταβαίνουσάν τε μέχρι τινὸς αὐτῷ, κατὰ ὃ μάλισ7α μέρος ἐσ7ὶν
2 ἐν τῷ κρανίῳ τῶν ῥαφῶν ἡ μέση. Κατὰ δὲ τὸν αὐτὸν τρόπον ὑπὸ τῇ
λαμβδοειδεῖ ῥαφῇ τὴν παχεῖαν μήνιγγα θεάσῃ διπλουμένην τε
3 ἅμα καὶ μέχρι τινὸς ἐγκαταβαίνουσαν τῷ ἐγκεφάλῳ. Φανοῦνται δέ
σοι καὶ φλέβες ἀνίσχουσαι διὰ αὐτῆς, ἑκατέρωθεν μία, κατὰ τὰς
4 πλευρὰς τῆς λαμβδοειδοῦς ῥαφῆς. Ἔνθα δὲ ἀλλήλαις εἰς ταὐτὸν ἥκου-
σιν αὗται, σχεδὸν μέν τι τοῦτο τὸ χωρίον ὑψηλότατον φαίνεται

LIVRE XXIV.

1. DU CERVEAU ET DES MÉNINGES. — TIRÉ DE GALIEN.

1 En dénudant convenablement le cerveau, vous verrez que la dure membrane (*dure-mère*) se montre, sur la ligne médiane, dans le sens de la longueur du cerveau, beaucoup plus épaisse qu'ailleurs, et que, à l'endroit qui correspond à la suture moyenne du crâne (*suture sagittale*), elle s'en-
2 fonce, jusqu'à un certain point, dans cet organe (*faux du cerveau*). Vous verrez encore que, sous la suture lambdoïde, l'épaisse membrane (*dure-mère—tente du cervelet*) se replie et s'enfonce de la même manière, jusqu'à
3 un certain point, dans le cerveau. Il vous apparaîtra aussi, de chaque côté, une veine qui monte à travers cette membrane, en longeant la su-
4 ture lambdoïde (*sinus latéraux*). Vous vous apercevrez que le point où ces veines se rencontrent (*pressoir d'Hérophile*) est, peu s'en faut, plus élevé que toutes les parties qui l'environnent; cependant ce point ne

Ch. 1, l. 2. ἑαυτῆς om. AB Mor. — 3. οὕτω Codd. Mor. — 7. μία om. Codd.

τῶν πέριξ· οὐκ ἴσον δὲ ἀπὸ αὐτοῦ τό τε πρόσω καὶ τοὐπίσω τῶν
κατὰ τὸν ἐγκέφαλόν ἐστι μορίων, ἀλλὰ τὸ πρόσω παμπόλλῳ μεῖ-
ζον. Ἐπὶ δὲ τὸ μετεωρότατον τοῦτο καὶ ἡ ἑτέρα διπλόη παραγίνε- 5
ται τῆς παχείας μήνιγγος, ὥστε φαίνεσθαι τετραπλασίαν τῷ πάχει
τῶν ἄλλων ἁπάντων μερῶν ἑαυτῆς ὅσα περιλαμβάνει τὸν ἐγκέφα-
λον κύκλῳ. Καὶ μὲν δὴ καὶ φλὲψ ἄλλη τρίτη παρὰ τὰς εἰρημένας 6
δύο κατὰ τὸ μῆκος ἐκτέταται πρόσω φερομένη· τί γὰρ ἂν ἄλλο
τις ἢ φλέβα καλέσειε τὸ τοιοῦτον ἀγγεῖον, ἐν ᾧ φαίνεται περιεχό-
μενον αἷμα; Θεάσῃ τε τὰς κοιλότητας ταύτας οὐ τὸν τῆς φλεβὸς 7
ἐχούσας χιτῶνα συναναβαίνοντα διὰ τῶν ὀστῶν τῆς κεφαλῆς, ἀλλὰ
ὅταν πρῶτον αἱ φλέβες προσάψωνται τοῦ κρανίου, διπλουμένην τε
κατὰ τοῦτο τὴν παχεῖαν μήνιγγα, μετὰ τοῦ συριγγοῦσθαι τὴν ἔν-
δον χώραν εἰς ἰδέαν ἀγγείου δεχομένην τὸ αἷμα, καὶ φυλάττουσαν
οἷον παρέλαβεν· ἐνθάδε συμβάλλουσιν ἀλλήλαις αἱ δύο φλέβες, ἥν
τινα χώραν ὁ Ἡρόφιλος ὀνομάζει ληνόν. Ἔστι δὲ αὕτη μὲν ἣν ἐκεῖ- 8

se trouve pas à une distance égale de la partie antérieure et de la partie
postérieure du cerveau; au contraire, ce qui est en avant a beaucoup
plus d'étendue. A ce point le plus élevé du crâne aboutit également 5
un autre pli de l'épaisse membrane (*faux du cervelet*); par suite, cette
membrane y présente une épaisseur quadruple de celle de toutes ses
autres parties qui enveloppent circulairement le cerveau. Outre les deux 6
veines dont nous venons de parler, il y en a encore une troisième (*sinus
longitudinal supérieur?*), qui s'étend sur toute la longueur de la dure-mère
et se dirige en avant : en effet, quel autre nom que celui de *veine* don-
nera-t-on à un vaisseau qui contient manifestement du sang? Vous re- 7
connaîtrez que ces cavités n'ont pas la tunique des veines, laquelle ne
remonte pas avec elles à travers les os du crâne; au contraire, aussitôt
que les veines touchent au crâne, l'épaisse membrane forme un pli à
l'endroit même où s'opère le contact, et l'espace intermédiaire se creuse
pour former un vaisseau qui admet le sang et le conserve tel qu'il l'a
reçu; c'est là que se réunissent les deux veines (*sinus latéraux*), en-
droit qu'Hérophile appelle *pressoir*. La rencontre de veines à laquelle 8

6. Καὶ μέντοι καί Codd. Gal. — ἴδιον ἀγγεῖον Gal. — 14. ἔνθα δέ AB.
11. προσάψονται ἄρχονται AB. — 13. Voy. Gal.

νος ὀνομάζει, διὰ βάθους μᾶλλον· ἐπιπολῆς δὲ ἑτέρα συμβολὴ φλεβῶν
μικρῶν ἐπικειμένη τῇ ληνῷ κατὰ τὴν παχεῖαν ὡσαύτως μήνιγγα
9 γεγεννημένη. Ἀποφύεται δὲ κατὰ ἐκεῖνο τὸ μέρος ἔνθα συμβάλλει ἡ
10 λαμβδοειδὴς ῥαφὴ τοῖς λεπιδοειδέσιν ὀστοῖς. — Ἡ δὲ λεπτὴ μῆνιγξ
στηρίζει μὲν ἅμα τὸν ἐγκέφαλον καὶ σκέπει, καὶ προσέτι σύνδεσμος γίνεται τῶν κατὰ αὐτὸν ἀγγείων ἁπάντων· ἔοικε γὰρ ἐμβρύου χορίῳ καὶ μεσαραίῳ ζώου· καὶ γὰρ ἐκείνων ἑκάτερον ἐκ πολλῶν ἀρτηριῶν καὶ φλεβῶν ἐγγὺς ἀλλήλαις κειμένων, ὑμένι τε λεπτῷ τὰ μεταξὺ διαστήματα συνυφασμένων, ἐγένετο, καὶ ἡ μῆνιγξ ὡσαύτως ἁπάσας συνδεῖ τὰς κατὰ τὸν ἐγκέφαλον ἀρτηρίας καὶ φλέ-
11 βας. Οὐ περιέχει δὲ μόνον τὸν ἐγκέφαλον, ἀλλὰ καὶ διὰ τοῦ βάθους αὐτοῦ διαδύεται, καὶ πάντῃ διεξέρχεται, καὶ ὅλον αὐτὸν διαπλέκει, πανταχόσε τοῖς ἀγγείοις παρεκτεινομένη μέχρι τῆς ἔνδον εὐρύ-
12 τητος τῶν κοιλιῶν. Ἔστι μὲν οὖν καὶ ἡ παχεῖα μῆνιγξ ἐγκεφάλου σκέπασμα· μᾶλλον δὲ οὐχ ἁπλῶς σκέπασμα χρὴ καλεῖν αὐτήν,

Hérophile a donné ce nom est plutôt profondément située; mais il y a encore une autre réunion superficielle de petites veines (*réunion des sinus occipitaux?*), placée au-dessus du pressoir et située également dans l'é-
9 paisse membrane. [Le petit repli de la dure-mère — *tente du cervelet*] prend son origine à l'endroit de la jonction de la suture lambdoïde avec les os
10 écailleux (*temporaux*). — La mince membrane (*pie-mère*) raffermit à la fois et couvre le cerveau; elle devient, en outre, un lien pour tous les vaisseaux de cet organe, car elle ressemble au chorion d'un fœtus ou au mésentère d'un animal : en effet, l'un aussi bien que l'autre de ces deux organes se compose d'un grand nombre d'artères et de veines placées les unes près des autres et réunies par une membrane mince qui remplit leurs interstices; la pie-mère relie de la même manière toutes les artères
11 et toutes les veines du cerveau. Cette membrane n'enveloppe pas seulement le cerveau, mais elle pénètre aussi dans sa profondeur, se répand de tous les côtés, et le revêt en entier jusque dans l'intérieur des ven-
12 tricules, en s'étendant dans tous les sens le long des vaisseaux. L'épaisse membrane est bien aussi une enveloppe du cerveau, quoiqu'il vaille mieux l'appeler non pas simplement une enveloppe, mais une espèce de

3. Ἀποφύεται δ' ἡ εἰρημένη λεπτὴ τῆς μήνιγγος ἀπόφυσις ἡ ἐπιπολῆς κατ' Gal.

ἀλλὰ οἷον ἀμυντήριόν τι πρόβλημα ταῖς τοῦ κρανίου προσβολαῖς
ἐκκείμενον· ἀλλὰ ἥ γε λεπτὴ, σύμφυτον αὐτοῦ σκέπασμα· καὶ γὰρ
δὴ καὶ ἀφέστηκεν ἀπὸ αὐτῆς ἡ παχεῖα, τοῖς διεκπίπτουσιν ἀγγείοις
μόνοις συνεχομένη. Προτέρα μὲν οὖν ἡ λεπτὴ μῆνιγξ, ἐπὶ αὐτῇ δὲ 13
ἡ παχεῖα γέγονεν, ὅσον ὀστοῦ μαλακωτέρα, τοσοῦτον τῆς λεπτῆς
σκληροτέρα, ὅσον δὲ ταύτης ἡ λεπτή ἐστι μαλακωτέρα, τοσοῦτον
ἐκείνης ὁ ἐγκέφαλος. Ἡ μὲν οὖν χοριοειδὴς μῆνιγξ σύμφυτόν ἐστιν 14
ἐγκεφάλου σκέπασμα, καθάπερ τι δέρμα ζώου· ταύτης δὲ ἡ παχεῖα
σύμφυτον μὲν οὐκέτι, πολλαχόθι δὲ συμφυές· ταύτῃ δὲ αὖ πάλιν
τῇ παχείᾳ τὸ περικείμενον ἔξωθεν ὀστοῦν, ὃ δὴ καὶ κρανίον ὀνο-
μάζουσι, καθάπερ τι κράνος ἐπίκειται· τῇ μήνιγγι δὲ τὸ κρανίον
σύμφυτον μὲν οὐκ ἐποίησεν ἡ φύσις, εἰς ἀσφάλειαν δὲ αὐτῆς δε-
σμοὺς ἐτεχνήσατο. Τίνες οὖν οἱ δεσμοὶ τῆς μήνιγγος; αὐτῆς ἀπο- 15
φύονται λεπτοί τινες ὑμένες· ὁδοὶ δὲ αὐτοῖς, ὥστε διεκπίπτειν
ἐκτὸς, αἱ ῥαφαὶ τῆς κεφαλῆς εἰσιν· περιτεινόμενοι γὰρ οὗτοι περὶ

rempart placé là pour défendre le cerveau du contact du crâne; la mince
membrane, au contraire, est une enveloppe adhérente du cerveau : car
l'épaisse membrane s'écarte de la mince et ne s'y rattache que par les
vaisseaux qui la traversent. Il y a donc d'abord [sur le cerveau] la mince 13
membrane, ensuite l'épaisse, qui surpasse autant l'os en mollesse qu'elle
surpasse la mince membrane en dureté; mais, autant celle-ci surpasse
l'épaisse membrane en mollesse, autant le cerveau la surpasse elle-même
sous ce rapport. La membrane qui ressemble au chorion (*pie-mère*), est 14
donc une enveloppe adhérente du cerveau, comme la peau d'un animal;
tandis que l'épaisse membrane n'adhère pas à la pie-mère, mais présente
seulement, en plusieurs endroits, des attaches; sur cette épaisse mem-
brane se trouve, à son tour, placé l'os qui sert d'enveloppe extérieure et
qu'on appelle aussi *cranion*, comme si c'était une espèce de casque (*κρά-
νος*); mais la nature n'a pas fait le crâne adhérent à la dure-mère; seule-
ment, elle lui a fabriqué des liens en vue de sa sûreté. Quels sont donc 15
les liens de l'épaisse membrane? Elle donne naissance à certaines mem-
branes minces (*adhérence de la dure-mère au niveau des sutures*), aux-
quelles les sutures de la tête servent de route pour passer à l'extérieur :

2. ἐγκείμενον Codd. Gal. Mor. — 12-13. κρ. πάντῃ σύμφ. Gal.

τὸ κατὰ ἑαυτὸν ἕκαστος μέρος, ὅθεν ἀνέσχεν, ἐντεῦθέν τε προϊόντες ἀπαντῶσιν ἀλλήλοις, καὶ συνάπτονται, καὶ συμφύονται, καὶ τελέως ἑνοῦνται, καὶ σχεδὸν ἕνα γεννῶσιν ὑμένα τὸν περικράνιον ὀνομαζό-
16 μενον. Αὐτὴ δὲ ἡ μῆνιγξ ἡ παχεῖα τὸ κρανίον ὑπέζωκεν· ὁ δὲ ἐγκέφαλος ἐν τῷ διαστέλλεσθαί τε καὶ συστέλλεσθαι προσέρχεταί τε καὶ
17 ἀποχωρεῖ κατὰ τὴν μεταξὺ χώραν τὴν κενήν. — Αὐτὸς δὲ ὁ ἐγκέφαλος τὴν μὲν οὐσίαν ὁμοιότατός ἐστι τοῖς νεύροις, ὧν ἔμελλεν ἀρχὴ γενήσεσθαι, πλὴν ὅτι μαλακώτερος αὐτῶν ὑπάρχει, καὶ αὐτοῦ δὲ μαλακώτερος μὲν ὁ πρόσθεν, σκληρότερος δὲ ὁ λοιπὸς, ὃν ἐγκράνιον καὶ παρεγκεφαλίδα καλοῦσιν οἱ ἀνατομικοί· καὶ διείργεσθον ἐνδιπλουμένῃ τῇ σκληρᾷ μήνιγγι, κατὰ μόνον τὸν ὑπὸ τῇ κορυφῇ τῆς κεφαλῆς κείμενον πόρον καὶ τὰ τοῦτον περιέχοντα σώματα
18 συναπτομένω. Κοιλίαι δὲ τοῦ ἐγκεφάλου δύο μέν εἰσιν αἱ πρόσθιοι, τὴν εἰσπνοὴν καὶ τὴν ἐκπνοὴν καὶ τὴν ἐκφύσησιν ἐργαζό-

en effet, ces membranes se répandant chacune autour de la partie qui lui correspond et d'où elles s'échappent, et, s'avançant de là à la rencontre les unes des autres, se touchent, adhèrent entre elles, s'unissent complétement, et forment presque une seule membrane, qu'on appelle *péri-*
16 *crâne.* L'épaisse membrane tapisse le crâne, et le cerveau, pendant sa dilatation et sa contraction, se rapproche et s'éloigne d'elle dans l'es-
17 pace vide qui existe entre eux. — Le cerveau lui-même, sous le rapport de sa substance, ressemble beaucoup aux nerfs dont il devait être l'origine; seulement, il est plus mou qu'eux, et, de ses diverses parties, l'antérieure est la plus molle, tandis que le reste, que les anatomistes appellent *encrâne* ou *parencéphale* (*cerveau accessoire; cervelet*), est plus dur; ces deux parties sont séparées par un pli de la dure membrane (*tente du cervelet*), et ne se touchent qu'au niveau du conduit (*confluent du liquide céphalo-rachidien*) situé sous le sommet de la tête et vers les parties (*tubercules quadrij. et pont formé par l'arachn. entre le cerveau et*
18 *le cervelet*) qui entourent ce conduit. Il y a deux ventricules antérieurs (*latéraux*) du cerveau qui opèrent l'inspiration, l'expiration et l'expul-

1. ἔσχεν AB. — 5. τε καὶ συστέλλ. om. AB Mor. — 9-10. ὃν ἐγκεφ. καλ. Gal. — 11. σκληρᾷ] λαιᾷ B. — 12. καὶ τὸν κατὰ τοῦτον περιέχ. σῶμα καί AB; καὶ τὸν κατὰ τὸν περιέχ. σῶμα Mor. — 14. φύσην Mor.; φύσις AB.

μεναι τὴν ἐξ ἐγκεφάλου· δέδεικται γὰρ ἑτέρωθι περὶ τούτων· ἀπο-
δέδεικται δὲ καὶ ὅτι προκατεργάζονταί τε καὶ προπαρασκευάζουσιν
αὗται τὸ ψυχικὸν πνεῦμα· καὶ μὲν δὴ καὶ ὅτι τοῖς κάτω μέρεσι
σφῶν αὐτῶν τοῖς πρὸς τὰς ῥῖνας, ἅμα μὲν ὀσφρητικόν ἐστιν ὄργα-
νον, ἅμα δὲ οἷον ὀχετός τις εἰς περιττωμάτων ἐκροὴν ἐπιτήδειος·
μία δὲ ἡ ἐν τῇ παρεγκεφαλίδι, τὸ κατειργασμένον ἐν ταῖς προ-
σθίοις ψυχικὸν πνεῦμα μεταλαμβάνουσα· διὸ καὶ ἀναγκαῖον ἦν γε-
νέσθαι τινὰ πόρον ἐξ ἐκείνων εἰς ταύτην. Ἀτὰρ οὖν καὶ φαίνεται 19
μέγιστος ὁ ἀπὸ τῶν ἔμπροσθεν κοιλιῶν εἰς αὐτὴν ἐμβάλλων πόρος,
καὶ κατὰ τοῦτό γε μόνον ἡ σύμφυσίς ἐστι τῇ παρεγκεφαλίδι πρὸς
τὸν ἐγκέφαλον· οὕτω γὰρ ἑκατέραν αὐτοῦ τὴν μοῖραν ἔθος ἐστὶ
καλεῖν τοῖς περὶ τὸν Ἡρόφιλον· τὴν δὲ ὄπισθεν παρεγκεφαλίδα.
Διειργόμενος οὖν ἀπὸ τῆς παρεγκεφαλίδος, ὡς καὶ πρόσθεν εἴρη- 20
ται, τῇ τῆς παχείας μήνιγγος διπλώσει, δεόμενος δὲ κἂν κατὰ ἕν

sion du pneuma du cerveau : car nous avons traité, dans un autre endroit (*Util. de la respir.* I, v), de ces fonctions, et nous avons démontré aussi que ces ventricules élaborent et préparent le pneuma psychique; nous avons prouvé, de plus (*Util. des parties,* VIII, vii), que, dans leurs parties inférieures qui se rapprochent des narines, ils étaient à la fois un organe de l'odorat et une espèce de canal pour l'écoulement des superfluités; mais le ventricule qui existe dans le cervelet et qui reçoit le pneuma psychique élaboré dans les ventricules antérieurs, est unique : pour cette raison, il était nécessaire aussi qu'il y eût un canal qui se ren-
dît des uns à l'autre (*confluent du liquide céphalo-rachidien*). Mais le canal 19
qui, venant des ventricules antérieurs, aboutit à celui du cervelet (*quatrième ventricule*), a manifestement un volume considérable, et c'est là le seul endroit où il y ait continuité entre le parencéphale (*cervelet*) et l'encéphale : c'est, en effet, l'habitude d'Hérophile de désigner par ce dernier mot chacune des deux parties (*hémisphères*) du cerveau, et de ré-
server le mot de parencéphale pour la partie postérieure. L'encéphale 20
donc, étant séparé du parencéphale, comme il a été dit précédemment, par le repli de l'épaisse membrane (*tente du cervelet*), et ayant besoin

6. προκατειργ. Gal.

τι συναφθῆναι μέρος ἕνεκα τῆς τοῦ προειρημένου πόρου γενέσεως,
εἰς μίαν πρότερον χώραν τὰς κοιλίας ἀμφοτέρας ἐπεράτωσεν, ἣν δὴ
τετάρτην ἔνιοι τῶν ἀνατομικῶν ἀριθμοῦσι τοῦ παντὸς ἐγκεφάλου
κοιλίαν· ἐκ ταύτης γὰρ τῆς κοιλότητος ὁρμώμενος ὁ πόρος, ἐκδε-
χόμενός τε τὸ περιεχόμενον ἐν αὐτῇ πνεῦμα, διαπέμπει τῇ παρ-
21 εγκεφαλίδι. Τὸ δὲ ὑπὲρ τὴν κοιλότητα μέρος ἐγκεφάλου, καθάπερ
οἰκίας τις ὄροφος, εἰς κοίλης σφαίρας ἐπιφάνειαν περιαγόμενον,
οὐκ ἂν ἀλόγως δόξειεν ὠνομάσθαι καμάριόν τε καὶ ψαλιδοειδὲς,
ὅτι καὶ τὰ τοιαῦτα τῶν οἰκοδομημάτων ἔθος ἐστὶ τοῖς ἀρχιτεκτονι-
22 κοῖς καμάρας τε καὶ ψαλίδας ὀνομάζειν. — Τὸ δὲ κατὰ τὴν ἀρχὴν τοῦ
συνάπτοντος τὴν μέσην κοιλίαν πόρου πρὸς τὸν ὀπίσθιον ἐγκέ-
φαλον ἐπικείμενον σῶμα, τὸ πρὸς τῶν ἀνατομικῶν ὀνομαζόμενον
κωνάριον, τὴν μὲν οὐσίαν ἐστὶν ἀδὴν, καὶ τὸ σχῆμα κώνῳ μάλιστα
23 παραπλήσιον, ὅθεν αὐτῷ καὶ τοὔνομα. Τοῦτον δὴ τὸν ἀδένα τὸν τῷ
branes qui divisent la poitrine, et qui se portent longitudinalement de haut
en bas (*médiastins*); ces membranes s'implantent sûrement en arrière sur
les vertèbres de l'épine du dos, et en avant sur l'os situé au milieu de la
poitrine (*sternum*), os dont l'extrémité inférieure est constituée par le car-
tilage dit *en forme d'épée* (*cartilage xiphoïde*) placé sur l'orifice de l'esto-
mac, et dont l'extrémité supérieure forme le moyen de jonction des deux
clavicules. La principale, la plus grande utilité de ces membranes est de 5
diviser la poitrine en deux cavités, afin que, si, parfois, l'une venant à

1-2. ὥσπερ ex em.; ἅπερ A B; ὥσ-περ Gal. Mor. — 7. ὁ περιτόναιος Mor. — 8-9. ἄνωθεν καταφερόμενοι AB

θατέρῳ μέρει γενηθέντος, ἀπόλοιτο τὸ κατὰ ἐκεῖνο τὸ μέρος ἔργον τῆς ἀναπνοῆς, ἡ λοιπὴ κοιλία σωζομένη τὸ γοῦν ἥμισυ τῆς ἐνερ-
6 γείας διαφυλάτῃ. Διὰ τοῦτο οὖν ἡμίφωνον καὶ ἡμίπνουν ἐπὶ τοῖς εἴσω διασχοῦσι τραύμασι μεγάλοις ἐν θατέρῳ μέρει τοῦ θώρακος εὐθὺς γίνεται τὸ ζῶον, ἄφωνον δὲ καὶ τελέως ἄπνουν, εἰ ἀμφότε-
7 ραι συντρηθεῖεν αἱ κοιλίαι. Ταύτην τοίνυν οὕτω μεγάλην χρείαν παρεχομένων τῷ ζώῳ τῶν διαφραττόντων ὑμένων τὸν θώρακα, καὶ διὰ τοῦτο μάλιστα γεγονότων, ἡ φύσις κατεχρήσατο καὶ πρὸς ἄλλο, καὶ τὴν ὡς ἀμφιεσμάτων τε ἅμα καὶ συνδέσμων ἐξ αὐτῶν ὠφέλειαν τοῖς ἐντὸς τοῦ θώρακος ὀργάνοις ἅπασιν ἐτεχνήσατο· καὶ γὰρ καὶ τὰς ἀρτηρίας τὰς ἐνταῦθα, καὶ τὰς φλέβας, καὶ τὰ νεῦρα, καὶ τὸν οἰσοφάγον, ἤδη δὲ καὶ αὐτὸν ὅλον τὸν πνεύμονα συνδοῦσί τε τῷ παντὶ θώρακι καὶ σκέπουσιν οἱ ὑμένες οἵδε περιτεινόμενοι.

recevoir une grave blessure, la fonction respiratoire dévolue à cette partie s'abolissait, l'autre cavité, intacte, sauvât du moins la moitié de la
6 fonction. Aussi l'animal perd-il instantanément la moitié de la voix et de la respiration dans le cas de grandes plaies qui pénètrent dans l'intérieur de l'une des cavités de la poitrine, et il perd immédiatement la voix et la respiration tout entière, si toutes les deux sont ouvertes.
7 Quoique les membranes de séparation de la poitrine aient cette utilité si importante pour l'animal, et qu'elles aient été principalement faites en vue de cet office, la nature les a fait concourir de plus à un autre but, et a imaginé de retirer d'elles, pour tous les organes situés à l'intérieur de la poitrine, les avantages qu'on retire à la fois des enveloppes et des ligaments : en effet, ces membranes rattachent à toute la poitrine et enveloppent, en s'étendant autour d'eux, les artères, les veines et les nerfs de cette région, l'œsophage et aussi le poumon lui-même tout entier.

1. ἐκ. μέρος AB Mor. — 5. δὲ τελ. ἢ ἄπν. Gal. — 6-7. τοίνυν μεγ. χρ. οὕτω AB Mor. — ἐχομένων AB Mor. — 9. ἄλλο καί om. AB Mor. — 13. τε om. AB Mor.

ιγ'. Περὶ πνεύμονος.

Τὴν τοῦ θώρακος ὁ πνεύμων ἐκπεπλήρωκεν εὐρύτητα, φωνητι- 1
κὸν ἅμα καὶ ἀναπνευστικὸν ὄργανον γενόμενος, τὴν ἀρχὴν τῆς κι-
νήσεως ἔχων παρὰ τοῦ θώρακος. Ἡ δὲ χρεία τῆς ἀναπνοῆς διὰ τὴν 2
καρδίαν γίνεται, τὸ μέν που δεομένης καὶ αὐτῆς τοῦ ἀέρος τῆς οὐ-
σίας, τὸ δὲ πλεῖστον ὑπὸ θερμότητος ζεούσης ἀναψύχεσθαι ποθού-
σης· ἀναψύχει δὲ αὐτὴν ἡ μὲν εἰσπνοὴ χορηγίᾳ ποιότητος ψυ-
χρᾶς, ἡ δὲ ἐκπνοὴ τοῦ ζέοντος ἐν αὐτῇ καὶ οἷον συγκεκαυμένου
καὶ λιγνυώδους ἀποχύσει. Διὰ τοῦτο οὖν καὶ διπλῆν ἔχει τὴν κίνη- 3
σιν ἐξ ἐναντίων συγκειμένην, ἕλκουσαν μὲν ἐπειδὰν διαστέλληται,
κενουμένην δὲ ἐν τῷ συστέλλεσθαι. Σκοπεῖσθε δέ μοι κἀνταῦθα τὴν 4
πρόνοιαν τῆς φύσεως· ἐπειδὴ γὰρ ἄμεινον ἡμῖν ἦν ἔχειν φωνὴν,
ἐδεῖτο δὲ ἐξ ἀνάγκης αὐτῆς ἡ γένεσις ἀέρος, ὅσον ἤμελλεν ἄλλως
ἀργὸν καὶ ἄχρηστον ἐκπνεῖσθαι, τοῦτο ὕλην ἐποιήσατο φωνῆς, καὶ
τὴν καρδίαν οὐ διὰ τῆς φάρυγγος εὐθὺς ἔξωθεν ἕλκειν ἐποίησε τὸν
ἀέρα, μέσον δὲ ἀμφοῖν ἔθηκε τὸν πνεύμονα, καθάπερ τι ταμιεῖον

13. DU POUMON.

Le poumon remplit la cavité de la poitrine, et c'est à la fois un organe 1
vocal et un organe respiratoire; il tire le principe de son mouvement de
la poitrine. La respiration a lieu dans l'intérêt du cœur, lequel, d'une 2
part, a besoin lui-même de la substance de l'air, et, d'autre part, vu sa
chaleur bouillante, a un désir très-vif d'être refroidi; or l'inspiration le
refroidit, en lui amenant [une substance d'] une qualité froide, et l'ex-
piration, en enlevant ce qu'il contient d'effervescent, et, pour ainsi
dire, de brûlé et de fuligineux. C'est pour cette raison que le cœur a un 3
double mouvement composé d'éléments opposés, attirant quand il se
dilate, et se vidant pendant la contraction. Faites attention, à ce propos, 4
à la prévoyance de la nature : puisqu'il valait mieux pour nous que nous
eussions une voix, et que, pour en produire une, l'air était indispen-
sable, elle a converti en matériaux de la voix tout l'air qui, sans cela,
aurait dû être expiré sans profit ni utilité, et elle n'a pas chargé le cœur
d'aspirer l'air immédiatement de l'extérieur par le pharynx; mais, pour
intermédiaire entre ces deux organes, elle a établi le poumon, comme

πνεύματος, ἀμφοτέραις ταῖς ἐνεργείαις ὑπηρετεῖν ἅμα δυνάμενον.
5 Ἔστι δὲ καὶ ἡ σύστασις αὐτοῦ τοιάδε· αἱ κατὰ ὅλον τὸ σῶμα φλέβες
ἐξ ἑνὸς ἰδίου γεγόνασι χιτῶνος· ὁ γὰρ ἔξωθεν αὐταῖς ἐνίοτε περι-
φυόμενος ὑμὴν, ἔνθα συνδεῖσθαί τισιν ἢ στηρίζεσθαί τε καὶ σκέ-
πεσθαι δέονται, κατὰ ἐκεῖνα μόνα προσέρχεται· δύο δέ εἰσιν οἱ τῆς
ἀρτηρίας ἴδιοι χιτῶνες, ὁ μὲν ἔξωθεν οἷός περ ὁ τῆς φλεβὸς, ὁ δὲ
ἔνδον πενταπλάσιος τῷ πάχει τουδὶ, καὶ μέντοι καὶ σκληρότερος,
6 εἰς ἐγκαρσίας ἶνας διαλυόμενος. Ὅ γε μὴν ἔξωθεν, ὁ καὶ ταῖς φλε-
ψὶν ὑπάρχων, εὐθείας τε καὶ μετρίως ἐνίας λοξὰς ἔχει τῶν ἰνῶν,
ἐγκαρσίαν δὲ οὐδεμίαν· ὁ δὲ ἔνδον χιτὼν τῆς ἀρτηρίας ὁ παχὺς καὶ
σκληρὸς, οἷον δέρμα τι κατὰ τὴν ἐντὸς ἐπιφάνειαν ἔχει παραπλή-
σιον ἀραχνίῳ, σαφῶς φαινόμενον ἐπὶ τῶν μεγάλων ἀρτηριῶν, ὃν
7 ἔνιοι τρίτον ἀρτηρίας τίθενται χιτῶνα. Τέταρτος δὲ ἄλλος ἴδιος αὐ-
τῆς οὐδείς ἐστιν, ἀλλὰ ὥσπερ ἐνίαις τῶν φλεβῶν, οὕτω καὶ τῶν ἀρ-
τηριῶν ἐπιφύεταί τε καὶ περιφύεται κατά τινα μέρη λεπτὸς ὑμὴν,

5 un réservoir d'air capable de servir à la fois aux deux fonctions. Sa com-
position est la suivante : les veines répandues dans tout le corps sont
faites d'une seule tunique propre; car la membrane qui, parfois, s'im-
plante de tous côtés sur elle à l'extérieur, lorsqu'elles ont besoin d'être
rattachées à certaines parties, ou d'être consolidées ou recouvertes, ne
s'y ajoute que dans ces circonstances; mais les tuniques propres des ar-
tères sont au nombre de deux, l'une extérieure, semblable à la tunique
propre des veines (*tun. ext. celluleuse*), l'autre intérieure et cinq fois plus
épaisse que la première; puis elle est aussi plus dure, et se résout en
6 fibres transversales (*tun. moyenne fibreuse*). La tunique extérieure, qui
existe également pour les veines, a des fibres droites, et aussi quelques
fibres d'une obliquité modérée, mais point de transversales; quant à la tu-
nique interne des artères, tunique épaisse et dure, elle possède à sa sur-
face intérieure une espèce de peau, semblable à une toile d'araignée (*tun.
int. séreuse*), qu'on voit clairement dans les grandes artères, et que quel-
7 ques-uns considèrent comme la troisième tunique des artères. Il n'existe
aucune autre quatrième tunique propre des artères; mais, comme pour
certaines veines, il y a pour quelques artères une membrane mince qui,

2. Ἔστι..... τοιάδε om. Gal.

σκέπων, ἢ στηρίζων, ἢ ξυνδέων αὐτὰς τοῖς πλησιάζουσι μορίοις.
Ὁποῖαι μὲν οὖν κατὰ ὅλον τὸ σῶμά εἰσιν αἱ ἀρτηρίαι, τοιοῦτον ἐκ 8
τῆς δεξιᾶς κοιλίας τῆς καρδίας ἐκφυόμενον ἀγγεῖον εἰς ὅλον τὸν
πνεύμονα κατασχίζεται· ὁποῖαι δὲ αἱ φλέβες, τοιοῦτον ἐκ τῆς ἀρι-
στερᾶς, ὥστε τριῶν ἀγγείων διαπλεκόντων τὸν πνεύμονα, τὸ μὲν
ἀπὸ τῆς ἀριστερᾶς κοιλίας τῆς καρδίας ὁρμώμενον ἀρτηρίαν φλε-
βώδη καλεῖσθαι, τὸ δὲ ἀπὸ τῆς δεξιᾶς ἀρτηριώδη φλέβα, τὸ δὲ τρί-
τον ἀπὸ τῆς φάρυγγος ἀρτηρίαν τραχεῖαν, ἐκ χόνδρων συγκειμένην
σιγμοειδῶν τὸ σχῆμα. Τὸ μὲν οὖν κυκλοτερὲς τοῦ χόνδρου κατά τε 9
τὴν μεγάλην ἀρτηρίαν τὴν ἐν τῷ τραχήλῳ πρέμνου λόγον ἔχουσαν
πρὸς τὰς ἐν τῷ πνεύμονι καὶ κατὰ αὐτὰς ἐκείνας ὥσπερ τινὰς κλά-
δους ἀπὸ αὐτῆς πεφυκυίας, ἐν τοῖς πρόσω τέτακται μέρεσιν· κατὰ
ὃ δὲ ἀπολείπεται μέρος ὁ χόνδρος εἰς τὴν τοῦ κύκλου συμπλήρω-
σιν, ἐν τοῖς ὀπίσω μέρεσίν ἐστι, κατὰ μὲν τὸν τράχηλον ὁμιλοῦν
τῷ στομάχῳ, κατὰ δὲ τὸν πνεύμονα τῇ κληθείσῃ πρὸς ἡμῶν ὀλί-

dans certaines parties, s'implante sur elles et les enveloppe de tous côtés
pour les recouvrir, les consolider ou les relier aux parties voisines. Or 8
il se détache du ventricule droit du cœur un vaisseau en tout semblable
aux artères du reste du corps, et qui se ramifie dans tout le poumon, et
il en vient un autre du ventricule gauche, identique aux autres veines:
ainsi donc, comme il y a trois vaisseaux qui enlacent le poumon, on
appelle *artère veineuse* (*veines pulmonaires*, voy. trad. de Galien, t. I,
p. 400 et 407), celui qui provient du ventricule gauche du cœur, *veine
artérielle* (*artère pulmonaire*), celui qui provient du ventricule droit, et
trachée-artère, le troisième vaisseau qui vient du larynx, et qui se com-
pose de cartilages semblables, pour la forme, à la lettre C. Dans la grande 9
artère du cou, qui, relativement à celles du poumon, joue le rôle de
tronc, ainsi que dans ces artères mêmes (*bronches*), qui sont comme
des branches dérivées de ce tronc, la partie circulaire du cartilage oc-
cupe la face antérieure, et la partie où le cartilage nécessaire pour
compléter le cercle fait défaut occupe la face postérieure, en contact
au cou avec l'œsophage, et dans le poumon avec le vaisseau que nous

1. *ξυνδῶν* B. — 2. *αἱ* om. AB Mor. — 8. *ἀπὸ τῆς φάρ.* om. Gal. — 11. *ταύτας* AB Mor. — 12-14. *κατὰ.... ἐστιν* om. Gal. — 14. *ὁμιλῶν* Gal.

γον ἔμπροσθεν ἀρτηριώδει φλεβί· ἀναπληροῦται δὲ τὰ μεταξὺ τῶν ἀγγείων ὑπὸ τῆς τοῦ πνεύμονος ἰδίας οὐσίας, ἣν οἱ περὶ τὸν Ἐρα-
10 σίστρατον ὀνομάζουσι παρέγχυμα. Ὅτι δὲ οὐχ ὡς ἐπὶ ἥπατος οἱ λοβοὶ τοῦ πνεύμονος ἄνισοι τὸν ἀριθμόν εἰσιν, ἀλλὰ ἐπὶ πάντων τῶν ζώων, ὑπὲρ ὧν ὁ λόγος ἡμῖν ἐστι, δύο μὲν ἐν τοῖς δεξιοῖς αὐτοῦ μέρεσι, δύο δὲ ἐν τοῖς ἀριστεροῖς, ὡμολόγηται πᾶσιν· ὡμολόγηται δὲ, εἰ καὶ μὴ πᾶσιν, ἀλλὰ τοῖς γε ἀκριβέστερον ἀνατέμνουσιν, ὡς ἐν τῷ δεξιῷ μέρει τοῦ θώρακος ἔστι τις καὶ πέμπτος λοβὸς
11 μικρὸς, οἷον ἀποβλάστημά τι θατέρου τοῖν δυοῖν. Εὑρήσεις δὲ αὐτὸν ῥᾷστα τῇ κοίλῃ φλεβὶ προσέχων τὸν νοῦν· ἐκείνη γὰρ ὑποβέβληται, κατὰ ὃ πρῶτον ἐμπίπτει τῷ θώρακι καταλιποῦσα τὰς
12 φρένας. Ἔστι δὲ ὅτε καὶ κοιλότητά τινα κατὰ τῶν ἐπιπολῆς αὐτοῦ σαφῶς ἰδεῖν ἔστιν, ἐπὶ ἧς ἡ φλὲψ ἐστηρίζετο ζῶντος ἔτι τοῦ ζώου· μετὰ γάρ τοι τὸν θάνατον ὁ πνεύμων ἀεὶ συμπεπτωκὼς ὁρᾶται καὶ

avons appelé, un peu plus haut, *veine artérielle;* les interstices des vaisseaux sout remplis par la substance propre du poumon, qu'Éra-
10 sistrate appelle *parenchyme.* — Que le nombre des lobes du poumon n'est pas inégal, comme cela a lieu pour le foie, mais que, chez tous les animaux qui font l'objet de ce traité, il y a deux lobes au côté droit du poumon et deux au côté gauche, c'est un fait sur lequel tout le monde est d'accord; un autre fait, sur lequel, sinon tout le monde, au moins ceux qui dissèquent avec quelque soin, s'accordent également, c'est que, dans le côté droit de la poitrine, il existe en plus un cinquième lobe de petite taille, qui pousse, pour ainsi dire, de l'un
11 des deux autres. (Voy. trad. de Galien, t. I, p. 480.) Vous trouverez très-facilement ce lobe, en faisant attention à la veine cave; car il est placé sous cette veine, exactement à l'endroit où, quittant le diaphragme,
12 elle arrive dans la poitrine. Quelquefois on peut voir clairement que même une excavation occupe la partie superficielle de ce lobe, excavation sur laquelle s'appuie la veine cave quand l'animal est encore en vie : car, après la mort, on voit toujours le poumon dans un état d'affaissement et de rétrécissement, l'espace vide entre le poumon et la poitrine

13. ἐπὶ ἧς] ᾧ Mor.; om. AB.

μικρὸς, οὐκ ὀλίγης γινομένης τῆς μεταξὺ χώρας αὐτοῦ τε καὶ τοῦ θώρακος, ἔμπαλιν ἢ ὡς ζῶντος ἔσχε τοῦ ζώου· πεποίηκε γὰρ ἡ φύσις, οὐχ ὡς ἀναπνευσΊικὸν ὄργανον, ἀλλὰ ὡς ὑποσΊόρεσμά τι μαλθακὸν τῇ κοίλῃ φλεβὶ τὸν λοβὸν τοῦτον ἀπὸ τοῦ διαφράγματος ἄχρι τοῦ τῆς καρδίας ὠτὸς ἐκτεταμένον. 13 Ἡ δὲ σὰρξ τοῦ πνεύμονος ἀερώδης ὁρᾶται καὶ πνεύματος μεσΊὴ, σαφῶς εἰς πέψιν ἀέρος ἐνδεικνυμένη παρεσκευάσθαι, καθάπερ ἡ τοῦ ἥπατος εἰς τὴν τῆς τροφῆς· εὔλογον γὰρ οὐκ ἀθρόως, οὐδὲ ἐξαίφνης τὸν ἔξωθεν ἀέρα τοῦ κατὰ τὸ ζῷον πνεύματος γίνεσθαι τροφὴν, ἀλλὰ κατὰ βραχὺ μὲν ἀλλοιούμενον, ὥσπερ γε καὶ τὰ σιτία, δεχόμενον δὲ τὴν οἰκείαν ποιότητα τῷ συμφύτῳ πνεύματι χρόνῳ πλέονι, καὶ ταύτης τῆς ἀλλοιώσεως τὸ πρῶτον ὄργανον ὑπάρχειν τὴν τοῦ πνεύμονος σάρκα, καθάπερ γε καὶ τῆς εἰς αἷμα μεταβολῆς ἡ σὰρξ τοῦ ἥπατος ἐδείκνυτο τὴν αἰτίαν ἔχειν· τὸ γὰρ ἐκ τῶν τραχειῶν ἀρτηριῶν πνεῦμα τὸ ἔξωθεν ἔσω ἐνεχθὲν ἐν μὲν τῇ σαρκὶ τοῦ πνεύμονος τὴν πρώτην

acquérant un volume assez considérable, contrairement à ce qui avait eu lieu pendant la vie de l'animal : en effet, la nature n'a pas fait ce lobe, qui s'étend du diaphragme jusqu'à l'oreillette du cœur, comme un organe de la respiration, mais comme une couche molle pour la veine cave. 13 La chair du poumon se présente à nos yeux comme de nature aérienne et pleine d'air, montrant par là évidemment qu'elle a été construite pour élaborer l'air, comme celle du foie l'a été pour élaborer les aliments : car il est naturel que l'air extérieur ne devienne pas instantanément et tout d'un coup l'aliment du souffle renfermé dans le corps de l'animal, mais qu'il faille un temps assez long pour que, se transformant peu à peu comme le font aussi les aliments, il acquière la qualité propre au pneuma inné, et que le premier organe de ce changement soit la chair du poumon, comme celle du foie, nous l'avons montré (lisez : *nous le montrerons*, chap. 25, p. 359, l. 6), contient également la cause du changement [des aliments] en sang, attendu que l'air venant des bronches, air apporté de dehors en dedans, subit dans la chair du

1. τῆς om. AB Mor. — 2. ἔχει A. — 7-8. τὴν τροφῆς Mor.; τὴν τροφήν AB. — 8. εἶναι ἄλογον A. — 15. ἔξωθεν ἑλχθὲν ἐν Gal.

ἐργασίαν λαμϐάνει· μετὰ ταῦτα δὲ ἐν τῇ καρδίᾳ τε καὶ ταῖς ἀρτηρίαις, καὶ μάλιστα ταῖς κατὰ τὸ δικτυοειδὲς ϖλέγμα, τὴν δευτέραν, ἔπειτα τὴν τελειοτάτην ἐν ταῖς τοῦ ἐγκεφάλου κοιλίαις, ἔνθα δὴ καὶ ψυχικὸν ἀκριϐῶς γίνεται.

ιδ'. Περὶ τοῦ θύμου.

1 *Τὸν καλούμενον θύμον, ἀδένα μέγιστόν τε ἅμα καὶ μαλακώτατον ὑπέτεινεν ἡ φύσις τοῖς ἄνω μέρεσι τοῦ μέσου κατὰ τὸ στῆθος ὀστοῦ τοῦ στέρνου καλουμένου, ὡς μήτε ψαύειν αὐτὸ τῆς κοίλης φλεϐὸς, τάς τε ἄλλας ἐκφύσεις ἀπάσας αὐτῆς τὰς ἐν τούτῳ τῷ χωρίῳ γινομένας ϖαμπόλλας οὔσας στηρίζεσθαι, κατὰ ἃ ϖρῶτον ἐκφύονται· ϖανταχοῦ γὰρ ὅπου μετέωρον ἀγγεῖον ἡ φύσις σχίζει, ϖάντως ἐνταῦθα μέσον ἀδένα τὴν σχίσιν ἐκπληροῦντα κατατίθησιν.*

poumon sa première élaboration, ensuite la seconde dans le cœur et dans les artères, surtout dans celles du plexus réticulé du cerveau (voy. ch. 1, p. 286), et, après cela, la plus complète dans les ventricules du cerveau, où il devient exactement pneuma psychique.

14. DU THYMUS.

1 La glande appelée *thymus*, qui est à la fois une glande très-grande et très-molle, a été étendue par la nature sous les parties supérieures de l'os qui occupe le milieu de la poitrine, et qu'on appelle *sternum*, de façon à ce que cet os ne touche pas la veine cave, et que toutes les autres ramifications de cette veine, si nombreuses en cet endroit, soient raffermies au lieu même de leur origine : partout, en effet, où la nature fait naître des branches d'une veine suspendue, elle établit toujours, dans le milieu de cette séparation, une glande pour remplir l'angle de la bifurcation.

Ch. 14, l. 6. *τοῦ στήθους* B 1ª m. — 10. *ἐμφύονται* AB Mor. — Ib. *ϖανταχοῦ* om. Gal. Mor. — Ib. *γὰρ ὅπου* om. AB; *ὅπου γὰρ ἂν* Mor.

ιε'. Περὶ καρδίας.

Σάρξ ἐστιν ἡ καρδία σκληρὰ καὶ δυσπαθής, ἐξ ἰνῶν πολυειδῶν 1
συγκειμένη· μέση δὲ τέτακται τῶν τοῦ θώρακος εὐρυχωριῶν ἑκατέρας, περιλαμβανομένη κατὰ κύκλον ὑπὸ τοῦ πνεύμονος, καθάπερ δακτύλοις τισὶ, τοῖς λοβοῖς αὐτοῦ. Διασημαίνει δὲ ἡ κίνησις αὐτῆς 2
ὡς ἐν τοῖς ἀριστεροῖς μᾶλλον κειμένης, διὰ διττὴν αἰτίαν, ὅτι τε κατὰ τοῦτο τέτακται τοῦ ζώου τὸ μέρος ἡ πνευματικὴ κοιλία, καὶ ὅτι κέκλιταί πως ὅλη πρὸς τοῦτο μᾶλλον· οὐ γὰρ ὥσπερ ἡ βάσις αὐτῆς ἀκριβῶς ἐστι μέση τῶν τοῦ θώρακος ἀριστερῶν τε καὶ δεξιῶν, οὕτω καὶ ἡ κορυφὴ, διότι μηδὲ ἀκριβῶς κατάντης ἀπὸ τῆς ἰδίας βάσεως ἐπὶ τὸ κάτω πέρας ἐκτέταται, παρεγκλίνει δὲ, ὡς ἔφην, ἐπὶ τὴν ἀριστερὰν χώραν. Τὰ δὲ ὦτα τῆς καρδίας κατὰ ὁμοιότητά 3
τινα τοῖς κυρίως ὀνομαζομένοις ὠσὶν ἐκάλεσαν οἱ πρόσθεν. Δύο δὲ 4
ταῦτά ἐστιν, ἓν κατὰ ἑκάτερον τῶν εἰσαγόντων ἀγγείων τὰς ὕλας,

15. DU CŒUR.

Le cœur est une chair dure et résistante aux lésions, composée de 1
fibres de plusieurs espèces; il est placé au milieu entre les deux cavités de la poitrine, et le poumon l'enveloppe avec ses lobes comme si c'étaient des doigts. Si le mouvement apparent de cet organe indique qu'il est plu- 2
tôt situé à gauche, cela tient à deux causes : d'abord à ce que le ventricule aérien (*ventricule gauche*) est situé de ce côté de l'animal, et ensuite à ce que tout le cœur penche en quelque sorte plutôt vers ce côté : car, si sa base est placée exactement au milieu entre le côté gauche et le côté droit de la poitrine, il n'en est pas de même de sa pointe, parce que le cœur ne s'étend pas, en partant de sa propre base, avec une direction perpendiculaire parfaite vers son extrémité inférieure, mais qu'il dévie, comme je viens de le dire, à gauchè. (Voy. trad. de Galien, t. I, p. 383.)
Les oreillettes du cœur ont été ainsi appelées par nos prédécesseurs, à cause 3
de leur ressemblance avec les organes qu'on nomme proprement *oreilles*. Il 4
y en a deux, une pour chacun des vaisseaux qui apportent les matériaux,

Ch. 15, l. 13. ταῦτά] στόματά AB Mor. Ras.

ἐν μὲν τοῖς δεξιοῖς μέρεσι κατὰ τὴν τῆς φλεϐὸς ἔμφυσιν εἰς τὴν
ἐνταῦθα κοιλίαν τῆς καρδίας, ἐν δὲ τοῖς ἀρισ7εροῖς, κατὰ τὴν τῆς
5 ἀρτηρίας τῆς φλεϐώδους. Ἀναπ7ύξαντος δέ σου ταυτὶ τὰ ὦτα, τό
τε σῶμα τῆς καρδίας αὐτὸ φανεῖται, καὶ τῶν εἰρημένων σ7ομάτων
ἑκάτερον, οἵ τε ὑμένες οἱ κατὰ τὴν ἔμφυσιν ἐπικείμενοι, τρεῖς μὲν
ἐπὶ τῆς δεξιᾶς κοιλίας, δύο δὲ ἐπὶ τῆς ἀρισ7ερᾶς, ὧν τὸ σχῆμα τῆς
6 συνθέσεως ἔοικε ταῖς τῶν βελῶν γλωχῖσιν. Ταῦτά τοι καὶ τριγλώ-
7 χινας αὐτὰς ὠνόμασαν ἔνιοι τῶν ἀνατομικῶν. Λοιπὰ δέ ἐσ7ι δύο
σ7όματα τῶν ἐξαγόντων τὰς ὕλας ἀγγείων, ἐκ μὲν τῆς δεξιᾶς κοι-
λίας εἰς τὸν πνεύμονα τὸ τῆς ἀρτηριώδους φλεϐὸς, ἐκ δὲ τῆς ἀρι-
σ7ερᾶς εἰς ὅλον τοῦ ζώου τὸ σῶμα τὸ τῆς μεγάλης ἀρτηρίας· ἐπὶ
ὧν αὖ πάλιν ἑκατέρου θεάσῃ τρεῖς ὑμένας σιγμοειδεῖς τὸ σχῆμα,
8 νεύοντας ἔξω τῆς καρδίας, ὥσπερ οἱ τριγλώχινες εἴσω. Χρεία δὲ
αὐτῶν ἐσ7ὶν ἁπάντων κοινὴ, κωλῦσαι παλινδρομεῖν εἰς τοὐπίσω

une à droite, au niveau de l'implantation de la veine [cave] dans le ventricule du cœur situé de ce côté, et une à gauche, au niveau de l'insertion de l'*artère veineuse* (*veine pulmonaire.*) (Voy. trad. de Galien, p. 433.)
5 Si vous déployez ces oreilles, la masse même du cœur apparaîtra à vos yeux, ainsi que chacune des deux embouchures susdites et les membranes (*valvules*) placées sur leur lieu d'insertion (voy. *ibid.* p. 434, cf. aussi p. 400 et 417), trois pour le ventricule droit (*valvule tricuspide* ou *triglochine*), deux pour le ventricule gauche (*valvule bicuspide* ou *mitrale*), membranes qui, par la forme de leur affrontement, ressemblent à des
6 pointes d'armes (*flèches*). Aussi quelques anatomistes les ont-ils, pour cette raison, nommées membranes à trois pointes (*valvules tricuspides*).
7 Restent deux orifices de vaisseaux qui enlèvent les matériaux, celui de la veine artérielle (*artère pulmonaire*) qui les porte du ventricule droit au poumon, et celui de la grande artère (*aorte*) qui les porte du ventricule gauche dans tout le corps; sur chacun de ces orifices, vous verrez de nouveau trois membranes en forme de C, qui tendent à retomber en dehors du cœur, comme les membranes à trois pointes tendent à retomber dans
8 l'intérieur de cet organe. (Voy. trad. de Galien, p. 430.) Il y a une utilité commune pour toutes ces membranes, qui consiste à empêcher les

13. εἴσω] ἔξω AB.

τὰς ὕλας. Τοῦ πνεύμονος δὲ ἐνήλλαξεν ἡ φύσις τῶν ἀγγείων τοὺς 9
χιτῶνας, οὐ μάτην, ἀρτηριώδη μὲν ἐργασαμένη τὴν φλέβα, φλε-
βώδη δὲ τὴν ἀρτηρίαν· τρέφεται μὲν γὰρ ἕκαστον ὑπὸ τῆς ὁμοίας
ἑαυτῷ τροφῆς, κοῦφον δέ ἐστι καὶ μανὸν καὶ οἷον ἐξ ἀφροῦ τινος
αἱματώδους πεπηγότος τὸ τοῦ πνεύμονος σῶμα, καὶ διὰ τοῦτο δεό-
μενον ἀτμώδους καὶ λεπτοῦ καὶ καθαροῦ τοῦ αἵματος, οὐχ ὥσπερ
τὸ ἧπαρ ἰλυώδους τε καὶ παχέος· διὸ καὶ ἔμπαλιν αὐτῷ τὰ τῶν
ἀγγείων ἔχει, μάλιστα μὲν τοῖς κατὰ ἧπαρ, ἤδη δὲ καὶ τοῖς ἄλλοις
τοῦ ζῴου μορίοις· τοῖς μὲν γὰρ ἀραιός τε καὶ λεπτὸς ὁ χιτὼν ὑπάρ-
χων τοῦ τὸ αἷμα χορηγοῦντος ἀγγείου, πλεῖστον τοῦ παχέος ἑτοί-
μως τοῖς περιέχουσι διαδίδωσιν· τῷ δὲ πνεύμονι πάχους οὐδὲν, ὅτι
μὴ τὸ λεπτὸν, ἐπιτρέπει διέρχεσθαι. Καὶ τοῖς μὲν ἄλλοις αἱ ἀρτη- 10
ρίαι παχεῖαι καὶ πυκναὶ γενηθεῖσαι παντάπασιν ὀλίγον ἀτμώδους
αἵματος τοῖς παρακειμένοις μορίοις ἕλκειν ἐπιτρέπουσι, τῷ δὲ πνεύ-

matières de revenir en arrière. Pour le poumon, la nature a interverti 9
l'ordre des tuniques des vaisseaux, et ce n'est pas sans raison qu'elle a
rendu artérielle la veine (*artère pulmonaire*), et veineuse l'artère (*veine
pulmonaire*) : en effet, chaque partie est nourrie par des aliments qui
lui ressemblent; or le corps du poumon est léger, poreux, et formé,
pour ainsi dire, d'une écume sanguinolente solidifiée, et, pour cette
raison, il a besoin d'un sang vaporeux, ténu et pur, et non, comme le
foie, d'un sang boueux et épais : voilà pourquoi les vaisseaux du pou-
mon présentent une disposition opposée, en premier lieu, à celle des
vaisseaux du foie, et en second lieu à celle des vaisseaux des autres
parties de l'animal; car, dans celles-ci, la tunique du vaisseau qui ap-
porte le sang, étant rare et mince, distribue facilement à ce qui l'envi-
ronne une très-grande quantité de sang épais; dans le poumon, au con-
traire, ce vaisseau ne laisse passer que la partie la plus subtile du sang.
Puis, dans les autres parties, les artères étant épaisses et serrées, ne 10
permettent d'attirer aux parties adjacentes qu'une quantité tout à fait
petite de sang vaporeux; au poumon seul elles cèdent une quantité

7. τό om. AB Mor. — 8. μέν] δὲ καί Mor. — Ib. ἡ δὲ καί Mor.; ἡ δὲ καί A; καί B. — 9-10. ὑπάρχων om. B. — 11. παχὺς καὶ πυκνὸς γενόμενος Gal. — 12. λεπτότατον Gal. — 13. γεννηθεῖσαι B Gal. Mor.

μονι μόνῳ πάμπολυ τὸ τοιοῦτον μεθιᾶσιν, ὑπὸ μανότητός τε καὶ
λεπτότητος ἀδυνατοῦσαι στέγειν, ὥστε πάντῃ τῷ πνεύμονι τὰ περὶ
τὴν τροφὴν ὑπεναντίως ἔχει τοῖς ἄλλοις ἅπασι τοῦ ζῴου μορίοις,
11 ὥσπερ καὶ τὰ τῆς τοῦ σώματος ἰδέας. Διὰ δὴ τὴν εὐπορίαν τῆς
τοιαύτης τροφῆς ἀπὸ καρδίας ἐπιπέμπεται τῷ πνεύμονι, τοῦ αἵμα-
12 τος ἀκριβῶς ἐν ἐκείνῃ κατειργασμένου τε καὶ λελεπτυσμένου. — Τὸ
δὲ κατὰ τὴν κεφαλὴν τῆς καρδίας εὑρισκόμενον ὀστοῦν οὐκ ἐν ἅπασι
τοῖς ζῴοις ἀκριβές ἐστιν ὀστοῦν, ἀλλὰ ἐν μὲν τοῖς μείζοσιν ἀκρι-
βὴς χόνδρος ἐστὶν, ἐν δὲ τοῖς ἱκανῶς μεγάλοις χόνδρος ὀστώδης,
13 κατὰ δὲ τὰ μέγιστα τὸ πλεῖον ὀστώδης. — Ἀρτηρίαι μὲν οὖν καὶ
φλέβες πάντῃ ἐν κύκλῳ περιέρχονται τὸ τῆς καρδίας σῶμα· νεῦρον
δὲ οὐδὲν φαίνεται κατεσχισμένον εἰς αὐτὴν, ὥσπερ οὐδὲ εἰς ἧπαρ,
ἢ νεφροὺς, ἢ σπλῆνα· μόνον γὰρ δὴ τὸ περικάρδιον σκέπασμα
14 λεπτῶν νεύρων φαίνεται δεχόμενον βλαστήματα. — Θεάσῃ δὲ δήπου

considérable de cette espèce de sang, attendu que leur porosité et leur
ténuité les empêchent de le retenir : par conséquent, pour ce qui re-
garde la nutrition, le poumon présente, sous tous les rapports, des dis-
positions quelque peu contraires à celles de toutes les autres parties de
11 l'animal, et il en est de même de l'aspect du corps de l'organe. Afin
donc qu'il soit abondamment pourvu d'une pareille nourriture, le pou-
mon la reçoit du cœur, vu que, dans cet organe, le sang est élaboré et
12 atténué avec soin. — L'os qu'on trouve à la tête (*base*) du cœur (voy trad.
de Galien, t. I, p. 447), n'est pas, chez tous les animaux, un os parfait,
mais [dans les petits animaux, il est légèrement cartilagineux], dans les
animaux plus grands, c'est un cartilage parfait; dans les animaux d'une
grandeur assez considérable, c'est un cartilage osseux, et dans les ani-
13 maux très-grands, sa majeure partie est osseuse. — Des artères et des
veines cheminent en tout sens autour de la masse du cœur (*artères et
veines coronaires*); mais on n'aperçoit aucune ramification de nerf qui
se distribue sur cet organe, pas plus que sur le foie, les reins ou la rate;
en effet, il n'y a que l'enveloppe entourant le cœur qu'on voie recevoir
14 des prolongements de nerfs minces. — Lorsque le cœur est mis à nu,

8. ἀκριβῶς Gal. — 8-9. μὲν τοῖς μικροῖς ἀτρέμα χονδρώδης ἐστὶν, ἐν δὲ τοῖς μείζοσιν Gal. — 9. ἐστὶν om. Gal. — 14. ἀποβλαστήματα Gal.

γυμνώσας ὅλην τὴν καρδίαν, τὴν μὲν ἀριστερὰν κοιλίαν αὐτῆς ἀνήκουσαν ἐπὶ ἄκραν τὴν κορυφήν· τὴν δεξιὰν δὲ πολὺ κατωτέρω παυομένην, καὶ περιγραφὴν δὲ πολλάκις ἰδίαν ἔχουσαν, ἐπὶ μὲν τῶν μεγάλων ζώων μᾶλλον, ἔστι δὲ ὅτε μὴν καὶ ἐπὶ τῶν μικρῶν.
Τινὲς γοῦν δύο κορυφὰς ἔχουσαν εὑρίσκοντες τὴν καρδίαν, ἐνίοτε 15
νομίζουσι δύο εἶναι καρδίας. — Στόματα δὲ τὰ πάντα εἶναί φαμεν 16
τέτταρα τῶν τεττάρων ἀγγείων· τὰ δὲ ὦτα τῶν κοιλιῶν τῆς καρδίας ἐκτός ἐστιν· εἰ δέ τις αὐτὰ μέρη τοῦ σπλάγχνου τιθέμενος, ἐπιπλέον ἐκτείνοι τὸν ἀριθμὸν τῶν στομάτων, δόξει διαφωνεῖν ἡμῖν· ἓν μὲν γάρ ἐστι τὸ στόμα τῆς φλεβώδους ἀρτηρίας κατὰ τὴν ἀριστερὰν κοιλίαν· οὐ μὴν μένει γε ἓν ἄχρι πλείονος, ἀλλὰ εὐθέως ἐν τῇ κατὰ τὸ οὖς εὐρυχωρίᾳ σχισθὲν εἰς τέτταρα μορία, πρὸς ἕκαστον
ἓν ἀφικνεῖται τῶν τοῦ πνεύμονος λοβῶν. Σφύζουσι δὲ ἀμφότεραι 17

vous verrez que le ventricule gauche monte jusqu'à l'extrémité de sa pointe, tandis que le ventricule droit cesse beaucoup plus bas et possède souvent une délimitation propre, surtout chez les grands animaux, mais
quelquefois aussi chez les petits. Quelques-uns donc, découvrant que le 15
cœur [de l'animal qu'ils voulaient sacrifier aux dieux] avait deux pointes, croyaient quelquefois qu'il y avait deux cœurs [et, par conséquent, criaient
miracle]. — Nous sommes d'avis qu'il y a en tout dans le cœur quatre 16
orifices (*orifice auriculo-ventriculaire droit*, ou *de la veine cave, pour Galien; — orifice de l'artère pulmonaire; — orifice aortique; — orifice auriculo-ventriculaire gauche, que Galien considère comme celui des veines pulmonaires*) pour quatre vaisseaux (voy. trad. de Galien, t. I, p. 387, 388, 417 et 429); car les oreillettes sont situées en dehors des ventricules du cœur; mais, si quelqu'un, considérant les oreillettes comme faisant partie du viscère, augmente encore plus le nombre de ces orifices, il semblera être en désaccord avec nous : en effet, il n'y a qu'un seul orifice de l'artère veineuse au ventricule gauche; cependant cet orifice ne reste pas longtemps unique; au contraire, dans la cavité de l'oreillette, il se divise immédiatement en quatre branches, qui arrivent une à une à chaque lobe
du poumon. (Voy. *ibid.* p. 417.) — La poitrine étant ouverte, les deux 17

4. *ὅτε καὶ ἐπί* B Mor.; *ὅτε καὶ ἐπὶ μέν* A. — 6. *τά* om. AB Mor. — 8. *Θέμενος* Gal. — 10. *μέν* om. AB Mor. — 11. *ἕν* om. AB Mor. Ras.

μὲν αἱ κοιλίαι τῆς καρδίας διοιγομένου τοῦ θώρακος, οὐ μὴν ὡσαύ-
τως ἐν ἀμφοῖν αἷμα καὶ πνεῦμα περιέχεται· πλεονεκτεῖ γὰρ οὐκ
ὀλίγῳ κατὰ μὲν τὴν δεξιὰν ἡ τοῦ αἵματος οὐσία, κατὰ δὲ τὴν ἀρι-
18 στερὰν ἡ τοῦ πνεύματος. Ἐπεὶ δὲ ἡ καρδία τῆς ἐμφύτου θερμασίας
ἣ διοικεῖ τὸ ζῷον, οἷον ἑστία τίς ἐστι καὶ πηγὴ, πᾶν μὲν ἂν οὕτω
μόριον αὐτῆς εἴη κύριον, ἀλλὰ μᾶλλον ὅσων ἡ χρεία τῷ παντὶ ζῴῳ
19 διαφυλάττει τὴν ζωήν. Ἔστι δὲ δὴ ταῦτα δυοῖν ἀγγείων στόματα
κατὰ τὴν ἀριστερὰν αὐτῆς κοιλίαν, ἣν τοῖς ἰατροῖς ἔθος ἐστὶν ὀνο-
μάζειν πνευματικήν· διὰ γὰρ δὴ τούτων τῶν στομάτων ἡ καρδία,
διὰ μὲν τοῦ μικροτέρου ταῖς κατὰ τὸν πνεύμονα, διὰ δὲ τοῦ μείζο-
20 νος ἁπάσαις ταῖς κατὰ ὅλον τὸ ζῷον ἀρτηρίαις ἐστὶ συνεχής. Ἧττον
δὲ ἂν εἴη τούτων κύρια τὰ κατὰ τὴν ἑτέραν αὐτῆς κοιλίαν, ἣν
αἱματικὴν ὀνομάζουσιν· ὅμως μὲν καὶ ταῦτα τῶν ἄλλων κυριώτερα,
τὸ μὲν εἰσάγον εἰς αὐτὴν τὸ αἷμα, τὸ δὲ ἐξ αὐτῆς εἰς τὸν πνεύμονα
παράγον.

ventricules du cœur battent; cependant tous les deux ne contiennent
pas, dans la même mesure, du sang et du pneuma : en effet, dans le
ventricule droit, la substance sanguine prédomine dans une proportion
18 assez forte, et, dans le gauche, la substance aérienne. Le cœur étant
comme un foyer et une source de la chaleur innée qui régit l'animal, à
ce titre, chacune de ses parties a son importance, mais surtout celles
19 dont la fonction consiste à entretenir la vie dans tout l'animal. Or ce sont
les orifices des deux vaisseaux situés dans la cavité gauche (*ventricule
gauche*), que les médecins ont l'habitude d'appeler *cavité pneumatique* :
en effet, au moyen de ces orifices, le cœur se continue, par le plus petit
(*orifice des veines pulmonaires*, voy. plus haut), avec les artères du pou-
mon, et, par le plus grand (*orifice aortique*), avec toutes les artères de
20 l'animal entier. Les orifices situés dans l'autre ventricule du cœur, dit
sanguin, sont moins importants que les précédents ; cependant ils sont
toujours plus importants que les autres parties, puisque l'un apporte le
sang au cœur (*orifice de la veine cave*, voy. plus haut), tandis que l'autre
le dérive du cœur au poumon (*artère pulmonaire*).

2. τε καὶ AB Mor. — 7. δέ om. AB Mor. — 9. δήπου AB Mor.

ιϛ'. Περὶ τοῦ περικαρδίου.

Ὅ γε μὴν τῆς καρδίας χιτὼν ἴδιος, ὁ περικάρδιος ὀνομαζόμενος, 1
ἕτερός ἐσ7ιν ἑκατέρου τούτων, ἐν τῷ μέσῳ κείμενος ἀμφοτέρων. Οὐ 2
μὴν αὐτῷ γε τῷ σώματι τῆς καρδίας ὁ περικάρδιος οὗτος χιτὼν
συμπέφυκεν, ἀλλὰ ἐν μὲν τοῖς ἄλλοις ἅπασιν οὐ σμικρά τίς ἐσ7ιν
ἡ μεταξὺ χώρα τῇ τῆς καρδίας ἀνακειμένη κινήσει· κατὰ δὲ τὴν
ἑαυτοῦ βάσιν, ἥ τις κύκλος ἐσ7ὶ, τοῖς ἐκφυομένοις αὐτῆς ἀγγείοις
συμπέφυκεν, ὧν τὸ μέν ἐσ7ιν ἡ μεγίσ7η τῶν ἀρτηριῶν ἐν τοῖς ἀρι-
σ7εροῖς δηλονότι μέρεσι, τὸ δὲ ἕτερον ἐν τοῖς δεξιοῖς, ἡ ἀπὸ ἥπατος
ὁρμωμένη φλέψ· ἄλλα δὲ δύο, ὧν τὸ μὲν ἀρτηρίαν φλεβώδη, τὸ δὲ
ἀρτηριώδη φλέβα καλῶ.

ιζ'. Περὶ οἰσοφάγου.

Ὁ οἰσοφάγος κατὰ τῶν τῆς ῥάχεως σπονδύλων ἐπικείμενος καὶ 1

16. DU PÉRICARDE.

La tunique propre du cœur, qu'on appelle *péricarde*, est différente 1
aussi bien de l'un que de l'autre des deux [feuillets de la plèvre *mé-
diastine*], et placé entre eux au milieu. Cependant le péricarde n'adhère 2
pas au corps même du cœur; mais, à l'exception de la base, partout
ailleurs, l'espace intermédiaire, destiné au mouvement du cœur, est
assez considérable; à la base, au contraire, qui forme un cercle, le pé-
ricarde est adhérent aux vaisseaux provenant de cet organe; de ces vais-
seaux, l'un, la plus grande des artères (*aorte*), est situé à gauche, et
l'autre, c'est-à-dire la veine qui commence au foie (*veine cave*), se trouve
à droite; il y en a encore deux autres, dont j'appelle le premier *artère
veineuse* (*veine pulmonaire*), et le second *veine artérielle* (*artère pulmo-
naire*).

17. DE L'ŒSOPHAGE.

L'œsophage, couché le long des vertèbres dorsales, tout en s'y atta- 1

Ch. 16, l. 6. ἐμφυομένοις AB Mor. — 9. ἀναφερομένη Gal. — Ch. 17, l. 11. σ7όμαχος Gal. — Ib. ἐποχούμενος Gal.

συνδεδεμένος αὐτοῖς καὶ τούτῳ τῷ τρόπῳ διεξερχόμενος ὅλον τὸν
θώρακα, σὺν τῷ τῆς θέσεως ἑδραίῳ τε καὶ πανταχόθεν ἀσφαλεῖ
καὶ τὸ μηδὲν ἐνοχλεῖν μήτε τῇ καρδίᾳ, μήτε τῷ πνεύμονι, μήτε
2 ἄλλῳ τινὶ τῶν κατὰ τὸν θώρακα μορίων, ἐπεκτήσατο. Σκολιὸς δέ
ἐστι τὴν θέσιν· κατὰ μὲν γὰρ τῆς μέσης χώρας τῶν πρώτων τοῦ
νώτου τεττάρων σπονδύλων ἀκριβῶς ἐκτέταται μηδαμόσε παρατρε-
πόμενος, κατὰ δὲ τὸν πέμπτον σπόνδυλον ἐκτρέπεται μὲν τῆς κατὰ
εὐθὺ κάτω φορᾶς εἰς τὰ δεξιὰ μέρη μεθιστάμενος, ἑτέρῳ δὲ ὀργάνῳ
κυρίῳ παραχωρεῖ τῆς βελτίονος ἕδρας, τῇ μεγίστῃ πασῶν ἀρτηρίᾳ·
ταύτην γὰρ ἐκ μὲν τῆς ἀριστερᾶς κοιλίας τῆς καρδίας ἐκφυομένην,
εἰς ἅπαν δὲ τὸ σῶμα τοῦ ζώου νεμομένην, εὔλογον ἦν δήπου κατὰ
3 τῆς ἀρίστης χώρας ἐπιβῆναι τῶν σπονδύλων, ἥ τις ἦν ἡ μέση. Τοῖς
μὲν οὖν πρώτοις τέτρασι σπονδύλοις ὁ στόμαχος τῆς γαστρὸς ἐπι-
βέβηκε, τοῖς δὲ ὀκτὼ τοῖς λοιποῖς ἐκ τῶν δεξιῶν παρατέταται, διὰ
ἃς εἶπον αἰτίας· ὅταν δὲ δὴ πρῶτον ἅψηται τῶν φρενῶν, αἳ δὴ τὸ
κάτω πέρας εἰσὶ τοῦ θώρακος, ὑμέσιν ἰσχυροῖς εἰς ἱκανὸν ὕψος

chant, et traversant de cette façon la poitrine entière, a obtenu par là,
outre une position sûre et abritée de toutes parts, l'avantage de n'ap-
porter aucune gêne ni au cœur, ni au poumon, ni à aucun des autres
2 organes situés dans la poitrine. Sa position est oblique: en effet, il s'é-
tend exactement sur le milieu des quatre premières vertèbres dorsales,
sans dévier dans aucun sens; mais, au niveau de la cinquième vertèbre,
il se détourne de la ligne droite qu'il suivait en descendant, pour se
transporter à droite, et cède la meilleure place à un autre organe im-
portant, la plus grande de toutes les artères (*aorte*) : car il était raison-
nable que cette artère, qui naît du ventricule gauche du cœur et qui se
distribue dans tout le corps de l'animal, s'appuyât sur la meilleure ré-
3 gion des vertèbres, or c'est la moyenne. Le col de l'estomac (*œsophage*)
s'appuie donc sur les quatre premières vertèbres, mais il est étendu à
droite à côté des huit autres, pour les raisons que je viens de dire; ce-
pendant, dès qu'il touche au diaphragme, qui est la limite inférieure
de la poitrine, soulevé à une hauteur assez considérable par de fortes

3. καὶ τό] ὥστε Mor. — Ib. μήτε τῇ καρδίᾳ om. A. — 9. κυριωτέρῳ Gal. — 11. δίκαιον Gal. — 14. περιτέτραπται AB Mor.

ἐξαιρόμενος, ὑπερβαίνει τὴν μεγάλην ἀρτηρίαν αὖθις ἐπὶ θάτερα μέρη, κἀνταῦθα τὰς φρένας διεξερχόμενος, ἐμφύεται τῷ σ7όματι τῆς γασ7ρός.

ιη'. Περὶ γασ7ρός.

Τοῖς μὲν ἄλλοις ἅπασι τοῦ ζώου μορίοις οὐ συνῆψεν ἡ φύσις αἴσθησιν τῶν ἐλλειπόντων, ἀλλὰ οἷον φυτὰ ταῦτα τρέφεται, διὰ παντὸς ἐκ τῶν φλεβῶν ἀρυόμενα τὴν τροφήν· μόνῃ δὲ τῇ γασ7ρὶ, καὶ ταύτης μάλισ7α τοῖς κατὰ τὸ σ7όμα μέρεσιν, αἴσθησιν ἐνδείας ἐπέσ7ησεν, ἐπεγείρουσάν τε καὶ κεντρίζουσαν τὸ ζῷον προσαίρεσθαι σιτία. 1
Καὶ τούτου χάριν εἰς αὐτὴν ζεῦγος οὐ σμικρῶν νεύρων ἄνωθεν καταφέρεται, καὶ διασπείρεταί τε καὶ διαπλέκει, μάλισ7α μὲν τὸ σ7όμα καὶ τὰ τούτῳ συνεχῆ, καὶ τοῖς ἄλλοις δὲ δὴ τοῖς μέχρι τοῦ πυθμένος αὐτῆς ἐπεκτείνεται μέρεσιν. 2
Κεῖται δὲ γασ7ὴρ ἐν τοῖς ἀρισ7εροῖς μέρεσι τοῦ ζώου μᾶλλον, τοῦ πυθμένος αὐτῆς ἐπὶ τὰ δεξιὰ παρεκτεινομένου μέρη. 3
Περίκειται δὲ αὐτῇ, κατὰ μὲν τὰ δεξιὰ τὸ ἧπαρ, ἀκριβῶς περιλαμβάνον αὐτὴν, οἷα δακτύλοις τοῖς 4

membranes, il passe de nouveau de l'autre côté par-dessus la grande artère; ensuite, traversant le diaphragme, il débouche dans l'orifice de l'estomac, sur lequel il s'implante.

18. DE L'ESTOMAC.

A l'exception de l'estomac, la nature n'a rattaché à aucune autre partie de l'animal le sentiment de ce qui lui manque; mais ces parties se nourrissent comme des plantes, en puisant perpétuellement leur nourriture dans les veines; à l'estomac seul, surtout aux parties qui avoisinent son orifice, la nature a donné le sentiment du besoin, qui excite et aiguillonne l'animal à prendre des aliments. 1
Dans ce but, une paire de nerfs assez considérables (*pneumo-gastriques*) se rend de haut en bas à cet organe, s'y distribue et enlace surtout l'orifice et les parties contiguës; cependant ces nerfs s'étendent aussi sur les autres parties jusqu'au fond du viscère. 2
L'estomac est placé plutôt du côté gauche de l'animal, tandis que le fond du viscère s'étend latéralement à droite. 3
L'estomac est entouré, à droite par le foie, qui l'enveloppe complète- 4

λοβοῖς, ὁ σπλὴν δὲ κατὰ τὰ ἀριστερὰ, ἀλλὰ ἀνωτέρω μὲν ἔχει τὴν
5 θέσιν τὸ ἧπαρ ὡς ψαύειν τῶν Φρενῶν, κατωτέρω δὲ ὁ σπλήν. Τὰ
μὲν οὖν δεξιὰ τῆς γαστρὸς καὶ τὰ ἀριστερὰ μέρη πρὸς τούτων θερ-
μαίνεται, ὄπισθεν δὲ ὑπὸ τῶν ῥαχίτων μυῶν ἅμα τῇ κατὰ αὐτοὺς
6 πιμελῇ. Λοιπὸν δὲ τὸ πρόσω μέρος αὐτῆς τὸ καλούμενον ἐπίπλοον
θερμαίνει, τούτου χάριν γεγονὸς, ὡς ἔστι μαθεῖν ἐναργῶς ἐπὶ ὧν
τρωθέντων τῶν κατὰ ἐπιγάστριον, ἐκπεσὸν διὰ τοῦ τραύματος,
ἔπειτα πελιδνὸν γενόμενον, εἰς ἀνάγκην ἀφαιρέσεως τοῦ βεβλαμ-
μένου μέρους κατέστησε τοὺς ἰατρούς· ἅπαντες γὰρ οὗτοι ψυχροτέ-
ρας αἰσθάνονται τῆς γαστρὸς, καὶ ἧττον πέττουσι, καὶ πλειόνων
τῶν ἔξωθεν ἐπιβλημάτων δέονται, καὶ μάλιστα ὅταν ἀξιόλογον ᾖ
7 τῷ μεγέθει τὸ ἀποτμηθέν. Τῷ σχήματι δὲ περιφερής τε ἅμα καὶ
προμήκης ἐστὶν ἡ γαστήρ· κατὰ ἃ δὲ περιβέβηκε τοῖς σπονδύλοις,
ἐντετύπωταί τε καὶ διέφθαρται κατὰ τοῦτο αὐτῆς ἡ κυρτότης, ὅ τε
8 πυθμὴν ἐπὶ ἀνθρώπων εὐρύτερός ἐστι τῶν κατὰ τὸ στόμα. Καί σοι

ment avec ses lobes, comme si c'étaient des doigts, et à gauche par la
rate; mais le foie a une position plus élevée, de manière à toucher le
5 diaphragme, tandis que la rate est située plus bas. Le côté droit et le
côté gauche de l'estomac sont donc réchauffés par ces parties-là; mais,
en arrière, il l'est par les muscles de l'épine, y compris la graisse qu'ils
6 contiennent. Reste la partie antérieure de l'estomac; elle est réchauffée
par la partie qu'on appelle *épiploon*, partie qui a été faite dans ce but
même, comme on peut l'apprendre manifestement à l'occasion des gens
chez lesquels, après une plaie à la région du ventre, l'épiploon ayant
fait saillie à travers la plaie et étant devenu livide, a mis les méde-
cins dans la nécessité d'enlever la partie lésée : en effet, tous ces gens
sentent que l'estomac est plus froid qu'auparavant; ils digèrent moins
bien, et réclament, à l'extérieur, un plus grand nombre de couver-
tures, surtout si la partie retranchée avait une grandeur considérable.
7 L'estomac a une forme arrondie et allongée; mais, à l'endroit où il s'ap-
plique sur les vertèbres, il se moule sur elles, et sa convexité disparaît
dans cette région, tandis que le fond est, chez les hommes, plus large
8 que l'orifice. Maintenant l'ensemble de la forme de l'estomac vous est

14. κατὰ ταύτας ἡ AB Mor.

δῆλον αὐτῆς ἤδη τὸ σύμπαν σχῆμα· σφαῖραν γὰρ ἀκριϐῶς νοήσας, αὐτὴν εὐρυτέραν ἐπινόησον κάτωθεν, εἶτα εἰργάσθαι διττὰς ἀποφύσεις, εὐρυτέραν μὲν τὴν κατὰ τὸν οἰσοφάγον, στενωτέραν δὲ τὴν κάτω· εἶτα ἐπὶ τούτοις ἔτι θλίψας αὐτὴν καὶ σιμώσας τὴν ὄπισθεν κυρτότητα, τὸ σύμπαν σχῆμα μεμαθηκὼς ἔσῃ τῆς γαστρός. Ὑπεναν- 9
τίως δὲ αὐτῆς ἔχει τὰ μέρη ταῖς ἀποφύσεσιν· ἄνωθεν γὰρ, ἐν οἷς ἐστιν αὐτὴ στενωτέρα, ὁ στόμαχος εὐρύτερος· κάτωθεν δὲ, ἐν οἷς ἐστιν εὐρυτέρα, ἡ εἰς τὸ ἔντερον ἔκφυσις στενωτέρα γέγονεν. Κατὰ 10
βραχὺ μὲν οὖν ἀπὸ τῆς τοῦ στομάχου καταφύσεως ἀνευρύνεται, σαφῶς αὐτοῦ τοῦ φαινομένου διδάσκοντος, μέρος τι πρόμηκες ἀποτεταμένον αὐτῆς ὑπάρχειν τὸν οἰσοφάγον· οὐ κατὰ βραχὺ δὲ, ἀλλὰ ἀθρόως ἐκ τοῦ πυθμένος ἐκφύεται τὸ ἔντερον, ὡς ἂν οὐκ αὐτοῦ τοῦ σώματος τῆς κοιλίας μόριον ὑπάρχον, ἀλλὰ ἕτερόν τι συμφυὲς αὐτῇ. Καὶ μήν γε καὶ ἡ τῶν χιτώνων φύσις τῇ μὲν γαστρὶ καὶ 11

déjà bien connu : en effet, représentez-vous exactement une sphère, figurez-vous, de plus, que cette sphère est plus large vers le bas, qu'ensuite on y a fait deux prolongements, dont l'un, qui répond à l'œsophage, est le plus large (*cardia, orifice de l'estomac*), tandis que le prolongement inférieur est plus étroit (*duodenum*, voy. trad. de Galien, t. I, p. 289); si, après cela, vous comprimez encore cette sphère et si vous déprimez sa convexité postérieure, vous aurez saisi l'ensemble de la forme de l'estomac. Les parties de cet organe présentent une certaine 9
opposition avec ses prolongements : en effet, à sa partie supérieure, où l'organe lui-même est assez étroit, existe le col le plus large ; et, à la partie inférieure, où l'organe est assez large, le prolongement vers l'intestin est assez étroit. L'estomac s'élargit donc peu à peu, en partant du point 10
d'insertion de l'œsophage, et ce que nous voyons de nos yeux nous enseigne manifestement que l'œsophage est une partie allongée de l'estomac s'éloignant de lui, tandis que l'intestin ne naît pas peu à peu, mais tout d'un coup du fonds de cet organe, comme s'il n'était pas une partie du corps même de l'estomac, mais un autre organe rattaché à lui. De plus, 11
la nature des tuniques est la même pour l'estomac et pour l'œsophage,

4. τούτοις ἐπιθλίψας αὐτῆς AB Mor. Gal. — 14. μήν ex em.; μέν AB Gal. — 11. δέ om. AB. — 12. ἐκφύεσθαι Mor. — Ib. μέν om. AB Mor.

τῷ στομάχῳ παραπλήσιος, ἀνόμοιος δὲ τοῖς ἐντέροις· ὁ μὲν γὰρ ἔνδον χιτὼν ὑμενωδέστερος ὢν ἐν τῇ γαστρὶ καὶ τῷ στομάχῳ, ἶνας εὐθείας ἄνωθεν κάτω φερομένας ἔχει· ὁ δὲ ἔξωθεν ὁ σαρκωδέστερος ἐγκαρσίας, οἵας περ οἱ δύο χιτῶνες ἔχουσιν οἱ τῶν ἐντέρων· κυκλοτερεῖς γάρ εἰσιν αἱ πλεῖσται τῶν ἰνῶν ἐν τοῖς ἐντέροις, ὀλιγοστῶν ἐπιτεταμένων αὐταῖς εὐθειῶν· ἕλκειν μὲν γὰρ εἰς ἑαυτὴν ἐχρῆν τὴν γαστέρα διὰ τοῦ στομάχου τά τε σιτία καὶ τὰ ποτὰ, καθάπερ χερσὶ, ταῖς εὐθείαις ἰσὶ ταύταις ἐπισπωμένην· πρόωθεῖν δὲ ταῖς ἐγκαρσίαις κατὰ κύκλον περιστελλομέναις· ἑκάστῳ γὰρ τῶν κινουμένων μορίων ἐν τῷ σώματι κατὰ τὰς τῶν ἰνῶν θέσεις αἱ κινήσεις εἰσίν· τοῖς δὲ ἐντέροις· ἑλκτικῆς γὰρ οὐδὲν ἔχει δυνάμεως·
12 αἱ προωθεῖν ἐπιτήδειοι γεγόνασι μόναι. Τῶν μὲν οὖν ἐγκαρσίων ἰνῶν τεινομένων, ἔλαττον ἀνάγκη γίνεσθαι τὸ εὖρος τῆς περιεχομένης ὑπὸ αὐτῶν κοιλότητος· τῶν δὲ εὐθειῶν ἑλκομένων τε καὶ εἰς ἑαυτὰς συναγομένων, οὐκ ἐνδέχεται μὴ οὐ συναιρεῖσθαι τὸ μῆκος.

tandis qu'elle est différente dans les intestins, puisque, dans l'estomac et dans l'œsophage, la tunique interne, qui ressemble le plus à une membrane, a des fibres droites qui vont de haut en bas, et la tunique extérieure, qui est plus charnue, des fibres transversales, genre de fibres que possèdent aussi les deux tuniques des intestins (voy. trad. de Galien, t. I, p. 290, 291); car, dans les intestins, la plupart des fibres sont circulaires, et il n'y a qu'un petit nombre de fibres droites étendues sur ces dernières : en effet, l'estomac devait attirer à soi, par l'œsophage, les aliments et les boissons, se servant à cet effet de ses fibres droites, comme si c'étaient des mains, tandis qu'il devait pousser en avant par la contraction circulaire de ses fibres transversales, car chaque partie mobile du corps a des mouvements qui correspondent à la direction de ses fibres; or les intestins, qui n'ont aucune force attrac-
12 tive, ont uniquement des fibres capables de pousser en avant. Lors donc que les fibres transversales se tendent, la largeur de la cavité qu'elles circonscrivent doit nécessairement diminuer; si, au contraire, les fibres droites tirent et se contractent sur elles-mêmes, il est impossible que la

5-6. ὀλιγίστων B. — 11. ἔδει Gal. — 15. οὐ om. AB Mor.

Ἀλλὰ μὴν ἐναργῶς τε φαίνεται καταπινόντων συναιρούμενον, καὶ 13
τοσοῦτον ὁ λάρυγξ ἀνατρέχων, ὅσον ὁ σῖόμαχος κατασπᾶται, καὶ
ὅταν γε συμπληρωθείσης τῆς ἐν τῷ καταπίνειν ἐνεργείας, ἀφεθῇ τῆς
τάσεως ὁ σῖόμαχος, ἐναργῶς πάλιν φαίνεται κάτω φερόμενος ὁ
λάρυγξ· ὁ γὰρ ἔνδον χιτὼν τῆς γασῖρὸς ὁ τὰς εὐθείας ἶνας ἔχων, ὁ
καὶ τὸν σῖόμαχον ὑπαλείφων καὶ τὸ σῖόμα, τοῖς ἐντὸς ἐπεκτείνε-
ται μέρεσι τοῦ λάρυγγος· ὥσῖε οὐκ ἐνδέχεται κατασπώμενον αὐ-
τὸν ὑπὸ τῆς κοιλίας μὴ οὐ συνεπισπᾶσθαι τὸν λάρυγγα. Τὸ δὲ τῆς 14
τοῦ μήκους συναιρέσεως ἴδιον τῶν τὰς εὐθείας ἶνας ἐχόντων ὀργά-
νων, ἵνα ἐπισπάσωνταί τι. Ἀλλὰ μὴν ἐδείχθη κατασπώμενος ὁ σῖό- 15
μαχος· οὐ γὰρ ἂν εἷλκε τὸν λάρυγγα. Δῆλον οὖν ὡς ἡ γασῖὴρ 16
ἕλκει τὰ σιτία διὰ τοῦ σῖομάχου. Καὶ ἡ κατὰ τὸν ἔμετον δὲ τῶν 17
ἐμουμένων ἄχρι τοῦ σῖόματος φορὰ πάντως μέν που καὶ αὐτὴ τὰ
μὲν ὑπὸ τῶν ἀναφερομένων διατεινόμενα μέρη τοῦ σῖομάχου διε-

longueur [de la cavité] ne diminue pas. D'ailleurs, nous voyons mani- 13
festement que, pendant la déglutition, l'œsophage se raccourcit, et que
le larynx remonte autant que l'œsophage est abaissé; et, quand, après
l'accomplissement de la fonction d'avaler, la tension de l'œsophage s'est
relâchée, nous voyons de nouveau manifestement descendre le larynx :
en effet, la tunique interne de l'estomac, qui a des fibres droites et
qui tapisse aussi l'œsophage et la bouche, s'étend sur les parties inté-
rieures du larynx; il est donc impossible que l'œsophage, lorsqu'il est
abaissé par l'estomac, n'entraîne pas avec lui le larynx. Le raccour- 14
cissement de la longueur est un phénomène propre aux organes qui
ont des fibres droites afin d'attirer quelque chose. Or nous avons 15
montré que l'œsophage est tiré vers le bas : car, sans cela, il n'exer-
cerait pas de traction sur le larynx. Il en résulte donc que l'estomac 16
attire les aliments par l'œsophage. De même, en cas de vomissement, 17
c'est aussi, en quelque sorte, une conséquence nécessaire de la pro-
pulsion des matières vomies jusqu'à la bouche, que les parties de
l'œsophage distendues par les matières qui remontent, se dilatent :

6. ἐκτός AB Mor. — 8. οὐ om. AB Mor. — Ib. καὶ τὸν λάρυγγα Gal. —

13-14. σῖόματος . . . . τοῦ om. AB Mor.

στῶτα κέκτηται· τῶν πρόσω δὲ ὅ τι ἂν ἑκάστοτε ἐπιλαμβάνῃ, τοῦτο ἀρχόμενον διαστέλλεται· τὸ δὲ ὄπισθεν καταλείπει δηλονότι συστελλόμενον· ὥστε ὁμοίαν εἶναι πάλιν τὴν διάθεσιν τοῦ στομάχου κατά γε τοῦτο τῇ τῶν καταπινόντων, ἀλλὰ τῆς ὁλκῆς μὴ παρούσης τὸ μῆκος ἴσον ἐν τοῖς τοιούτοις συμπτώμασι διαφυλάττεται.
18 Διὰ τοῦτο δὲ καὶ καταπίνειν ῥᾷόν ἐστιν ἢ ἐμεῖν, ὅτι καταπίνεται μὲν ἀμφοῖν τῆς γαστρὸς τῶν χιτώνων ἐνεργούντων, τοῦ μὲν ἐντὸς ἕλκοντος, τοῦ δὲ ἐκτὸς περιστελλομένου τε καὶ συνεπωθοῦντος· ἐμεῖται δὲ θατέρου μόνου τοῦ ἔξωθεν ἐνεργοῦντος, οὐδενὸς ἕλκοντος εἰς τὸ στόμα· οὐδὲ γὰρ ἐπιθυμεῖ τὰ κατὰ τὸ στόμα μόρια τοῦ γενομένου παθήματος, καθάπερ ἡ γαστὴρ ὀρέγεται τοῦ καταπίνειν τὰς τροφάς· οὐ γὰρ δὴ φέρεται κάτω τῷ βάρει τὰ καταπινόμενα,
19 καθάπερ ᾠήθησαν ἔνιοι. Δῆλον δὲ τοῦτό ἐστιν ἐκ τῶν μακροτραχήλων ζώων, ὅσα νεμόμενα καταπίνει τὴν τροφὴν ἐπικεκυφότα, καὶ προσφέρεται τὸ ποτόν· ἔνδειξις γὰρ ἐκ τούτου τοῦ φαινομένου

en effet, à mesure qu'à chaque instant ces matières atteignent une partie plus éloignée, cette partie se dilate dès le principe, tandis qu'évidemment elles laissent dans un état de contraction la partie située en arrière, qu'elles quittent : l'état de l'œsophage, dans ce cas, est donc de nouveau semblable à celui où il se trouve pendant la déglutition (*sauf l'inversion des mouvements de dilatation et de contraction*); mais, comme il
18 n'y a pas d'attraction, la longueur, dans ces cas-là, reste la même. C'est aussi pour cette raison qu'il est plus facile d'avaler que de vomir, attendu que la déglutition s'opère par l'action des deux tuniques de l'estomac, puisque la tunique interne attire, et que l'externe se contracte et aide à la propulsion; on vomit, au contraire, par l'action de l'une des deux, de l'externe seule, tandis que rien n'attire vers la bouche; car les parties situées dans la bouche ne désirent pas l'effet qui se produit, comme l'estomac désire avaler les aliments : en effet, ce qu'on avale ne descend
19 pas en vertu de la pesanteur, comme quelques-uns l'ont cru. Cela est évidemment prouvé par les animaux à long cou, qui, en mangeant, se baissent pour avaler leurs aliments ou prendre leurs boissons : en effet, cette observation fournit une démonstration du fait, que c'est en se ser-

2. ὁ καταλ. AB Mor. -- 3. πάντη Gal. — 4. μὴ om. AB Mor. — 5. ὅλον Gal.

δείκνυται δυνάμει τινὶ χρώμενον, ἤτοι τὸν σ7όμαχον, ἢ διὰ τού-
του τὴν κοιλίαν ἐργάζεσθαι τὴν κατάποσιν, ἥ τις δύναμις ἐνίοτε
παραλυθεῖσα χωρὶς Φλεγμονῆς καταπίνειν ἀδυνάτους ἐργάζεται, μὴ
ὅτι σιτίον σκληρὸν, ἀλλὰ μηδὲ τὸ ὕδωρ. Εὔδηλον οὖν ὅτι τῆς ὑγιει- 20
νῆς κατασκευῆς τῶν μορίων βλαπ7ομένης ἡ τοιαύτη παράλυσις
γίνεται, δυσκρασίας τινὸς συμβαινούσης, ἣν ἐπανορθοῦν χρὴ πρὸς
τὸ σύμμετρόν τε καὶ κατὰ Φύσιν ἐπανάγοντας· ἐάν τε γὰρ ὁ ἔξω
χιτὼν τοῦ σ7ομάχου τὴν διάθεσιν ἔχῃ ταύτην, ἐάν τε ὁ ἔνδον, ἡ
θεραπεία μία γίνεται τῶν ἔξωθεν αὐτῷ προσΦερομένων, τῶν τε
διὰ τοῦ σ7όματος καταπινομένων, ἐνίοτε τόπῳ προσΦερομένων καὶ
τὴν αὐτὴν ἐχόντων δύναμιν.

ιθ'. Περὶ ἐντέρων.

Ὥσπερ τὰς Φλέβας ἡ Φύσις ἀναδόσεως ὄργανα ποιήσασα, δύνα- 1
μιν ἐνέθηκεν αὐταῖς αἵματος γεννητικὴν, ὅπως μὴ μάτην ὁ χρόνος
ἀπόλοιτο τῆς διὰ αὐτῶν Φορᾶς τῇ τροφῇ, κατὰ τὸν αὐτὸν λόγον

vant d'une certaine force que, soit l'œsophage, soit, par son intermé-
diaire, l'estomac, opère la déglutition, laquelle force, se trouvant parfois
paralysée, rend, sans qu'il y ait inflammation, les malades incapables
d'avaler, non-seulement des aliments solides, mais même de l'eau. Il est 20
donc évident que cette espèce de paralysie provient d'une lésion de la
structure normale des parties, tenant elle-même à un mauvais tempéra-
ment, qu'il faut redresser, en le ramenant à l'état moyen et naturel :
en effet, que ce soit la tunique extérieure ou la tunique intérieure qui
se trouve dans cet état, on applique le même traitement, aussi bien pour
les remèdes extérieurs que nous appliquons au malade, que pour ceux
que nous lui faisons avaler par la bouche, tandis que, parfois aussi,
nous faisons des applications locales de médicaments doués des mêmes
forces.

19. DES INTESTINS.

La nature, ayant fait des veines les organes du transport de l'aliment 1
dans l'intimité des tissus, leur a communiqué une faculté génératrice
du sang, de peur que le temps nécessaire pour les parcourir ne se perdît

καὶ τοῖς ἐντέροις τῆς εἰς τὰς φλέβας ἀναδόσεως ἕνεκα γεγενημένοις δύναμίς τις ἐνυπάρχει πεπτικὴ σιτίων· διόπερ οὔτε τῆς τῶν περιττωμάτων εἰς τὸ πρόσω φορᾶς ἕνεκεν, οὔτε πέψεως, ἀλλὰ τοῦ πᾶν εἰς τὰς φλέβας ἀναλαμβάνεσθαι τὸ κεχυλωμένον ἐν τῇ κοιλίᾳ
2 παρεσκευάσται τὰ ἔντερα. Καὶ διὰ τοῦτο αἱ τῶν ἐντέρων ἕλικες ἀναρίθμητόν τι πλῆθος φλεβῶν ἐξ ἥπατος εἰς ἑαυτὰς ἐμφυόμενον ἔχουσαι, σύμπαντα τὸν ἐν τῇ γαστρὶ πεπεμμένον χυλὸν ἀναπέμ-
3 πουσιν. Ἐπεὶ δὲ ἓν εἶδος κινήσεως ἔχει τὰ ἔντερα τὸ προωστικὸν, ἓν χιτῶνος εἶδος εἰς ἐγκαρσίας τε καὶ κυκλοτερεῖς ἶνας ἀναλυόμε-
4 νον ἐκτήσατο. Τί δὴ οὖν οἱ χιτῶνες αὐτῶν δύο γεγόνασιν, εἴπερ ὁμοίως ἔχουσιν ἀμφότεροι; περιττὸς γὰρ ἂν εἶναι δόξειεν ὁ ἕτερος.
5 Ἀλλὰ οὐχ ὧδε ἔχει· σφοδρότητος γὰρ ἕνεκα τῆς ἀποκριτικῆς δυνάμεως, καὶ δυσπαθείας αὐτῶν τῶν ὀργάνων ὁ τῶν ἐντέρων χιτὼν
6 διττὸς ἐγένετο, ὡς δηλοῖ καὶ τὰ δυσεντερικὰ παθήματα. Πολλοῖς

inutilement, eu égard à la nutrition; de même les intestins, qui ont été créés en vue du transport de l'aliment dans les veines, possèdent une espèce de force pour élaborer l'aliment : les intestins n'ont donc pas été construits, ni pour pousser en avant ses résidus, ni en vue de la digestion, mais afin que tout ce qui a été transformé en chyle dans l'estomac fût reçu
2 dans les veines. Pour cette raison aussi, les circonvolutions des intestins, qui possèdent une quantité innombrable de veines, lesquelles, venant du foie, vont s'implanter sur elles, font passer dans l'intérieur du corps
3 tout le chyle élaboré dans l'estomac. Mais, comme les intestins n'ont qu'une seule espèce de mouvement, le mouvement propulsif, ils n'ont reçu qu'une seule espèce de tunique, qui se résout en fibres transver-
4 sales et circulaires. Pourquoi donc leurs tuniques sont-elles au nombre de deux, puisque toutes les deux présentent les mêmes conditions? Il
5 semblerait, en effet, que l'une était superflue. Mais il n'en est pas ainsi; car c'est en vue de l'intensité de la force expulsive et de la résistance des organes mêmes contre les lésions, que la tunique des intestins est
6 double, comme l'indiquent les affections dyssentériques. En effet, nous

2. ὡς δύναμις AB Mor. — 3-4. τούπῖπαν AB Mor. — 9. ἓν καὶ χιτῶνος Gal. — Ib. εἰς om. AB Mor. — 11. περιττός. . . . . ἕτερος om. AB Mor. — 13-14. ὁ. . . . . ἐγένετο om. AB Mor. — 14. καὶ] μάλιστα Gal.

*γοῦν καὶ πολλάκις ἐθεασάμεθα κακῶς τε ἅμα καὶ χρονίως νοσήσασι
πλεῖστον ἔντερον ἀποσαπὲν, ὡς πολλαχόθι τὸν ἔνδον ὅλον ἀπο-
λέσθαι χιτῶνα, καὶ ὅμως ἐβίων τε οὗτοι καὶ διεγένοντο, μὴ ἂν δια-
σωθέντες, εἰ μὴ καὶ δεύτερός τις ἦν ἐπὶ τῷ διεφθαρμένῳ χιτὼν
ἕτερος ἔξωθεν.* Τοῦ *δὲ μὴ δεῖσθαι συνεχῶς τῆς ἔξωθεν τροφῆς αἱ τῶν* 7
*ἐντέρων ἕλικές εἰσιν αἰτίαι, καθάπερ καὶ τοῦ μηδὲ ἀποπατεῖν πολ-
λάκις, ἀλλὰ ἐκ μακροτέρων διαστημάτων ἡ τοῦ παχέος εὐρύτης ἐν-
τέρου τὴν αἰτίαν ἔχει, δευτέρα τρόπον τινὰ γαστὴρ αὐτοῖς ὑποβε-
βλημένη· ἵνα γὰρ μήτε ἀποπατῇ τὰ ζῷα συνεχῶς, μήτε οὐρῇ, τοῖς
μὲν ὑγροῖς περιττώμασιν ἡ κύστις ὑπόκειται, τοῖς δὲ ξηροῖς τὸ
παχὺ καλούμενον ἔντερον, ὃ δὴ καὶ κάτω κοιλίαν ὀνομάζουσί τινες.*
Ἀ*ρχὴ δὲ αὐτοῦ τὸ τυφλὸν ἔντερον· οὗ γὰρ δὴ τελευτᾷ τὸ λεπτὸν* 8
*ἔντερον, ἐντεῦθεν εἰς μὲν τὰ δεξιὰ τὸ τυφλὸν, εἰς ἀριστερὰ δὲ τὸ
κῶλον ἀποφύεται, διὰ τῆς δεξιᾶς πρότερον ἀνενεχθὲν λαγόνος.* Τὸ 9

avons vu maintes fois beaucoup de malades atteints d'affections à la fois graves et chroniques, chez lesquels une très-grande partie de l'intestin était pourrie, au point qu'en beaucoup d'endroits la tunique interne se détruisait entièrement; néanmoins, ces malades vécurent et restèrent en vie; mais ils n'eussent pas été sauvés, s'il n'y avait pas eu une seconde tunique placée extérieurement sur la tunique détruite. Si nous n'éprou- 7
vons pas un besoin continuel d'aliments extérieurs, cela tient aux circonvolutions des intestins; et, de même, la cause pour laquelle nous n'allons pas fréquemment à la selle, mais seulement à des intervalles assez éloignés, doit être cherchée dans l'ampleur du gros intestin, qui constitue, jusqu'à un certain point, un second estomac placé au-dessous des intestins : en effet, pour éviter que les animaux évacuent continuellement les selles et l'urine, la vessie se trouve au-dessous des excréments liquides; et l'intestin appelé *épais*, que quelques-uns nomment aussi *ventre inférieur*, au-dessous des excréments solides. Le commencement du gros 8
intestin est le *cœcum :* en effet, à partir du point où finit l'intestin grêle, le cœcum se détache à droite, et le *colon*, qui remonte d'abord à travers la région iliaque droite, à gauche. Le cœcum est évidemment une es- 9

12. *γάρ* om. AB Mor. — 14. *κόλον* A 1ª m., et sic sæpius.

μὲν δὴ τυφλὸν ἄντικρυς οἷον γαστήρ τίς ἐστι παχεῖα, εἰς ὑποδοχὴν
10 περιττωμάτων ἐπιτήδειος, ἀνάλογον δὲ αὐτῷ καὶ τὸ κῶλον. Πρῶτον μὲν οὖν ἡ ἔκφυσις, ἣν ἐκ τοῦ πυλωροῦ λαμβάνει τὸ ἔντερον, ἱκανῶς ἐστι στενὴ καὶ οὐκ εἰς ἕλικας ἐπικαμπτομένη, κατά τε τῆς ῥάχεως τεταμένη· μετὰ δὲ ταύτην, δωδεκαδάκτυλον οὖσαν τὸ μῆκος, ὡς Ἡρόφιλος ἀληθῶς ἔφη, κατακάμπτεται πολυειδῶς εἰς ἕλικας, ἀγγείων παμπόλλων ἔχουσα πλῆθος, ὅπερ ὀνομάζουσι νῆστιν, ὅτι κενὸν
11 ἀεὶ τροφῆς εὑρίσκεται. Τούτῳ δὲ ἐφεξῆς ἐστι τὸ λεπτὸν, κατὰ μὲν τὴν οὐσίαν ταὐτὸν τῷδε, διαφέρον δὲ τῷ τε μήτε κενὸν εὑρίσκεσθαι,
12 μήτε τοσοῦτον ἀγγείων ἔχειν πλῆθος. Ἐπὶ τούτῳ δέ ἐστι τὸ τυφλὸν καλούμενον, εἶτα τὸ κῶλον, ἐπὶ ᾧ κατὰ τὸ πέρας ἄχρι τῆς ἕδρας ἐκτέταται τὸ ἀπευθυσμένον ὀνομαζόμενον.

κ'. Περὶ περιτοναίου.

1 Διελὼν ἀπὸ τοῦ ξιφοειδοῦς χόνδρου μέχρι τῶν τῆς ἥβης ὀστῶν

pèce d'estomac épais propre à recevoir les résidus, et le colon présente
10 des conditions analogues. Ainsi, il y a d'abord le prolongement de l'estomac à partir du pylore (*duodenum*), prolongement qui est assez étroit, ne se replie pas pour former des circonvolutions, et s'étend le long de l'épine du dos; après ce prolongement, qui présente une longueur de douze doigts, comme Hérophile le disait conformément à la vérité, la partie de l'intestin qu'on appelle *jejunum*, parce qu'on le trouve toujours vide d'aliments, se réfléchit en descendant, pour former des circonvolutions extrêmement variées, étant pourvue d'un très-grand nombre de
11 vaisseaux. Après cet intestin-là vient l'*intestin grêle*, qui lui est identique sous le rapport de la substance, mais qui en diffère en ce qu'on ne le trouve pas vide et en ce qu'il ne contient pas un aussi grand nombre de
12 vaisseaux. Après l'intestin grêle vient l'intestin dit *cœcum*, et ensuite le *colon*, après lequel l'intestin dit *rectum* s'étend de son extrémité jusqu'au siége.

20. DU PÉRITOINE.

1 Si vous faites une incision sur tous les muscles du bas-ventre, depuis

3-4. ἱκ. ἐστιγμένη Mor. — 7. καμπύλων AB Mor.

ἅπαντας τοὺς κατὰ ὑπογάστριον μῦς, ἐντεύξῃ τινὶ λεπτῷ σώματι καθάπερ ἀραχνίῳ πλατεῖ, τῷ καλουμένῳ περιτοναίῳ. Κέκληταί γε 2
μὴν περιτόναιον ἀπὸ τοῦ περιτετάσθαι πᾶσι μὲν τοῖς σπλάγχνοις, πᾶσι δὲ τοῖς ἐντέροις, ἔτι δὲ τοῖς ἀγγείοις ὅσα μεταξὺ φρενῶν τέ ἐστι καὶ σκελῶν. Οὕτω δὲ καὶ τοῖς ἄλλοις ὅσα τούτων μεταξὺ κεῖται, 3
περιτέταται πᾶσιν, ἐν οἷς ἐστι καὶ μήτρα καὶ κύστις. Τοῦτον τὸν 4
ὑμένα λεπτότατον ὄντα οὐδὲ ἀποδεῖραι ῥᾴδιόν ἐστιν ἄνευ τοῦ διασπάσαι, καὶ μάλιστα κατά τε τὰς φρένας καὶ τοὺς ὁμιλοῦντας αὐτῷ δύο μῦς τῶν κατὰ ὑπογάστριον τοὺς ἐγκαρσίους, ἕνα κατὰ ἑκάτερον μέρος, ἀριστερόν τε καὶ δεξιόν· ἔνθα γὰρ οὗτοι πλατὺν καὶ λεπτὸν τένοντα τὴν ἑαυτῶν ἀπονεύρωσιν ἴσχουσι, συμπέφυκεν αὐτοῖς δύσλυτος ὁ περιτόναιος ὑμήν, ὥστε τὴν καλουμένην γαστρορραφίαν, ἣν οἴονται τοῦ περιτοναίου μόνου ποιεῖσθαι, μετὰ τῆς ἀπονευρώσεως ἧς λέγω, γινομένην ἴσθι. Χρεῖαι δὲ τοῦ περιτοναίου πλείους 5

le cartilage xiphoïde jusqu'aux os du pubis, vous rencontrerez un corps mince ressemblant à une large toile d'araignée; c'est ce qu'on appelle *péritoine*. On l'a appelé péritoine, du verbe περιτετάσθαι, qui signifie 2
s'étendre autour, parce qu'il s'étend autour de tous les viscères, de tous les intestins, et, en outre, de tous les vaisseaux qui se trouvent entre le diaphragme et les membres inférieurs. Il s'étend également autour de 3
toutes les autres parties situées entre les limites susdites; or, de ce nombre sont l'utérus et la vessie. Il n'est pas facile de disséquer cette 4
membrane, qui est très-mince, sans la déchirer, surtout au niveau du diaphragme et des deux muscles qui lui sont contigus, c'est-à-dire des muscles transversaux du bas-ventre (*m. transverses de l'abdomen*), placés un de chaque côté, à gauche et à droite : en effet, à l'endroit où ces muscles présentent un tendon large et mince, produit de leur transformation en *nerfs*, la membrane dite *péritoine* leur est adhérente de façon à s'en détacher difficilement : sachez que, pour cette raison, l'opération appelée *suture ventrale*, qu'on croit faire sur le péritoine seul, se fait de plus sur l'épanouissement nerveux dont je parle. Les avantages que les animaux 5

6. τόν ex em.; om. AB Mor. — 9. ἐπιγάστρ. Gal. — Ib. τους ἐγκαρσίους ex em.; τῶν ἐγκαρσίων AB Mor.; om. Gal. — 11. ἐξ αὐτῶν Gal. — 11-12. δύσαντος A; ὡσαύτως B. — 12. ὥστε καί AB Mor.

τοῖς ζώοις· μία μὲν ὡς σκεπάσματος ἁπάντων τῶν ὑποκειμένων μορίων, δευτέρα δὲ ὡς διαφράγματος αὐτῶν τούτων πρὸς τοὺς ἔξωθεν ἐπικειμένους μῦς· τρίτη δὲ ὡς πρὸς τὸ θᾶττον ὑπιέναι τὰ περιττώματα τῆς ξηρᾶς τροφῆς· οἷον γὰρ ὑπὸ δυοῖν τινων χειρῶν, τοῦ τε περιτοναίου καὶ τῶν φρενῶν ἄνω μὲν ἡνωμένων, κάτω δὲ διεστηκότων, σφιγγόμενα τὰ μεταξὺ θλίβει τε καὶ ὠθεῖ τὰ τῆς τροφῆς περιττώματα κάτω· καὶ τετάρτη πρὸς τὸ μὴ ῥᾳδίως πνευματοῦσθαι τά τε ἔντερα καὶ τὴν γαστέρα· περιτεταμένον γὰρ σφίγγει καὶ περιστέλλεται, ῥᾳδίως τε θλίβει τῆς φύσης τὸ μὲν ἄνω, τὸ δὲ κάτω· καὶ πέμπτη, πρὸς τὸ πάντα τὰ κάτω τῶν φρενῶν συνδεῖσθαί τε ὑπὸ αὐτοῦ, καὶ ὡς ὑπὸ δέρματός τινος ἕκαστον ἰδίᾳ σκέπεσθαι.

κα'. Περὶ ἐπιπλόου.

1 Ἐκ δυοῖν μὲν χιτώνων γέγονε τὸ καλούμενον ἐπίπλοον λεπτῶν

retirent du péritoine sont assez nombreux : d'abord il sert de couverture pour toutes les parties sous-jacentes; en second lieu, il remplit l'office de cloison entre ces mêmes parties et les muscles placés sur eux à l'extérieur; en troisième lieu, il accélère la descente des résidus des aliments solides : en effet, le péritoine et le diaphragme, imitant deux mains réunies en haut et écartées en bas, serrent les parties intermédiaires, lesquelles compriment et poussent à leur tour vers le bas les résidus des aliments; il empêche encore que les intestins et l'estomac ne se gonflent trop facilement par des gaz : en effet, formant une enveloppe étroite, il serre ces organes, se contracte autour d'eux, et pousse facilement les vents, partie en haut, partie en bas; enfin, il relie entre eux et recouvre d'une espèce de peau, chacune en particulier, toutes les parties situées au-dessous du diaphragme.

21. DE L'ÉPIPLOON.

1 La partie appelée *épiploon* consiste en deux tuniques minces et com-

6. σφιγγόμ. μεταξύ AB Mor.

καὶ πυκνῶν ἀλλήλοις ἐπικειμένων, παμπόλλων δὲ ἀρτηριῶν καὶ
φλεβῶν, καὶ πιμελῆς οὐκ ὀλίγης· σύγκειται γὰρ ἐκ δυοῖν οἷον
πτυχῶν τοῦ περιτοναίου, μέσων δὲ ἐν αὐταῖς περιεχομένων τῶν
ἀγγείων ἀμφίεσμά τε ἅμα γινόμενον αὐτῶν, καὶ πρόβλημα, καὶ στή-
ριγμα. Λελέχθαι δὲ τὸ ἐπίπλοόν φασιν οὕτως, ἐπειδή περ οἷον 2
ἐπιπλέον ἐστὶ τοῖς ἐντέροις. Σχῆμα δὲ ἔχει μάλιστα φασκωλίου τε 3
καὶ θυλάκου καὶ σάκκου, στόμα μὲν ἔχοντος τὴν ἐκ τῆς γαστρὸς
ἔκφυσιν ἄνωθέν τε καὶ κάτωθεν, ὅλον δὲ τὸ κύτος ἑαυτοῦ μέχρι τοῦ
πυθμένος ὅσον ἐκ τῶν εἰρημένων ἀρχῶν ἀποτείνεται κάτω. Μαθήσῃ 4
δὲ ἐναργέστερον οὕτω τοῦτο ἔχον, ἐὰν ἀποτεμὼν ἐντεῦθεν αὐτὸ,
καὶ κατὰ μηδὲν ἄλλο μέρος ἢ τρήσας, ἢ διασπάσας, ἐμπιπλάναι
βουληθῇς ἤτοι γε ὑγρᾶς οὐσίας, ἢ στερεᾶς· πληρωθήσεται γὰρ ὑπὸ
αὐτῆς, ὅλον ὑπάρχον ὑγιές τε καὶ συνεχὲς ἑαυτῷ, καθάπερ τὰ φα-
σκώλια. Ῥᾷστον δέ ἐστί σοι καὶ τελέως ἐξελεῖν αὐτὸ τοῦ ζῴου· 5
βραχεῖαι γὰρ ἔτι συμφύσεις ὑπολείπονται πρός τε τὸν σπλῆνα καὶ

pactes, placées l'une sur l'autre, en un grand nombre d'artères et de veines,
et en une quantité assez considérable de graisse : il se compose en effet
de ce qu'on pourrait appeler les deux replis (*feuillets*) du péritoine, au
milieu desquels sont contenus les vaisseaux, dont il devient à la fois la
couverture, le rempart et le soutien. On prétend que l'*épiploon* a reçu ce 2
nom, parce qu'il flotte (ἐπιπλέω), pour ainsi dire, sur les intestins. Il a 3
à peu près la forme d'une besace, d'une bourse ou d'un sac, qui a pour
ouvertures les prolongements supérieur et inférieur de l'estomac, tan-
dis qu'à partir des deux points d'origine susdits, tout le ventre du sac
jusqu'au fond s'étend vers le bas. Vous reconnaîtrez plus clairement qu'il 4
en est ainsi, si, après l'avoir détaché de ces deux points avec un cou-
teau, sans toutefois le percer ou le déchirer en aucun autre point, vous
voulez le remplir d'une substance, soit liquide, soit solide : en effet,
l'épiploon se remplira de cette substance comme les besaces, puisqu'il
est entièrement sans lacune ni solution de continuité. Il vous est très- 5
facile de détacher entièrement l'épiploon de l'animal : en effet, après
qu'on l'aura détaché entièrement de ses premiers points d'origine, il lui

3. μέσον AB Gal. — Ib. μὲν αὐτοῖς AB Mor. — 4. προάλημα A; προά-λειμμα Mor. Ras. — 9. ἀποτέμνεται AB Mor.

τὸ κῶλον αὐτῷ, μετὰ τὸ τῶν πρώτων ὅλον ἐκφύσεων χωρισθῆναι.
6 Προσφύεται μὲν οὖν ποτε σπανίως καὶ λοβῷ τοῦ ἥπατος ἄλλοτε ἄλλῳ, καί τινι νόθῃ πλευρᾷ, μηδὲ ταύτῃ μιᾷ διὰ παντὸς, ἀλλὰ ὡς ἂν τύχῃ· τοὐπίπαν δὲ ἀπολέλυται καὶ κεχώρισται πάντων τῶν ἄλλων ὅτι μὴ τριῶν τῶνδε, γαστρὸς καὶ σπληνὸς καὶ κώλου· τούτοις γὰρ ἀεὶ συνῆπται.

κϐ'. Περὶ μεσεντερίου.

1 Καὶ τὸ μεσεντέριον δὲ ἐκ τοῦ περιτοναίου τὴν γένεσιν ἔχει.
2 Καλοῦσι δὲ αὐτὸ καὶ μεσάραιον, ἀπὸ τῶν συμϐεϐηκότων αὐτῷ τὰς προσηγορίας ἀμφοτέρας θέμενοι, μεσεντέριον μὲν ἀπὸ τῆς θέσεως· μεσάραιον δὲ ἀπὸ τῆς οἰκείας οὐσίας· μέσον γὰρ τέτακται τῶν ἐντέρων, καὶ πάσας τὰς ἐξ ἥπατος εἰς αὐτὸ καταφερομένας φλέϐας ἅμα ταῖς παρακειμέναις ἀρτηρίαις τε καὶ νεύροις ἐν κύκλῳ περιλαμ-
3 ϐάνει, καθάπερ ἕκαστον τῶν ἐντέρων. Ἔνθα μὲν οὖν περιτείνεται τοῖς ἀγγείοις τε καὶ τοῖς ἐντέροις, ἁπλοῦν ἐστιν, ἔνθα δὲ μέσον αὐ-

6 restera encore de petites adhérences avec la rate et le colon. Ainsi, l'épiploon adhère quelquefois aussi, quoique rarement, à quelque lobe du foie, tantôt à l'un, tantôt à l'autre, et à l'une ou l'autre des fausses côtes, et pas même toujours à une seule, mais au hasard; en général cependant, à l'exception des trois organes que je vais énumérer, l'épiploon est détaché et séparé de tous les autres; je veux parler de l'estomac, de la rate et du colon; car il se rattache toujours à ces trois.

22. DU MÉSENTÈRE.

1-2 Le mésentère est aussi formé par le péritoine. On donne encore le nom de *mésarée* à cet organe, et on dérive ces deux noms, l'un aussi bien que l'autre, de circonstances accidentelles à cette partie, l'appelant *mésentère* d'après sa position, et *mésarée* d'après la substance propre [de l'intestin qui l'entoure]; le mésentère est en effet placé au milieu des intestins, et il enveloppe aussi bien toutes les veines qui du foie viennent aboutir à lui conjointement avec les artères et les nerfs placés à côté
3 d'elles, que chaque intestin en particulier. Dans l'endroit où le mésentère s'étend autour des intestins et des vaisseaux, il est simple; mais il

τῶν κείμενον, οὐ τὴν ἀμφιέσματος ἔτι χρείαν, ἀλλὰ τὴν συνδέσμου παρέχει, διπλοῦν γίνεται.

κγ'. Περὶ τοῦ παγκρέου.

Ἡ κατιοῦσα φλὲψ ἐξ ἥπατος, μεταξὺ τῆς γαστρὸς καὶ τῶν ἐντέ- 1
ρων ἀχθεῖσα, τοῖς ὑποκειμένοις σπονδύλοις ἐπιβέβηκεν· εἰς ταὐτὸ
δὲ ἥκει χωρίον καὶ ἡ μέλλουσα μετὰ αὐτῆς σχίζεσθαι κατὰ ὅλον τὸ
μεσάραιον ἀρτηρία, καὶ τὸ νεῦρον δὲ τὸ συγκατασχιζόμενον τῇ
ἀρτηρίᾳ καὶ τῇ φλεβὶ κατὰ ὅλον τὸ μεσάραιον, εἰς τοῦτον ἤχθη τὸν
τόπον, ὥσπερ γε καὶ οἱ τὸ χολῶδες περίττωμα τῆς ἐπὶ ἥπατι κύ-
στεως ἐκκενώσοντες πόροι· ὥστε ἐπεὶ καὶ φλέβα, καὶ ἀρτηρίαν, καὶ
νεῦρον, καὶ τέταρτον σὺν αὐτοῖς τὸ χοληδόχον ἀγγεῖον εἰς ἓν τοῦτο
χωρίον ἤγαγεν ἡ φύσις, τὰς δὲ ἀρχὰς τῆς σχίσεως ἀναγκαῖον ἦν
αὐτῶν ἐνταυθοῖ γενέσθαι, μεγάλης βοηθείας ἐδεῖτο τοῦτο τὸ χωρίον
εἰς ἀσφάλειαν τῶν κατὰ αὐτὸ διανεμηθησομένων καὶ σχισθησομέ-
νων ἀγγείων. Καὶ διὰ τοῦτο ἡ φύσις ἀδενῶδές τι σῶμα δημιουργή- 2

est double à l'endroit où, placé au milieu d'eux, il n'a plus l'utilité d'une enveloppe, mais celle d'un lien.

23. DU PANCRÉAS.

Quand la veine (*v. porte*) qui descend du foie est arrivée entre l'esto- 1
mac et les intestins, elle s'appuie sur les vertèbres sous-jacentes; mais
l'artère qui doit se distribuer avec elle dans tout le mésentère (*art. mé-
sentérique supér.*) arrive aussi au même endroit, et le nerf dont les ra-
meaux se répandent, conjointement avec ceux de la veine et de l'artère,
dans tout le mésentère, est amené également à cet endroit, ainsi que les
canaux destinés à évacuer le résidu bilieux de la vessie placée sur le foie
(*vésicule biliaire*); puisque la nature a conduit à cet endroit une veine,
une artère, un nerf, et en quatrième lieu, outre ces vaisseaux, le vais-
seau *cholédoque*, et que le point de départ des ramifications de ces vais-
seaux devait nécessairement se trouver dans cet emplacement, ce lieu
avait donc besoin d'une grande protection pour la sûreté des vaisseaux qui
doivent s'y distribuer et s'y ramifier. Pour cette raison, la nature a créé 2

Ch. 23, l. 9. πόροι om. AB Mor.

σασα, τὸ καλούμενον πάγκρεας, ὑπεστόρεσεν ἅμα καὶ περιέβαλεν ἐν κύκλῳ πᾶσι καὶ τὰς σχίσεις ἀνεπλήρωσεν, ὡς μηδὲν αὐτῶν εὔσχιστον εἶναι, μηδὲ ἀστήρικτον, ἀλλὰ ἐπὶ μαλακοῦ καὶ μετρίως εἴκοντος ἀναπαυόμενα πάντα, καὶ ἢν κινηθῇ που σφοδρότερον,
3 ἄπληκτά τε καὶ ἄθλαστα καὶ ἄῤῥηκτα διὰ παντὸς φυλάττεσθαι. Καὶ μήν γε καὶ ὑμένας ἰσχυροὺς ἰδίᾳ τε κατὰ ἕκαστον ἀγγεῖον, καὶ κοινῇ πᾶσιν αὐτοῖς περιέβαλεν, ἀμφιέσοντάς τε καὶ συνάψοντας, οὐ πρὸς τὸν ἀδένα μόνον, ἀλλὰ σὺν ἐκείνῳ καὶ τοῖς μὲν ὑποκειμένοις κατὰ τὴν ῥάχιν πρώτοις καὶ μάλιστα, μετὰ ταῦτα δὲ καὶ τοῖς ἄλλοις ἅπασι τοῖς περικειμένοις ὀργάνοις.

κδʹ. Περὶ διαφράγματος.

1 Εἷς ἐστι τοῦ θώρακος μῦς οὐχ ὁ φαυλότατος, αἱ φρένες, ὀνομά-
2 ζουσι δὲ αὐτὰς καὶ διάφραγμα. Τὸ μὲν οὖν μέσον ἐν ταῖς φρεσὶν

un corps glanduleux, celui qu'on appelle *pancréas*, l'a étendu à la fois au-dessous de tous ces vaisseaux et les en a entourés circulairement; par lui elle a comblé les angles de bifurcation, de façon qu'aucun de ces vaisseaux ne se divise trop aisément et ne soit privé de soutien, mais que tous reposent sur un corps mou et qui cède dans une juste mesure, et que, si parfois ils subissaient un mouvement trop violent, ils restassent garantis à tout jamais contre les lésions, les meurtrissures et les déchi-
3 rures (cf. chap. XIV). De plus, elle a revêtu non-seulement chaque vaisseau séparément, mais aussi tous les vaisseaux ensemble, de fortes membranes qui doivent les recouvrir et les rattacher, non pas à la glande seule, mais en même temps, en premier lieu et principalement aux parties sous-jacentes placées sur l'épine du dos, et après cela aussi à tous les autres organes voisins.

24. DU DIAPHRAGME.

1 Il existe un muscle de la poitrine qui n'est pas le moins important et
2 qu'on nomme aussi *cloison* (*diaphragme*). Le milieu du diaphragme est

2. πᾶσι κατασχισθὲν ἐπλήρωσέ τε ὡς ex em.; μέν AB Gal. Mor. — 8. καί AB Mor. — 4. πολύ Gal. — 6. μήν om. AB Mor.

ὁ μῦς ἀπονευρούμενος εἰς τένοντα πλατὺν, ἐκ παντὸς μέρους περιλαμβανόμενον ὑπὸ τῶν σαρκωδῶν· ἑκατέρωθεν δὲ αὐτοῦ λεπτὸς ὑμὴν ἐπιπέφυκεν ἄνωθέν τε καὶ κάτωθεν, ὑπὸ ὧν ὁ θώραξ διαφράττεται.
Δύο δέ ἐστι τὰ τρήματα τῶν φρενῶν, τὸ μὲν ἕτερον τὸ μεῖζον, ἵνα 2
τοῖς σπονδύλοις ἐπιβεβήκασιν, ὁδὸς τῷ τε στομάχῳ καὶ τῇ μεγάλῃ παρεσκευασμένον ἀρτηρίᾳ· τὸ δὲ ὑπόλοιπον τοὔλαττον τὴν κοίλην φλέβα τοῖς ἄνω τοῦ ζώου μέρεσι κομίζουσαν αἷμα δέχεταί τε καὶ παραπέμπει σὺν ἀσφαλείᾳ πολλῇ· καὶ γὰρ καὶ περιπέφυκεν αὐτῇ πάνυ δυσλύτῳ συμφύσει, καὶ συναποπέμπει τὸν ἐν τοῖς δεξιοῖς τοῦ
θώρακος ὑμένα. Τὸ δὲ στόμα τῆς γαστρὸς κεῖται μὲν κατὰ τὰς 3
φρένας, οὐ μὴν ἰσχυρῶς γε συμφυόμενον, ὥσπερ ἡ κοίλη φλὲψ, ἀλλὰ χαλαροῖς ὑμέσι διειλημμένον.

κε'. Περὶ ἥπατος.

Οὐχ ἅπασιν ἀνθρώποις ὁμοίως ἔχει τὸ ἧπαρ κατά τε μέγεθος καὶ 1

formé par ce muscle qui, devenant *nerf*, se transforme en un tendon large, entouré de tous côtés de parties charnues; aux deux côtés de ce tendon, en haut et en bas, s'implante sur lui une membrane mince, et
ces membranes servent de cloison au thorax. Il y a deux trous dans le 2
diaphragme : l'un, qui est le plus grand, a été disposé pour livrer passage à l'œsophage et à la grande artère (*aorte*) dans la région où ces organes s'appuient sur les vertèbres; l'autre, qui est plus petit, reçoit la veine cave, qui apporte le sang aux parties supérieures de l'animal, et il l'y conduit avec une grande sûreté : en effet, le diaphragme s'implante de tous côtés sur cette veine, à l'aide d'une adhérence très-difficile à rompre, et on voit se détacher, pour l'accompagner, la membrane qui
se trouve au côté droit de la poitrine (*plèvre*). L'orifice de l'estomac est 3
situé au niveau du diaphragme; cependant il ne s'y rattache pas fortement comme la veine cave; au contraire, l'union entre les deux organes n'a lieu que par des membranes lâches.

25. DU FOIE.

Chez tous les hommes, le foie ne présente pas la même disposition, ni 1

4. μέγα Gal. — 11. φλέβας AB Mor.

2 πλῆθος λοβῶν. Ἀκριβέστατα γοῦν ὑπὲρ αὐτοῦ γράφων Ἡρόφιλος
αὐτοῖς ὀνόμασι τάδε φησίν· ἔστι δὲ εὐμέγεθες τὸ τοῦ ἀνθρώπου
ἧπαρ, καὶ μεῖζον τοῦ ἔν τισιν ἑτέροις ζώοις ἰσοπαλέσιν ἀνθρώποις,
καὶ κατὰ ὃ μὲν ταῖς φρεσὶ προσψαύει, κεκύρτωται καὶ λεῖόν ἐστιν·
3 κατὰ ὃ δὲ τῇ κοιλίᾳ προσψαύει, ἔνσιμον καὶ ἀνώμαλον. Ἀφωμοίω-
ται δὲ κατὰ τοῦτο διασφαγί τινι, κατὰ ὃ καὶ τοῖς ἐμβρύοις ἐκ τοῦ
4 ὀμφαλοῦ ἡ φλὲψ εἰς αὐτὸ ἐμπέφυκεν. Οὐχ ὅμοιον δέ ἐστιν ἐν ἅπα-
σιν, ἀλλὰ καὶ πλάτει, καὶ μήκει, καὶ πάχει, καὶ ὕψει, καὶ λοβῶν
πλήθει, καὶ ἀνωμαλίᾳ τοῦ ἐκ τοῦ ἔμπροσθεν, καὶ ὄγκῳ τοῦ ἐκ τοῦ
ἔμπροσθεν, κατὰ ὃ παχύτατόν ἐστι, καὶ τοῖς ἄκροις τοῖς κύκλῳ
κατὰ τὴν λεπτότητα, ἄλλοις ἀλλοῖον· λοβὸν γάρ τισι μὲν οὐδὲ ἔχει,
ἀλλά ἐστιν ὅλον στρογγύλον καὶ ἄνορθον· τοῖς δὲ δύο, τοῖς δὲ καὶ
5 πλείους, πολλοῖς δὲ καὶ τέσσαρας ἔχει. Ταῦτά τε οὖν ὀρθῶς εἶπεν
Ἡρόφιλος, ἔτι τε πρὸς τούτοις, ὀλίγων μὲν ἐπὶ ἀνθρώπων, οὐκ

2 pour le volume, ni pour le nombre des lobes. Hérophile, qui a traité ce
sujet avec la plus grande exactitude, dit mot à mot ce qui suit : « Chez
l'homme, le foie est considérable, et il est même plus grand que chez
certains animaux de la même force que l'homme; du côté où il touche
au diaphragme, il est bombé et lisse; mais, du côté où il touche à l'es-
3 tomac, il est évasé et inégal. Dans cet endroit, il ressemble à un ra-
vin, et c'est dans cette région même que s'implante sur lui, chez les
4 fœtus, la veine qui vient du nombril. Le foie ne se ressemble pas chez
tous; au contraire, cet organe présente un aspect différent, suivant les
individus, aussi bien pour la largeur que pour la longueur, l'épais-
seur, la hauteur, le nombre des lobes, l'inégalité et le volume de sa
partie antérieure, partie où le foie présente la plus grande épaisseur;
enfin, pour l'amincissement de ses extrêmes limites, qui forment sa cir-
conférence : en effet, chez les uns il n'a pas de lobes, mais offre partout
une rondeur parfaite, sans aucune ligne droite; chez d'autres il a deux
5 lobes, chez d'autres encore plus, et même, chez plusieurs, quatre. » Toutes
ces assertions d'Hérophile sont parfaitement justes, et, de plus, il a écrit,

5. τῇ κοιλίᾳ καὶ τῷ κυρτῷ τῆς κοιλίας Gal. — 9. ἀνωμαλίᾳ τῇ ἐκ τοῦ Gal. — 9-10. καὶ ὄγκῳ.... ἔμπροσθεν om. Gal. Ras.

ὀλίγων δὲ ἐπὶ ἄλλων ζώων ἐπιλαμβάνειν αὐτό τι τῶν ἀριστερῶν
μερῶν, ἀληθῶς ἔγραψεν. Τοῦτο τὸ σπλάγχνον εἰς τὸ σιμότατον 6
ἑαυτοῦ μέρος ἀνηκούσας ἔχει τὰς ἐκ τοῦ μεσεντερίου φλέβας· ὀνο-
μάζουσι δὲ τὸν τόπον τοῦτον εἰς ὃν ἀθροίζονται ϖᾶσαι, ϖύλας ἥπα-
τος, κατὰ ὃν εὑρήσεις στόμα μέγιστον φλεβός. Ἀπὸ τῶν ϖυλῶν 7
τούτων εἰς ἕκαστον λοβὸν, ὅσοι ϖερ ἂν ὦσιν, μίαν εὑρήσεις ἀφικνου-
μένην φλέβα μεγάλην, ἧς σχισθείσης εἰς ϖολλὰς μικρὰς, ὅσον
ἐστὶ μεταξὺ τῶν ἀγγείων, ἅπαν ἀναπεπλήρωται τῇ τοῦ σπλάγχνου
σαρκί· καλοῦσι δὲ αὐτὴν οἱ ϖερὶ τὸν Ἐρασίστρατον ϖαρέγχυμα.
Τῆς δὲ φλεβὸς ἑκάστης κατὰ ἧπαρ ὁ χιτὼν ϖάνυ λεπτός ἐστιν, 8
οἷος οὐκ ἄλλος ἐν οὐδεμιᾷ τῶν κατὰ ὅλον τὸ ζῷον. Ὄψει δὲ εὐθέως, 9
ἐὰν ἀκριβῶς ϖροσέχῃς τοῖς κατὰ τὰς ϖύλας χωρίοις καὶ τὸν ἐκ
τῆς χολοδόχου κύστεως ϖόρον εἰς τὴν ἀρχὴν τῆς τῶν ἐντέρων ἐκ-
φύσεως ἀφικνούμενον, οὐ ϖολλῷ κατωτέρω τοῦ ϖυλωροῦ καλου-
μένου, γεγονότα χάριν τοῦ διακρίνεσθαι τὴν χολήν. Ἔστι δὲ ὅτε 10

conformément à la vérité, « que chez peu d'hommes, mais chez un assez
grand nombre d'animaux, le foie empiète un peu sur le côté gauche. » Ce 6
viscère contient, dans sa partie la plus profondément creusée, les veines
qui, du mésentère, remontent vers lui; on nomme cet endroit où elles se
rassemblent toutes, *portes du foie*, et vous y trouverez un orifice de veine
(*v. porte*) très-grand. Vous verrez que, de ces portes, une grande veine 7
va se rendre à chaque lobe (*v. hépatiques*), quel que soit leur nombre,
et, pendant que cette veine se divise en un grand nombre de petites, tout
l'espace intermédiaire entre les vaisseaux est comblé par la chair du vis-
cère, chair qu'Érasistrate appelle *parenchyme*. La tunique de toutes les 8
veines du foie est extrêmement mince, et aucune autre veine, dans tout
le corps de l'animal, ne possède une tunique qui le soit au même degré.
Si vous portez une attention soutenue dans l'examen de la région des 9
portes, vous verrez tout de suite que le canal (*canal cholédoque*) prove-
nant de la vésicule biliaire, et qui a été fait pour filtrer la bile, aboutit
aussi au commencement du prolongement des intestins (*c'est-à-dire le
duodenum*), un peu au-dessous de ce qu'on appelle le pylore. Quelquefois 10

1. τι om. AB Mor. — 6. λοβόν om. AB.

καὶ ἀποσχίδα ἑαυτοῦ τινα πέμπει μικρὰν ἀνωτέρω τοῦ πυλω-
11 ροῦ. Καὶ μὲν δὴ καὶ νεῦρον πάνυ τι σμικρὸν ἅμα τῇ πρὸς τὸ σπλάγχνον ἀναφερομένῃ θεάσῃ φλεβὶ, καταφυόμενον εἰς τὸν περικείμενον ἔξωθεν ὑμένα, χωρὶς τοῦ κατασχίζεσθαι σὺν αὐτῇ διὰ βά-
12 θους, ἵνα μὴ παντάπασιν ἀναίσθητον ᾖ τὸ σπλάγχνον. — Ἡ μὲν οὖν σὰρξ τοῦ ἥπατος αὐτὸ δὴ τὸ ἴδιόν ἐστιν αὐτοῦ σῶμα, τὸ πρῶτον τῆς αἱματώσεως ὄργανον· διὸ καὶ ταῖς εἰς τὴν γαστέρα καὶ σύμπαντα τὰ ἔντερα καθηκούσαις φλεψὶν ὑπάρχει δύναμις αἵματος ποιητικὴ, κατὰ ἣν καὶ πρὶν εἰς ἧπαρ ἀφικέσθαι, τὸν ἐκ τῶν σιτίων
13 ἀναδιδόμενον χυμὸν αἱματοῦν αἱ φλέβες πεφύκασιν. — Συνῆπται δὲ τὸ ἧπαρ τῇ μὲν γαστρὶ καὶ τοῖς ἐντέροις ἅπασι διά τε τῶν φλεβῶν καὶ τοῦ συνδοῦντος αὐτὰς χιτῶνος, τοῖς δὲ ἄλλοις τοῖς περικειμένοις σώμασι διὰ τοῦ σκέποντος αὐτὰ χιτῶνος, τὴν γένεσιν ἐκ τοῦ περιτοναίου λαμβάνοντος, ὥστε διὰ μὲν τούτου πᾶσι τοῖς ἐντὸς συνάπτεσθαι· πᾶσι γὰρ ὁ χιτὼν οὗτος ἐπεκτείνεται· διὰ με-

ce canal envoie aussi un petit rameau de lui-même au delà du pylore.
11 Vous verrez aussi, conjointement avec la veine qui remonte vers ce viscère, un très-petit nerf (*plexus hépatique*) s'implanter sur la membrane qui environne le foie à l'extérieur, sans que néanmoins ce nerf se ramifie avec la veine dans la profondeur du tissu de cet organe, et cette disposition a pour but de prévenir que le viscère ne soit entièrement
12 insensible. — La chair du foie, qui est sa substance propre même, est le premier organe de la sanguification : c'est aussi pour cette raison que les veines qui aboutissent à l'estomac et à tous les intestins sont douées d'une faculté formatrice du sang, en vertu de laquelle ces veines sont capables de convertir en sang, même avant qu'il n'arrive au foie, le suc provenant
13 des aliments, qui va se rendre dans l'intimité des tissus. — Le foie se rattache à l'estomac et à tous les intestins par les veines et par la tunique qui les relie entre elles (*lig. hépato-duodénal et h. colique; petit épiploon*), aux autres organes environnants, par la tunique qui le recouvre et qui prend son origine au péritoine (*épiploon gastro-hépatique?*), de sorte que, par son intermédiaire, le foie se rattache à tous les organes intérieurs, puisque cette tunique s'étend sur tous; enfin, le foie se rattache au diaphragme

3. ἀναφερόμενον AB Mor. — 12. δέ om. AB. — 14-15. ἐκτός B.

γάλου δὲ δεσμοῦ ταῖς φρεσὶ, καὶ διά τινων ἄλλων ὑμενωδῶν τε καὶ
σμικρῶν ταῖς νόθαις πλευραῖς. Ὁ δὲ δὴ πρὸς τὰς φρένας αὐτὸ 14
συνάπτειν εἰρημένος ἐστι μὲν καὶ αὐτὸς οἷόν περ τὸ περιτόναιον
κατὰ τὴν οὐσίαν· καὶ γὰρ δὴ καὶ τὴν γένεσιν ἔκ τε τοῦ περιέχοντος
ἔχει τὸ ἧπαρ χιτῶνος, καὶ τοῦ τὰς φρένας ὑποζωννύντος κάτωθεν,
οὓς ἀμφοτέρους δυσπαθείᾳ παμπόλλῳ παραλλάττει ὁ τοῦ περιτο-
ναίου. Συνάπτεται δὲ οὐ ταῖς φρεσὶ μόνον ἐνταυθοῖ τὸ ἧπαρ, ἀλλὰ 15
καὶ τῇ καρδίᾳ διὰ τῶν φρενῶν· τῆς γὰρ κοίλης φλεβὸς πρὸς τὴν
καρδίαν ἀνιούσης διὰ τῶν φρενῶν ἐν μέσῳ κειμένων ἀμφοτέρων τῶν
σπλάγχνων, δεσμὸν ἡ φύσις παρεσκεύασε σκληρὸν ἕνα καὶ πα-
χὺν, ἀμφίεσμά τε ἅμα τῆς κοίλης, καὶ κοινὸν σύνδεσμον πρὸς τὸ
διάφραγμα τῇ τε φλεβὶ καὶ παντὶ τῷ σπλάγχνῳ.

κϛʹ. Περὶ σπληνός.

Ὁ σπλὴν ὄργανόν ἐστι καθαρτικὸν τῶν ἐν ἥπατι γεννωμένων 1

par un grand ligament (*lig. suspenseur*), et aux fausses côtes par certains
autres ligaments membraneux et peu considérables (*lig. semi-lunaires?*).
La membrane qui, disions-nous, rattache le foie au diaphragme, res- 14
semble elle-même aussi au péritoine sous le rapport de sa substance,
puisque en effet elle tire son origine de la tunique qui entoure le foie et
de celle qui tapisse la face inférieure du diaphragme; cependant la tu-
nique péritoine surpasse beaucoup ces deux tuniques-là sous le rap-
port de la résistance aux lésions. Dans cet endroit, le foie ne se rattache 15
pas seulement au diaphragme, mais encore, par l'intermédiaire du dia-
phragme, au cœur : en effet, comme la veine cave remonte au cœur par
le diaphragme, placé dans le milieu entre les deux viscères, la nature a
construit un lien dur et épais destiné à servir à la fois d'enveloppe pour
la veine cave, et de ligament commun pour rattacher le diaphragme à
la veine et à tout le viscère.

26. DE LA RATE.

La rate est un organe dépuratif des humeurs boueuses, épaisses et 1

7. Συνάπτει AB Mor.

2 ἰλυωδῶν καὶ παχέων καὶ μελαγχολικῶν χυμῶν. Ἕλκει μὲν οὖν
τούτους διὰ ἀγγείου φλεβώδους, οἷον στομάχου τινός· ἑλκύσας δὲ
οὐκ εὐθὺς εἰς τὴν κοιλίαν ἀποκρίνει, ἀλλὰ αὐτὸς πρότερον κατερ-
3 γάζεται καὶ μεταβάλλει κατὰ πολλὴν σχολήν. Ὅσον μὲν οὖν ἂν εἰς
τὸν οἰκειότατον τῷ σπλάγχνῳ χυμὸν μετακομισθῇ, τροφὴ τῷ
σπληνὶ γίνεται· ὁπόσον δὲ ἄν τι καὶ τὴν ἐν τούτῳ διαφυγὸν ἐρ-
γασίαν καὶ μὴ δυνηθὲν εἰς αἵματος ἰδέαν λεπτοῦ καὶ χρηστοῦ με-
ταστῆναι, παντάπασιν ἄχρηστον ᾖ πρὸς θρέψιν, εἰς τὴν γαστέρα
τοῦτο διά τινος ἑτέρου φλεβώδους ὁ σπλὴν ἐξερεύγεται στομάχου,
4 χρείαν καὶ αὐτὸ παρέχον οὐ σμικράν. Τὸ ἴδιον δὲ σῶμα τοῦ σπλη-
νός, τὸ καλούμενον ὑπό τινων παρέγχυμα, χαῦνον ἱκανῶς ἐστι καὶ
ἀραιόν, ὥσπερ τις σπογγιὰ πρὸς τὸ ῥᾳδίως ἕλκειν τε καὶ παραδέ-
5 χεσθαι τὸ πάχος τῶν χυμῶν. Κεῖται δὲ ὁ σπλὴν ἐν τοῖς ἀριστεροῖς,
ἀεὶ τὸ σιμὸν ἑαυτοῦ μέρος ἐστραμμένον ἔχων εἰς τὰ δεξιὰ πρὸς τὸ
ἧπάρ τε καὶ τὴν γαστέρα· τὸ δὲ αὖ κυρτὸν δῆλον ὡς ἀντίκειται
τοῖς σιμοῖς.

2 atrabilaires, qui se forment dans le foie. La rate attire donc ces humeurs
par un vaisseau veineux (*v. splénique*) qui forme une espèce de col; ce-
pendant, après les avoir attirées, la rate ne les déverse pas immédiate-
ment dans l'estomac, mais elle commence par les élaborer elle-même,
3 et les transforme complétement à loisir. Par conséquent, toute la partie
de ces humeurs, qui a été transformée en un suc qui présente la plus
grande affinité avec ce viscère, devient l'aliment de la rate; mais toute
la partie qui, ayant échappé à l'élaboration, laquelle s'opère dans ce vis-
cère, et n'ayant pas pu prendre la forme d'un sang ténu et utile, devient
tout à fait inutile pour la nutrition, est revomie par la rate dans l'es-
tomac à travers un autre col veineux (*v. courtes*); cette partie y rend
4 même un service assez important. Le corps propre de la rate, que quel-
ques-uns appellent *parenchyme*, est assez flasque et assez poreux, à la
manière d'une éponge, pour attirer aisément et recueillir ces humeurs
5 épaisses. La rate est située à gauche, ayant toujours sa partie concave
tournée à droite, vers le foie et l'estomac; il est clair que, de son côté,
la face convexe est opposée à la face concave.

8. τὴν θρ. AB Mor. — 10. παρέξον A. — 14. ἀεὶ om. Gal.

κζ'. Περὶ νεφρῶν.

Τῶν δὲ νεφρῶν ὁ μὲν δεξιὸς ἐπὶ πάντων τῶν ζώων ἀνωτέρω 1
κεῖται, ψαύων ἔστιν ὅτε τοῦ μεγάλου τῶν κατὰ ἧπαρ λοβῶν, ὁ δὲ
ἀριστερὸς κατωτέρω. Ἐμφύεται δὲ εἰς αὐτοὺς ἀπὸ τῶν κατὰ ῥάχιν 2
ἀγγείων, τῆς τε ἀρτηρίας καὶ τῆς φλεβὸς, οὐ σμικρὰ τὸ μέγεθος
ἀγγεῖα. Καὶ μέντοι καὶ τὰ σιμὰ μὲν εἰς ἀλλήλους ἔχουσιν ἐστραμ- 3
μένα, τὰ κυρτὰ δὲ ἀπεστραμμένα πρὸς τὰ πλάγια τοῦ ζώου μέρη.
Σαφῶς γε μὴν αὐτὴν τοῦ νεφροῦ τὴν κοιλίαν θεάσῃ, περιαλειφο- 4
μένην μὲν ὑμενώδει τινὶ σώματι, κατὰ ἕν δέ τι μέρος αὐτῆς οὐ πόῤῥω
τῆς τῶν ἀγγείων ἐμφύσεως ἕτερόν τι σῶμα ἔχουσαν πρόμηκές τε
καὶ κοῖλον ἐμφυόμενον, ὅπερ ὀνομάζεται πόρος οὐρητικὸς, τὸν
νεφρὸν τῇ κύστει συνάπτων. Καὶ ἔστιν αἰσθητὸν τὸ στόμα τοῦ 5
πόρου τούτου, κἂν μὴ πάνυ τι μέγα τὸ ζῷον ᾖ. Ἕνα δὲ ὁ πόρος 6
οὗτος ὁ οὐρητὴρ ἔχει τὸν ἴδιον χιτῶνα, περιλαμβανόμενον ὡσαύ-

27. DES REINS.

Chez tous les animaux, le rein droit a la position la plus élevée, et 1
il touche quelquefois au grand lobe du foie, tandis que le rein gauche
est situé plus bas. (Voy. trad. de Gal. t. I, p. 350, 351.) Des vaisseaux 2
d'un volume assez considérable, venant de ceux qui sont situés sur l'é-
pine du dos, aussi bien de la veine que de l'artère (*vaisseaux émulgents*),
s'implantent sur les reins. De plus, ces organes ont leurs faces concaves 3
tournées l'une vers l'autre, et leurs faces convexes tournées en sens op-
posé vers les parties latérales de l'animal. Vous verrez du moins claire- 4
ment la cavité elle-même du rein tapissée d'un corps membraneux, et vous
vous apercevrez que, dans l'une de ses parties, non loin du point d'inser-
tion des vaisseaux, elle est pourvue d'un autre corps allongé et creux
qui s'implante sur elle, et qu'on nomme *canal urinaire* (*uretère*), reliant
le rein à la vessie. L'orifice de ce canal est perceptible aux sens, même 5
quand l'animal n'est pas très-grand. Ce canal, dit *uretère*, n'a qu'une 6
seule membrane qui lui soit propre, quoiqu'il soit enveloppé du péri-

Ch. 27, l. 6. τὰ κυρτὰ δὲ ἀπεστρ. om. AB Mor.

7 τως τοῖς ἄλλοις ἅπασιν ὅσα μετέωρα, πρὸς τοῦ περιτοναίου. Τὰ δὲ οὖρα διακρίνεται τοῦ αἵματος τῶν νεφρῶν ἑλκόντων τὸν ὀρὸν, κἀντεῦθεν εἰς τὴν κύστιν διὰ τῶν οὐρητήρων ἐκπεμπομένου, κἀκεῖ-
8 θεν ἐκκρινομένου κατὰ ὃν ἂν ὁ λογισμὸς κελεύσῃ καιρόν. Μέτεστι δὲ τοῖς νεφροῖς νεύρων, εἰς ὅσον καὶ σπληνὶ, καὶ ἥπατι, καὶ κύστει τῇ χοληδόχῳ καλουμένῃ· ταῦτα γὰρ πάντα μικρὰ παντελῶς· δέχεται νεῦρα τοῖς ἔξωθεν αὐτῶν ἐμφανιζόμενα χιτῶσι, τοσοῦτον αἰσθήσεως ἑκάστῳ μέρει μεταδούσης τῆς φύσεως, ὅσον ἔπρεπεν ἕνεκα τοῦ φυτῶν ἀποχωρισθῆναι, καὶ ζώου γενέσθαι μορίοις.

κη'. Περὶ τῶν κύστεων.

1 Τῇ μὲν τὸ οὖρον ὑποδεχομένῃ κύστει νεῦρα μὲν ἀπὸ τοῦ κατὰ τὸ πλατύ τε καὶ ἱερὸν ὀστοῦν ὀνομαζόμενον ἐνέφυσεν ἡ φύσις νωτιαίου· πλησιαίτατα γὰρ οὗτος αὐτῆς ἐτέτακτο· φλέβας τε καὶ ἀρ-

7 toine, comme tous les autres organes suspendus. L'urine se sépare du sang par suite de l'attraction que les reins exercent sur le sérum; de ces organes, le liquide est chassé dans la vessie à travers les uretères, et de
8 là il est évacué chaque fois que la volonté l'ordonne. Les reins sont pourvus de nerfs au même degré que la rate, le foie et la vessie appelée *réservoir de la bile :* en effet, toutes ces parties reçoivent des nerfs extrêmement petits, qu'on voit sur les tuniques qui les entourent à l'extérieur, la nature ayant communiqué à chaque partie autant de sensibilité qu'il convenait pour que chacune d'elles se distinguât des plantes et devînt une partie d'animal.

28. DES VESSIES [URINAIRE ET BILIAIRE].

1 Les nerfs que la nature a implantés sur la vessie servant de réservoir à l'urine, viennent de la moelle épinière située au niveau de l'os appelé *large* ou *sacré* (*rameaux de la branche antér. du troisième nerf sacré*); car cette partie de la moelle est la plus rapprochée de la vessie; la nature

2. τὸν ὀρόν ex em.; τὸ ὄρον AB; τὸ οὖρον Mor. — 3. ἐκπεμπομένου] πέμπεται Gal. — 4. ὃν ἀναλογισμός AB Mor. — 8. ὅσον ἔπρεπεν om. AB Mor. — Ch. 28, l. 10-11. κατὰ πλατύ AB Mor. — 12. τε] δέ AB Mor.

τηρίας ἀπὸ τῶν ἔγγιστα καὶ αὐτὰς ἀγγείων, ἵνα πρῶτον αἱ ἐπὶ τὰ σκέλη τῶν ἐπὶ ῥάχεως τῶν μεγάλων ἐκφύσεις γίνονται· τῇ δὲ ἑτέρᾳ κύστει τῇ κατὰ τὸ ἧπαρ ἀρτηρίαν μὲν καὶ νεῦρον ἀπὸ τῶν εἰς αὐτὸ τὸ σπλάγχνον ἐμφυομένων ἀποσχίσασα μικρὸν ἑκάτερον ἱκανῶς καὶ δυσθεώρητον, αἰσθητὴν δὲ καὶ σαφῆ φλέϐα τῆς ἐπὶ πύλαις ἀποφύσασα, ταῦτα πάντα τὰ τρία κατὰ ἕνα τόπον εἰς τὸ τῆς κύστεως ἐνέφυσε σῶμα κατὰ τὸν καλούμενον αὐχένα. Οὕτω δὲ καὶ 2
εἰς τὴν ἑτέραν κύστιν τὴν μεγάλην κατὰ αὐτὸν ἐνέφυσε τὸν αὐχένα τὰ ἓξ ἀγγεῖα, τρία κατὰ ἑκάτερον αὐτῆς μέρος. Ὅ γε μὴν τρόπος 3
ὁ τῆς ἐμφύσεως εἰς μὲν τὴν κύστιν τῶν οὐρητήρων, εἰς δὲ τὸ ἔντερον τοῦ χοληδόχου πόρου, πάντων θαυμάτων ἐστὶν ἐπέκεινα· λοξοὶ γὰρ εἰς αὐτὰ καταφυόμενοι καὶ μέχρι τῆς ἐντὸς εὐρυχωρίας λοξοὶ καὶ προμήκεις διήκοντες, οἷον ὑμένα τινὰ τῶν ἐντὸς ἀποτέμνονται πρὸς μὲν τῆς ἔσω φορᾶς τῶν περιττωμάτων ἀνατρεπόμενόν τε καὶ ἀνοιγνύμενον, ἐν δὲ τῷ λοιπῷ χρόνῳ παντὶ προσπε-

a également tiré les artères et les veines, pour cet organe, des vaisseaux les plus rapprochés, à l'endroit de la première origine des rameaux qui, des grands vaisseaux situés sur l'épine du dos, vont se rendre aux jambes; quant à l'autre vessie placée sur le foie (*vésicule biliaire*), la nature a d'abord détaché une artère et un nerf, tous les deux assez petits et difficiles à apercevoir, de ceux qui s'implantent sur le viscère lui-même, tandis qu'elle a fait partir une veine visible et apparente de celle qui est placée sur les *portes du foie;* ensuite elle a inséré ces trois rameaux sur le corps de la vésicule, au même endroit, vers la partie qu'on appelle *col.* De même, 2
elle a inséré sur l'autre grande vessie, au col même, les six vaisseaux, trois sur chaque côté d'elle. Le mode d'insertion des uretères dans la 3
vessie, et du canal cholédoque dans l'intestin, dépasse tout ce qu'il y a de plus merveilleux : en effet, les canaux, s'implantant obliquement sur les organes, et pénétrant obliquement et par un long trajet jusque dans leur cavité intérieure, détachent des parties intérieures une espèce de membrane qui est renversée et ouverte par les résidus qui s'acheminent vers l'intérieur, tandis que, pendant tout le reste du temps, elle retombe,

1. ἔγγιστα] ἔμπροσθεν A.

πτωκότα τε καὶ προσεσταλμένον, καὶ οὕτως ἀκριβὲς πῶμα τῷ πόρῳ γενόμενον, ὥστε μὴ μόνον τοῖς ὑγροῖς ἀδύνατον εἶναι τὴν εἰς τοὐπίσω φορὰν, ἀλλὰ καὶ τῷ πνεύματι.

κθ'. Περὶ μήτρας.

1 Ἐντὸς περιτοναίου ἡ μήτρα κεῖται μεταξὺ κύστεως καὶ ἀπευθυσμένου, τῷ μὲν ἐπικειμένη σχεδὸν ὅλῳ, κύστεως δὲ κατὰ μὲν τὸ πρὸς τὸν ὀμφαλὸν ἔνθα ὁ πυθμὴν αὐτῆς ἐστιν, ὑπερέχουσα ὡς τὰ πολλά· κατὰ δὲ τὸ πρὸς τὸ αἰδοῖον ἡ κύστις τῆς μήτρας ὑπερέχει τῷ αὐχένι. Τούτων δὲ αὐτῶν ἡ μὲν κύστις κατὰ τὸ ἐφήβαιον τέ-
2 τακται, τὸν αὐχένα μικρότερόν τε καὶ εὐρύτερον ἔχουσα τῆς ἀνδρείας κύστεως μεταξὺ τῶν τῆς ἥβης καλουμένων ὀστῶν καθήκοντα εἰς τὸ γυναικεῖον αἰδοῖον ἐγγὺς τῷ ἔξω τε καὶ ἄνω πέρατι αὐτοῦ· τὸ δὲ ἀπευθυσμένον τῷ τε ἱερῷ καλουμένῳ ὀστῷ καί τισι τῶν τῆς ὀσφύος σπονδύλων ἐφήδρασται· καὶ γὰρ καί πως σιμοῦται τἄνδον

se dresse et forme un couvercle tellement bien fait pour le conduit, qu'il est impossible, non-seulement aux fluides, mais à l'air lui-même, de retourner en arrière.

29. DE L'UTÉRUS.

1 La matrice est située dans l'intérieur du péritoine (*c'est-à-dire qu'elle est coiffée par le péritoine*), entre la vessie et le rectum; elle repose sur l'étendue presque entière de ce dernier organe, tandis qu'au niveau de l'ombilic, où se trouve le fond de la matrice, cet organe dépasse ordinairement la vessie; dans la région des parties génitales, au contraire, la vessie s'avance au delà de la matrice de toute la longueur de son col.
2 Entre ces deux organes mêmes, la vessie est placée au niveau du pubis et est pourvue d'un col plus court et plus large que chez l'homme, lequel col parvient entre les os dits *os du pubis* aux parties génitales de la femme, près de leur extrémité extérieure et supérieure; le rectum, de son côté, est appuyé sur l'os dit *sacré* et quelques-unes des vertèbres lombaires; car, dans cette région, le rachis devient concave à sa face an-

1. προσεσταλμένον AB Mor. — Ch. 29, l. 5-6. τὸ πρός om. F. — 7. δὲ πρός ABF. — 9. τὸ πρὸς (κατά Gal.) τὸν αὐχένα F Gal.

ἡ ῥάχις κατὰ τοῦτο, διὰ ὃ καὶ ἔξωθεν κυρτὴ καταφαίνεται. Μέγεθος
δὲ ἡ μήτρα οὐκ ἴση μὲν ἐπὶ πασῶν· παρὰ πολὺ γὰρ ἐλαττουμένη 3
ἡ τῆς κυησάσης, μείζων δὲ ἡ τῆς ἐγκύου, καὶ εἴ τις δὲ οὐδέποτε
ἐκύησε, καὶ ταύτης μείων ἐστὶ, καὶ παρὰ τὰς ἡλικίας, αἷς μηδέπω
τοῦ λαγνεύεσθαι ὥρα, ἢ μηκέτι· καὶ γὰρ καὶ ἄλλως ἐλάττων ἀεὶ
ταῖς μὴ λαγνευομέναις. Τό γε μὴν τῆς συμμέτρως ἐχούσης μέγε- 4
θος κατὰ μὲν τὸ ἄνω πέρας τὸ τοῦ πυθμένος πλησίον ἐστὶ τῷ ὀμ-
φαλῷ, τὸ κάτω δὲ αὐτῆς πέρας κατὰ τὸ αἰδοῖον τῆς γυναικὸς ἔχει
καὶ ἔστιν ἀπὸ τοῦ ὀμφαλοῦ ἐπὶ τὸ πέρας τοῦ αἰδοίου τὸ ἔξω οὐκ
ἴσον μὲν ἐπὶ πασῶν· ὡς τὸ πολὺ δὲ τό γε σύμμετρον διάστημα
δακτύλων ἐννέα ἢ δέκα, τὸ δὲ πλάτος ἐπὶ ἑκάτεραν τῶν λαγόνων
ἐκτείνεται ταῖς αὐτῆς κεραίαις. Περὶ δὲ τῶν κατὰ βάθος περάτων 5
ἤδη εἴρηται, ὅτι τε κύστις καὶ ἀπευθυσμένον ὁρίζουσιν αὐτὴν, καὶ

térieure, raison pour laquelle il présente une convexité à sa face posté-
rieure. La matrice n'a pas le même volume chez toutes les femmes : en 3
effet, après l'accouchement, elle se rapetisse beaucoup, tandis qu'elle est
plus grande chez les femmes enceintes; et, chez toute femme qui n'a
jamais conçu, elle est encore plus petite que dans le premier cas, et, de
même, par rapport aux âges, chez celles qui ne sont pas encore arrivées
à l'âge nubile, ou qui l'ont déjà dépassé; car, même sans cela, elle est
toujours plus petite chez les femmes qui n'usent pas du coït. Quant au 4
volume d'un utérus de grandeur moyenne, à sa partie supérieure le fond
de l'organe se rapproche du nombril, tandis qu'il a son extrémité infé-
rieure dans les parties génitales de la femme, et la distance du nombril
jusqu'à l'extrémité extérieure des parties génitales n'est pas la même
chez toutes les femmes; ordinairement, cependant, la longueur moyenne
de cet espace est de neuf ou de dix doigts; quant à la largeur, l'utérus
s'étend dans chacune des deux régions des iles à l'aide de ses *cornes*.
Nous avons déjà parlé de ses limites dans la profondeur du bassin, en 5
disant qu'il est limité par la vessie et le rectum, que le premier de ces

1. κυρτή om. ABF. — 2. ἐλαττου-μένη ex em.; ἐλαττομένη A; ἐλαττού-μενον ταῖς F; ἐλάττων μέν B Gal.; ἐλάτ-των μένει Mor. — 3. ἡ om. ABF Mor. — Ib. κυούσης F; μὴ κυούσης AB Mor. — 4. ταύτῃ ABF Mor. — 8. κατά] ἐπί ABF Mor. — 8-9. τῆς..... αἰδοίου om. AB Mor. — 10. μέν om. ABF Mor. — 11. ὅσον δακτ. F. — Ib. δακτ. ἕνδεκα Gal.

6 ὅτι ἡ μὲν ἐπίκειται, τὸ δὲ ὑπόκειται. Αὐτὸ δὲ τὸ αἰδοῖον τὸ γυναι-
κεῖον ἡ μεταξὺ τῶν τῆς ἥϐης ὀσῖῶν ἐσῖιν εὐρυχωρία, κατὰ τὰ ἔξω
μέρη δερματώδεις ἐπιφύσεις ἔχουσα, ἀνάλογον τῇ ἐπὶ τῶν ἀῤῥέ-
7 νων πόσθῃ. Τὸ δὲ σχῆμα αὐτῆς, τὸ μὲν ἄλλο πᾶν, καὶ μάλισῖα ὁ
πυθμὴν, κύσῖει ἔοικεν· κατὰ ὅσον δὲ ἐκ τῶν πλαγίων ἐπιφύσεις
ἔχει μασῖοειδεῖς πρὸς τὰς λαγόνας ἀνανευούσας, ταύτῃ γε οὐκέτι
8 ἔοικεν. Αὐτῶν δὲ τούτων τὸ σχῆμα ὁ μὲν Ἡρόφιλος ἡμιτόμου κύ-
κλου ἕλικι ἀπεικάζει, Διοκλῆς δὲ κέρασι φυομένοις· ταῦτά τοι καὶ
ὠνόμασεν αὐτὰς παρωνύμως ἀπὸ τοῦ κέρατος κεραίας.

λ'. Περὶ τῶν αἰδοίων ἄῤῥενος.

1 Τῶν τῆς ἥϐης ὀνομαζομένων ὀσῖῶν ἐκφυόμενον νευρῶδες σῶμα κοῖλόν τε ἅμα καὶ κενὸν πάσης ὑγρότητος τὸ τῶν αἰδοίων γένος ἀπεργάζεται, καὶ πληρουμένου τούτου τοῦ κοίλου νεύρου πνεύμα-

6 organes est situé au-dessus, et le second au-dessous. Les parties génitales elles-mêmes de la femme sont formées par la cavité située entre les
os du pubis, et pourvues, à l'extérieur, de prolongements formés de
7 peau qui sont l'analogue du prépuce chez les hommes. A l'exception des
cornes, la forme de l'utérus ressemble, pour tout le reste, surtout cependant pour le fond, à une vessie; mais, eu égard aux prolongements
latéraux dont il est pourvu, lesquels ressemblent à des seins de femme
8 et remontent vers la région des iles, il n'y ressemble plus. Hérophile
compare la forme de ces prolongements mêmes à un arc de demi-cercle,
et Dioclès, à des cornes en croissance; pour cette raison, il les a nommés *κεραῖαι*, dérivant leur nom des cornes des animaux, qui s'appellent en grec *κέρατα*.

30. DES PARTIES GÉNITALES DE L'HOMME.

1 L'espèce d'organe qu'on appelle membre viril est formé par un corps *nerveux*, à la fois creux et dépourvu de toute espèce de liquide (*corps caverneux*), corps qui prend son origine aux os dits *os du pubis*; c'est quand ce nerf creux se remplit d'air que le membre vient à entrer en érection

1. τὸ δὲ ὑπόκ. om. ABF. — Ib. δέ om. AB Mor. — 5. ἐκ] καί AB Mor. — Ib. δερματοειδεῖς προσεπιφύσεις F; δερματώδη ἐπίφυσιν Gal. — 6. γε om. ABF Gal. — Ib. οὐκ AB Mor. — 9. ἀπό om. ABF Mor.

τος, τείνεσθαι τὸ αἰδοῖον ἐν ταῖς συνουσίαις συμβαίνει. Τείνεται 2
δὲ, οὐχ ὡς ἂν οἰηθείη τις, ἕνεκα τῆς συνουσίας μόνης, ἀλλὰ καὶ τοῦ
διίστασθαι καὶ ἀνευρύνεσθαι τὸν πόρον, ἵνα ἐπὶ πλεῖστον ἐξακοντίζηται τὸ σπέρμα. Διὰ τοῦτο ἡ φύσις καὶ δύο μύας ἑκατέρωθεν 3
τούτου τοῦ κοίλου νεύρου τέταχεν, ἵνα ὥσπερ ὑπὸ χειρῶν τινων ἀντισπώμενος ἀνευρύνηται ὁ πόρος ἐπὶ ἑκάτερα, μένοντος ἀκλινοῦς
τοῦ σύμπαντος αἰδοίου. Ἔμελλε δὲ δήπου καὶ ἡ εὐθύτης τοῦ πόρου 4
διὰ τῆς τοιαύτης κατασκευῆς φυλάττεσθαι, χρήσιμον δέ ἐστι κατὰ τὰς ἀποκρίσεις τοῦ σπέρματος εὐρύτατόν τε ἅμα καὶ εὐθύτατον ἀκριβῶς φυλάττεσθαι τὸν πόρον, ὑπὲρ τοῦ συνεχὲς ὅλον ἀθρόως ὅτι τάχιστα πρὸς τοὺς κόλπους αὐτὸ τῶν μητρῶν ἐξικνεῖσθαι. Ἐπεὶ δὲ 5
καὶ ἡ κύστις ἐτέτακτο πλησίον, ἕτερον οὐκ ἦν ἄμεινον ἐκκρίσεως οὔρων ἐργάζεσθαι πόρον μᾶλλον ἢ συγχρήσασθαι τῷ τοῦ σπέρματος. Εὐλόγως οὖν καὶ ὁ ταύτης αὐχὴν ἅπαν κατείληφε τὸ τοῦ περινέου χωρίον, ἀναφερόμενος ἀπὸ τῆς ἕδρας, ἐπὶ ἧς ἐξ ἀρχῆς ἔκειτο 6

pendant le coït. Ce n'est pas uniquement en vue du coït, comme on 2
pourrait le penser, que le membre entre en érection, mais aussi pour dilater et élargir le conduit, afin que le sperme soit éjaculé aussi loin
que possible. Pour cette raison, la nature a placé deux muscles (*ischio* et 3
bulbo-caverneux), un de chaque côté de ce nerf creux (*corps caverneux*), afin que, retiré en sens opposé des deux côtés par ces muscles, comme si c'étaient des mains, le conduit s'élargît, l'ensemble du membre restant
à l'abri de toute flexion. La direction droite du conduit devait aussi se 4
conserver à l'aide de cette disposition; or il est utile que, pendant l'expulsion du sperme, le canal reste à la fois complétement dilaté et complétement droit, afin que ce liquide puisse, sans interruption, arriver aussitôt que possible, intégralement et tout d'un coup, aux sinus de la
matrice. Mais, comme la vessie était aussi située dans le voisinage, il n'y 5
avait pas avantage de construire un autre conduit pour l'excrétion des
urines, plutôt que d'employer en même temps celui du sperme. Ce n'est 6
donc pas sans raison que le col de la vessie occupe, en remontant du siége, où il a été placé primitivement, toute la longueur du périnée,

2. τις ἴσως Gal. — 3. εὐθύνεσθαι Gal. — 6. διευρύνοιτο Gal. — 7. εὐρύτης Gal. — 10. ὅλως καὶ ἀθρόως ABF Mor. — 12. ἡ om. AB Mor. — 13. ἄλλον Gal.

7 μέχρι τῆς κατὰ τὸ αἰδοῖον ἐμφύσεως. Ἐπὶ δὲ τῶν γυναικῶν, ἅτε
οὐκ ὄντος αἰδοίου προμήκους, τὴν τοιαύτην ἀπόφυσιν ὁ τῆς κύστεως
αὐχὴν οὐκ ἔσχεν, ἀλλὰ τὸ μὲν αἰδοῖον αὐτὸ τὸ γυναικεῖον ἐπίκει-
ται κατὰ τῆς ἕδρας, ἐπὶ δὲ τὸ ἄνω πέρας αὐτοῦ τῆς κύστεως ὁ τρά-
χηλος τελευτᾷ, κἀνταῦθα προχεῖ τὸ οὖρον, οὔτε ἱκανῶς καμπύλος
8 ὡς ἐπὶ τῶν ἀνδρῶν, οὔτε οὕτω μακρὸς γενέσθαι δεηθείς. Οἷον δέ τι
πρόβλημα τῆς φάρυγγος ὁ γαργαρεὼν ἐστι, τοιοῦτο τῶν μητρῶν
ἡ νύμφη προσαγορευομένη, σκέπουσά τε ἅμα καὶ ψύχεσθαι κω-
λύουσα τὸ καθῆκον αὐτῶν εἰς τὸ γυναικεῖον αἰδοῖον στόμα τοῦ τρα-
χήλου.

λα'. Περὶ μήτρας καὶ αἰδοίου γυναικείου. Ἐκ τῶν Σωρανοῦ.

1 Ἡ μήτρα καὶ ὑστέρα λέγεται καὶ δελφύς· μήτρα μὲν οὖν ὅτι μήτηρ ἐστὶ τῶν ἐξ αὐτῆς γεννωμένων ἐμβρύων, ἢ ὅτι τὰς ἐχούσας αὐτὴν μητέρας ποιεῖ· κατὰ δέ τινας ὅτι μέτρον ἔχει χρόνου πρὸς

7 jusqu'à ce qu'il se confonde avec le membre viril. Comme, chez les
femmes, il n'y a pas de partie génitale allongée, le col de la vessie ne
possède pas, chez elles, une pareille prolongation; mais la partie génitale
de la femme est placée sur l'anus, et le col de la vessie aboutit à son
extrémité supérieure et y verse l'urine, n'ayant pas besoin d'être très-
8 courbé comme chez l'homme, ni aussi long que chez lui. La partie ap-
pelée *nymphe* est, pour l'utérus, un moyen de protection de la même
espèce que la luette l'est pour le pharynx, puisqu'elle recouvre et em-
pêche de se refroidir l'orifice du col utérin, qui aboutit dans les parties
génitales de la femme (*vagin*).

31. DE LA MATRICE ET DU MEMBRE GÉNITAL DE LA FEMME. — TIRÉ DE SORANUS.

1 A la matrice on donne aussi le nom d'*utérus* et de *delphys;* on l'appelle *matrice*, parce qu'elle est la mère des embryons engendrés d'elle, ou parce qu'elle rend mères celles qui en ont une, ou, selon quelques-uns, parce qu'elle implique la mesure du temps pour la menstruation et

1. ἐμφύσεως ex em.; ἐκφύσεως Codd. AB. — Ch. 31, l. 13. ἔχει] ἔτι A; ἐστὶ Gal. Mor. — 8-9. κωλύουσα καθῆκον Goup.

κάθαρσιν καὶ ἀπότεξιν· ὑσ7έρα δὲ διὰ τὸ ὕσ7ερον ἀποδιδόναι τὰ ἑαυτῆς ἐνεργήματα, ἢ διὰ τὸ ἐσχάτην κεῖσθαι τῶν σπλάγχνων, εἰ καὶ μὴ πρὸς ἀκρίβειαν, ἀλλὰ κατὰ πλάτος· δελφὺς δὲ διὰ τὸ ἀδελφῶν αὐτὴν εἶναι γεννητικήν. Κεῖται δὲ ἐν τῇ τῶν ἰσχίων εὐρυχω- 2
ρίᾳ μεταξὺ κύσ7εως καὶ ἀπευθυσμένου ἐντέρου, τούτῳ μὲν ἐπικειμένη, τῇ κύσ7ει δὲ ὑποκειμένη, ποτὲ μὲν ὅλη, ποτὲ δὲ ἀπὸ μέρους, διὰ τὸ κατὰ μέγεθος ἐξαλλάτ7εσθαι· ταῖς μὲν γὰρ νηπίαις μικροτέρα τῆς κύσ7εώς ἐσ7ιν· διὸ καὶ ὅλην ταύτην ὑπελήλυθεν· ταῖς δὲ ἐν ἀκμῇ παρθένοις ἴση τῇ κύσ7ει κατὰ τὰ ὑπερκείμενα· ταῖς δὲ προηλικεσ7έραις καὶ ἤδη διακεκορευμέναις, καὶ μᾶλλον προκεκυηκυίαις, μείζων, ὥσ7ε ταῖς πλείσ7αις ἐν λήξει τοῦ κόλου προσαναπαύεσθαι· μᾶλλον δὲ ἐν τῷ κυοφορεῖν, ὡς καὶ τῇ ὁράσει καταλαμβάνειν ἔσ7ιν, εἰς πολὺ διωγκωμένου τοῦ περιτοναίου καὶ τοῦ ἐπιγασ7ρίου, καὶ ἐκ τοῦ τηλικοῦτον εἶναι τὸ ἀποτικτόμενον μετὰ

l'accouchement (*de μέτρον, mesure*); on la nomme *utérus* (*en grec ὑσ7έρα*), parce qu'elle n'accomplit ses œuvres que plus tard (*de ὕσ7ερον plus tard*), ou parce qu'elle occupe la dernière place parmi les viscères, sinon rigoureusement, du moins par une interprétation large; on lui donne le nom de *delphys*, parce qu'elle a la faculté d'engendrer des frères (*en grec ἀδελφός*). La matrice est située dans la cavité formée par l'écartement des 2
hanches, entre la vessie et le rectum, étant placée sous le premier et sur le second organe, quelquefois entièrement, d'autres fois en partie, attendu que son volume est variable : en effet, chez les petites filles, elle est plus petite que la vessie, raison pour laquelle elle se cache entièrement sous cet organe; chez les vierges à la fleur de l'âge, elle atteint le niveau de la vessie à la partie supérieure; chez les femmes plus âgées, qui ont déjà perdu leur virginité, et surtout si elles ont déjà eu un accouchement auparavant, la matrice est plus grande, de façon que, chez la plupart de ces femmes, elle repose sur l'extrémité du colon; il en est ainsi, à bien plus forte raison encore, pendant la grossesse, comme on peut le constater aussi bien par ses yeux, le péritoine et le ventre étant considérablement tuméfiés, que par le fait que l'enfant qui

1-2. *διὰ τὸ..... ἐνεργήματα ἢ* om. AB Goup. — 4. *σπλάγχνων* Sor. — 4-5. *εὐρ. ἐντὸς τοῦ περιτοναίου μεταξύ* Sor.— 11. *ἐν λέξει* A; *ἄλιξι* Codd. Sor.; *ἕλιξι* conj. Dietz. — 12-p. 371, l. 1. *μᾶλλον..... χιτώνων* om. Sor.

3 τῶν σὺν αὐτῷ χιτώνων καὶ ὑγρῶν. Μετὰ δὲ τὴν ἀπότεξιν συσΊέλλε-
ται μέν· ἄλλως δὲ μεῖζον ἔχει τὸ μέγεθος τοῦ ϖρὸ τῆς ἀποτέξεως.
5 ὀστοῖς πέφυκέ τε καὶ ἐστήρικται. Εἰσὶ δὲ ἐν αὐτοῖς ὅσα μὲν με-
γάλα, μεγίστας ἔχοντα κοιλίας μυελοῦ μεστάς· τὰ δὲ σμικρὰ
6 πλήρη τέ ἐστιν ὅλα, καὶ οὐδεμίαν αἰσθητὴν ἔχει κοιλότητα. Τῶν
δὲ μεγάλων τοῖς πλείστοις ἐπιφύσεις εἰσὶ κατὰ τὸ πέρας ἑτέρων
ὀστῶν, οἷον βραχίονι μὲν ἄνω, πήχει δὲ κάτω, κερκίδι δὲ καὶ μηρῷ
7 καὶ κνήμῃ καὶ περόνῃ κατὰ ἄμφω. Γένυς δὲ ἡ κάτω μυελὸν μὲν
ἔχει, ἐπίφυσιν δὲ οὐκ ἔχει, ἀλλὰ τῶν περάτων αὐτῆς τὸ μὲν κάτω

3 réunis, il est vrai, mais non pas naturellement. Les *cols* sont des prolon-
gements minces d'os; ils aboutissent à une extrémité arrondie et plus
épaisse, qu'on appelle *tête;* lorsque le prolongement aboutit à une extré-
mité pointue, on ne l'appelle plus col, mais bec de corneille; si la cavité
qui reçoit la tête a une certaine profondeur, on lui donne le nom de *co-
tyle;* tandis que quelques-uns ont donné aux cavités superficielles le nom
4 d'*évasement.* Les os sont placés et établis comme des soutiens au-dessous
du reste de la substance du corps, à l'instar des fondements d'une mai-
son : en effet, tout pousse des os et tout s'appuie sur eux. Parmi eux,
5 tous ceux qui sont grands contiennent des cavités très-considérables,
remplies de moelle, tandis que les petits os sont tout à fait pleins et ne
6 présentent aucune cavité perceptible aux sens. La plupart des grands os
ont à leur extrémité des os surajoutés (*épiphyses*); l'humérus à son ex-
trémité supérieure, le cubitus à son extrémité inférieure, tandis que le
7 radius, le fémur, le tibia et le péroné en ont aux deux extrémités. La
mâchoire inférieure, au contraire, contient de la moelle, il est vrai,
mais elle n'a pas d'épiphyse; seulement, quant à ses extrémités, l'infé-

4. κόρωνον AB Mor. — 9. ὅσα] τά Gal. — 15. ἀπόφ. AB Mor.

κατὰ σύμφυσιν ἥνωται, τὸ δὲ ἄνω δύο ἀποφύσεις ἔχει, τὴν μὲν κορώνην, τὴν δὲ αὐχένα μόνον· διαφέρει γὰρ ἀπόφυσις ἐπιφύσεως, ὅτι ἡ μὲν ἐπίφυσις ἑτέρου πρὸς ἕτερόν ἐστιν ἕνωσις, ἡ δὲ ἀπόφυσις τοῦ παντὸς ὀστοῦ μέρος.

γʹ. Περὶ τῶν τῆς κεφαλῆς ὀστῶν.

Κρανίον ὀνομάζεται τὸ τῆς κεφαλῆς ὀστοῦν. Ἔστι δὲ τὸ μέν τι 1-2
κατὰ φύσιν τῆς κεφαλῆς σχῆμα, προμήκει μάλιστα σφαίρᾳ προσεοι-
κός· ἕτερον δὲ τὸ καλούμενον φοξόν. Τὸ μὲν οὖν κατὰ φύσιν εἴς 3
τε τὸ πρόσω καὶ τοὐπίσω προπετέστερον ὑπάρχον, τρεῖς ἔχει τὰς
πάσας ἐν αὐτῷ ῥαφὰς, δύο μὲν ἐγκαρσίας, ὧν ἡ μὲν ἑτέρα τέτακται
κατὰ ἰνίον, ἡ δὲ ἑτέρα κατὰ τὸ βρέγμα· τρίτην δὲ ἄλλην ἐπὶ αὐ-
ταῖς κατὰ τὸ μῆκος τῆς κεφαλῆς, ἀπὸ μέσης τῆς ὄπισθεν ἐπὶ μέσην
τὴν ἔμπροσθεν ἐκτεταμένην. Ὀνομάζουσι δὲ τὴν μὲν ἐν τοῖς πρόσω 4
στεφανιαίαν, ἐπειδὴ κατὰ τοῦτο μάλιστα τῆς κεφαλῆς οἱ στέφανοι

rieure (*antérieure*) présente une réunion par symphyse (*symphyse du menton*), et la supérieure (*branche montante*) est surmontée de deux apophyses, dont l'une est un bec de corneille, et l'autre rien qu'un col : car une apophyse diffère d'une épiphyse, en ce qu'une *épiphyse* est l'union d'un second os au premier, tandis qu'une *apophyse* est une partie de l'ensemble de l'os.

3. DES OS DE LA TÊTE.

On appelle l'os de la tête *crâne*. Il existe une forme naturelle de la tête, 1-2
qui ressemble surtout à une sphère allongée; mais il y a une autre forme
de la tête, qu'on appelle *pointue*. La forme naturelle de la tête, qui, jus- 3
qu'à un certain point, surbaisse en avant et en arrière, contient en tout
trois sutures, deux transversales, dont l'une est placée à l'occiput, et
l'autre au sinciput, et, de plus, une autre suture, qui est la troisième,
et qui a la direction de la longueur de la tête (*sut. bipariétale*), puisqu'elle
s'étend du milieu de la suture postérieure au milieu de la suture anté-
rieure. On nomme la suture située à la partie antérieure de la tête su- 4
ture *coronale* (*fronto-pariétale*), puisque c'est surtout sur cette partie de

κατατίθενται, τὴν δὲ ὄπισθεν λαμβδοειδῆ, διότι τὸ σύμπαν αὐτῆς
5 σχῆμα τῷ λάμβδα γράμματι προσέοικεν. Αὐτὸ δὲ τὸ τῶν τριῶν
6 ῥαφῶν σχῆμα τῷ ἦτα μάλιστα ὡμοίωται γράμματι. Αἱ μὲν δὴ τοῦ κατὰ φύσιν ἐσχηματισμένου κρανίου ῥαφαὶ τὸν εἰρημένον ἔχουσι
7 τρόπον· αἱ δὲ τοῦ φοξοῦ κατὰ τάδε διάκεινται. Τῆς μὲν ὄπισθεν ἀπολομένης ἐξοχῆς, καὶ ἡ λαμβδοειδὴς ῥαφὴ συναπόλλυται· τῆς δὲ ἔμπροσθεν, ἡ στεφανιαία, καὶ γίνεται κατὰ ἑκάτερον αὐτῶν τὸ τῶν σωζομένων ῥαφῶν σχῆμα τῷ ταῦ γράμματι παραπλήσιον· ἀμφοτέρων δὲ ἀπολομένων τῶν ἐξοχῶν, αἱ φαινόμεναι δύο ῥαφαὶ πρὸς ὀρθὰς γωνίας ἀλλήλας τέμνουσιν εἰς ὁμοιότητα τῷ χῖ γράμματι.
8 Τέτακται δὲ ἡ μὲν ἐγκαρσία κατὰ μέσην μάλιστα τὴν κεφαλήν, ἡ δὲ ἑτέρα κατὰ τὸ μῆκος ὄπισθεν πρόσω φερομένη, καθάπερ ἐπὶ τῶν ἄλλων ἁπάντων κρανίων· ἀεὶ γὰρ αὕτη μὲν διαφυλάττεται, μεταπίπτουσι δὲ αἱ λοιπαὶ τῷ τῆς ὅλης κεφαλῆς σχήματι συναλ-
9 λοιούμεναι. Καὶ μὲν δὴ καὶ δύο ἕτεραι τῇδε παράλληλοι γραμμαὶ

la tête qu'on met les couronnes, et la suture postérieure, suture *lambdoïde,* puisque l'ensemble de sa forme ressemble à la lettre *lambda* (Λ).
5 La forme des trois sutures elle-même présente surtout de la ressemblance
6 avec la lettre *êta* (H). Les sutures d'une tête naturellement conformée présentent donc les dispositions que nous venons de décrire; celles, au contraire, d'une tête pointue, sont disposées de la manière suivante.
7 Quand la protubérance postérieure a disparu, la suture lambdoïde disparaît aussi avec elle, mais, quand c'est la protubérance antérieure qui a disparu, la suture coronale est supprimée, et, dans les deux cas, la forme des sutures qui restent devient semblable à la lettre *tau* (T); si, enfin, les deux protubérances ont disparu, les deux sutures qui s'offrent à nos yeux se coupent à angle droit, de manière à ressembler à la lettre *chi* (X).
8 La suture transversale est placée à peu près au milieu de la tête, et l'autre longitudinalement, se portant d'arrière en avant, de même que pour les autres crânes; car cette suture reste toujours, tandis que les autres
9 s'adaptent aux changements de forme de l'ensemble de la tête. En outre, il y a deux autres lignes parallèles à cette dernière suture, puisqu'elles

1. περιτίθ. Gal. — 6. ἀπολλυμένης B Gal. Mor. — 9. σωζόμεναι Gal.

κατὰ τὸ μῆκός εἰσι τῆς κεφαλῆς ὄπισθεν πρόσω φερόμεναι τῶν ὤτων ὑπεράνω· γεννῶνται δὲ αἵδε δυοῖν ὀσΊοῖν ἀλλήλοις ὁμιλούντων, οὐ κατὰ ῥαφὴν, ὥσπερ τὰ πρόσθεν εἰρημένα· κατὰ βραχὺ γὰρ ἀπολεπΊυνόμενον εἰς λεπίδα τὸ κατιὸν ἀπὸ τοῦ βρέγματος ὀσΊοῦν ὑποϐέϐληται τῷ κάτωθεν ἀπὸ τῶν ὤτων ἀνιόντι, καὶ διὰ τοῦτό τινες οὐδὲ ῥαφὰς ὠνόμασαν ἁπλῶς αὐτὰς, ἀλλὰ ἤτοι λεπιδοειδεῖς ῥαφὰς, ἢ λεπιδοειδῆ προσκολλήματα. Καὶ ἡμῖν δὲ σαφοῦς ἕνεκα διδασκαλίας αἱ κατὰ τὰ ὦτα λεπιδοειδεῖς καλείσθωσαν ῥαφαὶ, ὡς εἶναι πέντε μὲν ἰδίας ῥαφὰς τῆς κεφαλῆς, τὴν λαμϐδοειδῆ, τὴν σΊεφανιαίαν, τὴν κατὰ τὸ μῆκος εὐθεῖαν, τὰς παραλλήλους αὐτῇ δύο τὰς ἐν τοῖς λεπιδοειδέσιν, ἄλλας δὲ κοινὰς δύο πρός τε τὴν ἄνω γένυν καὶ πρὸς τὸ μέσον ἀμφοτέρων ὀσΊοῦν, ὅ τινες μὲν τῇ κεφαλῇ προσνέμουσι, τινὲς δὲ τῆς ἄνω γένυος εἶναί φασιν· ἔγκειται γὰρ ὥσπερ

se portent longitudinalement de la partie postérieure de la tête en avant, au-dessus des oreilles; ces lignes sont formées par le contact de deux os qui, cependant, ne se fait pas sous forme de suture, comme pour les os dont nous avons parlé d'abord : car, en s'amincissant peu à peu, jusqu'au point de devenir squammeux, l'os (*pariétal*) qui descend du sinciput se place sous celui qui, venant des oreilles (*temporal*), remonte de bas en haut : pour cette raison, quelques-uns ne donnèrent pas simplement le nom de sutures à ces réunions, mais les nommèrent ou *sutures squammeuses* (écailleuses), ou *accollements squammeux*. Quant à nous, pour rendre notre exposition plus claire, nous appellerons aussi sutures les réunions squammeuses au niveau des oreilles, de sorte qu'il y aura cinq sutures appartenant uniquement à la tête, savoir : la suture lambdoïde, la suture coronale, la suture longitudinale rectiligne et les deux sutures qui lui sont parallèles, c'est-à-dire, celles qui se trouvent aux parties squammeuses des os; il y a aussi deux autres sutures qui sont communes à la tête, à la mâchoire supérieure et à l'os placé au milieu de ces deux organes, et que quelques-uns font appartenir à la tête, pendant que d'autres le considèrent comme une partie de la mâchoire supérieure : en effet, cet os est

2. δὲ καὶ αἵδε B 2ª m.; καὶ αἵδε AB 1ª m. — 5. τῷ om. AB Mor. — 6. αὐτὰς λεπιδοειδεῖς, ἀλλ' ἤτοι B 1ª m. Mor.; αὐτὰς λεπιδ. ῥαφαὶ ἢ λεπιδοειδῆ προσκ., ἀλλ' ἤτοι A. — 11. ἄλλας τε κ. AB Mor.

11 τις σφὴν μεταξὺ τῆς κεφαλῆς καὶ τῆς ἄνω γέννος. Ὅσον μὲν οὖν
αὐτῆς ἐπὶ τὰ πέρατα τῆς σlεφανιαίας ἀναφέρεται, κοινὸν τοῦτο
πρὸς τὴν κεφαλήν ἐσlιν· ὅσον δὲ ἑκατέρωσε κατέρχεται πρὸς τὴν
ὑπερῴαν, ὁ πρὸς τὴν ἄνω γένυν ὅρος τυγχάνει τοῦ σφηνοειδοῦς
12 ὀσlοῦ· καλείσθω γὰρ οὕτω σαφοῦς διδασκαλίας ἕνεκα. Κατὰ τοῦτο
τὸ ὀσlοῦν αἱ πlερυγοειδεῖς εἰσιν ἀποφύσεις ἅμα ταῖς ἑκατέρωθεν
13 αὐτῶν κοιλότησιν. Ἡ δὲ ἑτέρα ῥαφὴ τῆς κεφαλῆς ἡ πρὸς τὴν ἄνω
γένυν αὐτὴν ὁρίζουσα, τὴν ἀρχὴν μὲν ἐκ τῶν κατὰ τοὺς κροτάφους
ἔχει κοιλοτήτων· προέρχεται δὲ ἐντεῦθεν ἐπὶ τὰς χώρας τῶν ὀφθαλ-
μῶν, καὶ διὰ μέσων αὐτῶν ἐνεχθεῖσα κατὰ τὸ μεσόφρυον ἑαυτῇ
14 συνάπlει. Καὶ δὴ καὶ τούτων οὕτως ἐχόντων, ἓξ ὀσlᾶ γίνεται τῆς
ὅλης κεφαλῆς τὰ πάντα χωρὶς τοῦ σφηνοειδοῦς, δύο μὲν κατὰ τὸ
βρέγμα, κοινὴν ἔχοντα ῥαφὴν τὴν κατὰ τὸ μῆκος εὐθεῖαν, ἄλλα δὲ
δύο τούτων κάτωθεν κατὰ ἑκάτερον οὖς, καὶ πέμπlον ἐπὶ τούτοις

placé comme un coin (*sphénoïde*) entre la tête et cette dernière partie.
11 Ainsi donc toute la partie de la suture [de celle qui sépare le sphénoïde
des autres] qui remonte vers les extrémités de la suture coronale, appar-
tient en commun à la tête; mais toute la partie qui descend des deux cô-
tés vers le palais forme la limite entre la mâchoire supérieure et l'os
sphénoïde: car nous l'appellerons ainsi pour rendre notre exposition plus
12 claire. A cet os appartiennent les prolongements en forme d'ailes (*grandes
ailes du sphénoïde*), avec leurs cavités situées des deux côtés (*surface con-
13 cave quadrilat.*). L'autre suture, qui forme la limite entre la tête et la mâ-
choire supérieure, prend son origine dans les cavités des tempes; de là
elle s'avance jusque dans les orbites, et, après les avoir traversés, elle
vient rejoindre sa congénère dans l'espace intermédiaire entre les deux
14 sourcils. Puisque ces parties sont ainsi disposées, il en résulte que, pour
toute la tête, il y a en tout six os, sans compter le sphénoïde, à savoir :
deux os du sinciput (*pariétaux*), auxquels appartient en commun la su-
ture longitudinale droite; deux autres, au-dessous de ceux-là, au niveau
de chaque oreille (*temporaux*); de plus, et en cinquième lieu, l'os situé

1. τῆς τε κεφαλῆς AB Mor. — 3. AB Mor. — 9. προσέρχεται AB
κατωτέρω B Mor. — 6. εἰσιν om. Mor.

τὸ κατὰ ἰνίον, καὶ ἕκτον τὸ κατὰ μέτωπον. Ἔστι δὲ τὰ μὲν τοῦ 15
βρέγματος ὀστᾶ τετράπλευρα, τὰ δὲ κατὰ ἑκάτερον οὖς τρίπλευρα·
τὸ δὲ πέμπτον ὀστοῦν τῆς κεφαλῆς τὸ κατὰ ἰνίον περιέχει τὸ μέγιστον ἐν ἑαυτῷ τῶν τῆς κεφαλῆς τρημάτων, τὸ κατὰ τὸν πρῶτον
σπόνδυλον. Καὶ δὴ καὶ τῶν εἰρημένων ἓξ ὀστῶν τὰ μὲν τοῦ βρέγμα- 16
τος χαυνότατά τε καὶ ἀσθενέστατα τετύχηκεν ὄντα, πυκνότατον δὲ
καὶ ἰσχυρότατον τὸ κατὰ ἰνίον, μέσον δὲ ἀμφοῖν τὸ κατὰ μέτωπον.
Ἑκάτερον δὲ τῶν λοιπῶν τῶν κατὰ τὰ ὦτα πολυειδὲς ὑπάρχει· τὸ 17
μὲν γάρ τι μέρος αὐτῶν ὀνομάζεται λιθοειδὲς, ὥσπερ οὖν καὶ ἔστιν· ὁρίζεται δὲ τοῦτο τοῖς ἐπεκτεινομένοις πέρασι τῆς λαμβδοειδοῦς ῥαφῆς (ἐν τούτῳ καὶ ἡ στυλοειδὴς ἀπόφυσίς ἐστιν, ἣν ἐγὼ βελονοειδῆ τε καὶ γραφιοειδῆ καλῶ, καὶ ἡ τὸν ἀκουστικὸν περιέχουσα πόρον)· ἕτερον δὲ μέρος ἐφεξῆς τοῦδε τὸ κατὰ τὰς ἐκφύσεις ἐστὶ, τήν τε μαστοειδῆ καλουμένην, καὶ προσέτι τὴν τοῦ ζυγώματος, καὶ τρίτον ἐπὶ τῷδε τὸ κατὰ τὸν κρόταφον.

à l'occiput (*occipital*), et en sixième l'os situé au front (*frontal*). Les os 15
du sinciput sont quadrangulaires, les os situés au niveau de chaque oreille triangulaires, et le cinquième os, celui qui est situé à l'occiput, comprend le plus grand des trous de la tête (*grand trou occipital*), celui
qui correspond à la première vertèbre. Parmi les six os dont nous venons 16
de parler, les os du sinciput sont les plus spongieux et les plus faibles, et l'os situé à l'occiput est le plus dense et le plus fort, tandis que l'os
situé au front tient le milieu entre les deux. Chacun des deux autres os 17
situés au niveau des oreilles est multiforme : car ils ont une partie qu'on appelle pierreuse (*rocher*), et qui l'est en effet (cette partie est limitée par les prolongements des extrémités de la suture lambdoïde, et elle contient l'apophyse *styloïde*, à laquelle, moi, je donne le nom de *bélonoïde* ou de *graphioïde* (voy. notes), ainsi que celle qui entoure le canal acoustique), une partie faisant suite à celle-là et qui correspond aux protubérances, à savoir, à la protubérance dite *mastoïde*, et, de plus, à la protubérance destinée à l'os zygomatique, enfin, en troisième lieu, une partie qui correspond aux tempes.

6. τε καὶ ἀσθενέστατα om. AB Mor. — 7. τό post ἰσχ. om. AB 1ª m. Mor. — 8. τῶν κάτω πολυειδές AB 1ª m. Mor.

δ'. Περὶ ζυγώματος.

1 Τοῦ κροταφίτου μυὸς ὀσ1οῦν ϖροϐέϐληται, λοξὴν κατὰ τὸ μέσον ἑαυτοῦ ἔχον ῥαφὴν, ὥσ1ε εἶναι συνεχῆ τὴν μὲν ἅπασαν ὄπισθεν μοῖραν αὐτοῦ τῷ κατὰ τὸ οὖς ὀσ1ῷ τῆς κεφαλῆς, τὴν δὲ ἔμπροσθεν τῷ κατὰ τὸν μικρὸν κανθὸν ϖέρατι τῆς ὀφρύος· ὀνομάζεται δὲ ὅλον τὸ ὀσ1οῦν τοῦτο ζύγωμα.

ε'. Περὶ τῶν τῆς ἄνω γέννος ὀσ1ῶν.

1 Τρία κατὰ ἑκάτερον μέρος ἐξ ἀρισ1ερῶν τε καὶ δεξιῶν ὀσ1ᾶ τῆς
2 ἄνω γέννός ἐσ1ιν, οἷς συντέτακται τῇ κεφαλῇ. Μέγισ1ον μὲν αὐτῶν ἐσ1ι τὸ κατὰ τὸ ζύγωμα· καὶ γὰρ καὶ τοῦ κροτάφου τι συνεπιλαμϐάνει, καὶ τῆς ὀφρύος, καὶ τῆς χώρας τῶν ὀφθαλμῶν, καὶ τὸν μικρὸν κανθὸν ὅλον ἐν ἑαυτῷ ϖεριλαμϐάνει, μέχρι τοῦ καλουμένου μήλου καθῆκον· ἑξῆς δὲ αὐτῷ καὶ θέσει καὶ μεγέθει τὸ κατὰ τὸν

4. DE L'OS ZYGOMATIQUE.

1 Au-devant du muscle temporal se trouve placé un os, qui présente vers son milieu une suture oblique, de telle manière que toute la partie postérieure (*apoph. zygomatique*) est continue avec l'os de la tête (*temporal*) situé au niveau de l'oreille, et sa partie antérieure (*os malaire*), avec l'extrémité du sourcil située au niveau du petit angle de l'œil (*c'est-à-dire avec l'os malaire proprement dit*); on donne à l'ensemble de tout cet os le nom d'os zygomatique (*arcade zygomatique*).

5. DES OS DE LA MÂCHOIRE SUPÉRIEURE.

1 De chaque côté, à gauche et à droite, il y a trois os de la mâchoire su-
2 périeure, à l'aide desquels elle est réunie à la tête. Le plus grand de ces os est l'os (*malaire proprement dit*) situé près de l'os zygomatique : en effet, cet os envahit une partie des tempes, une partie du sourcil et une partie de l'orbite, et il comprend le petit angle de l'œil tout entier, puisqu'il descend jusqu'à la partie qu'on appelle *pommette*; après cet os vient, aussi bien par rapport à sa position que par rapport à son volume, celui

Ch. 4, l. 1. ϖεριϐ. AB Mor. — 2. ἔχον Gal³.; ϖεριέχον AB Gal. Mor.

ὀφθαλμὸν, ἐν ᾧ περιέχεται τὰ πρὸς τὴν ἄνω γένυν ἀφικνούμενα
νεῦρα· σμικρότατον δὲ ἁπάντων ὑπάρχει τὸ περὶ τὸν μέγαν καν-
θόν. Ὑπὸ δὲ τούτοις ἅπασι κατὰ ἑκάτερον μέρος ἓν ὀστοῦν ἐστι τοῖς 3
εἰρημένοις τρισὶν ὑποτεταγμένον, ἀξιόλογον τῷ μεγέθει· καὶ γὰρ
καὶ τὸ μῆλον ὀνομαζόμενον τούτου μόριόν ἐστι, καὶ τὰ τῶν ὀδόν-
των φατνία πλὴν τῶν τομέων. Τούτοις δὲ τοῖς ὀστοῖς μεγίστοις 4
οὖσιν, ὡς εἴρηται, δύο ἕτερα παράκειται σμικρὰ, κατὰ ἃ καὶ συν-
τέτρηται πρὸς ὑπερῴαν ἡ ῥίς. Καὶ μὴν καὶ τὰ τῆς ῥινὸς ὀστᾶ δύο 5
ἐστίν· τὸ κάτω δὲ τῶν ὀστῶν τούτων πέρας ἐπίφυσιν ἔχει χονδρω-
δῶν σωμάτων λεπτῶν, ἃ καλεῖται πτερύγια. Λοιπὸν δέ ἐστιν ἓν 6
ὀστοῦν ἐπὶ τῷ πέρατι τῆς γένυος, ἐν ᾧ τῶν τομέων ὀδόντων αἱ ῥίζαι
τε καὶ φατνία περιέχονται· φαίνεται δὲ ὡς τὰ πολλὰ μὲν ἁπλοῦν
τοῦτο διὰ ἀκρίβειαν ἁρμονίας τῶν συντιθέντων αὐτό· ποτὲ μὴν καὶ
σαφῶς ἐν τοῖς ἐπὶ πλέον ἐξειργασμένοις σκελετοῖς ἡ ῥαφὴ φαί-

qui correspond à l'œil; il contient les nerfs qui se rendent à la mâchoire
supérieure (*partie supér. et orbit. du maxill. supér. proprement dit*); le plus
petit de tous est l'os situé dans la région du grand angle de l'œil (*os
unguis*). Sous toutes ces parties, se trouve, de chaque côté, un os placé 3
au-dessous des trois que nous venons de décrire, et qui présente un vo-
lume considérable (*maxillaire supér. proprement dit*) : car ce qu'on appelle
pommette forme une partie de cet os, ainsi que les alvéoles des dents, à
l'exception de celles des dents incisives. A côté de ces os, qui sont très- 4
grands, comme nous venons de le dire, se trouvent deux autres petits,
qui contiennent le trou servant de communication entre le palais et le
nez (*os palatins*). De plus, il y a les os du nez, au nombre de deux, et 5
l'extrémité inférieure de ces os présente une épiphyse composée de corps
cartilagineux minces qu'on appelle *ailes*. Il reste encore un os, situé à 6
l'extrémité de la mâchoire (*intermaxillaire*), et qui contient les racines
et les alvéoles des dents incisives; le plus souvent, cet os paraît simple,
à cause de la netteté de la réunion des parties qui le composent; quel-
quefois, cependant, dans les squelettes préparés avec beaucoup de soin,

14. ἐξηρασμένοις Gal.

νεται κατὰ εὐθεῖαν τεταμένη τῇ διὰ ὅλου τοῦ οὐρανίσκου Φερομένη.

ϛ'. Περὶ ὀδόντων.

1 Ὀδόντες ἑκκαίδεκα ὑπάρχουσι κατὰ ἑκατέραν τὴν γένυν· ἔμπροσθεν μὲν τέτlαρες οἱ τομεῖς ὀνομαζόμενοι, μονόῤῥιζοι πάντες· ἑξῆς δὲ αὐτῶν ἑκατέρωθέν εἰσιν οἱ κυνόδοντες, μονόῤῥιζοι καὶ οὗτοι· εἶτα οἱ γόμφιοι τούτων ἑξῆς ἑκατέρωθεν πέντε, τρίῤῥιζοι μὲν οἱ ἐν τῇ ἄνω γένυϊ, δυοῖν δὲ ῥιζῶν οἱ ἐν τῇ κάτω, πλὴν πολλάκις εὑρίσκονται τετράῤῥιζοι μέν τινες τῶν ἄνω, τρίῤῥιζοι δὲ τῶν κάτω, καὶ μάλισlα δὲ οἱ πρῶτοι πάντων ἔσωθεν δύο, σπανιώτερον δὲ ὁ τρί-
2 τος. Τισὶ δὲ οὐ πέντε κατὰ ἑκάτερον, ἀλλὰ τέτlαρες, ἢ ἓξ ἔφυσαν
3 οἱ γόμφιοι. Καλοῦνται δὲ οὐχ οὕτω μόνον, ἀλλὰ καὶ μύλαι θηλυ-
4 κῶς. Ἐγγεγόμφωνται δὲ ἅπαντες ἐν τοῖς τῶν Φατνίων βοθρίοις·

on voit manifestement la suture s'étendant dans la même ligne droite que celle qui traverse tout le palais.

6. DES DENTS.

1 Dans chaque mâchoire il y a seize dents, quatre à la partie antérieure, qu'on nomme incisives, et qui n'ont toutes qu'une seule racine ; après celles-ci on voit de chaque côté les *dents canines*, qui n'ont aussi qu'une seule racine ; après les canines viennent les *molaires*, cinq de chaque côté, celles de la mâchoire supérieure pourvues de trois racines, et celles de la mâchoire inférieure de deux ; cependant on trouve souvent, parmi les molaires de la mâchoire supérieure, quelques-unes qui présentent quatre racines, et, parmi celles de la mâchoire inférieure, quelques-unes qui en ont trois, cas qui se présente surtout pour les deux premières de toutes, à compter de l'intérieur, et plus rarement pour la troisième.
2 Chez certains individus, il n'y eut pas cinq, mais quatre ou six molaires,
3 qui poussèrent de chaque côté. On ne donne pas seulement le nom d'*enclavées* aux dents molaires, mais aussi celui de *meules*, nom qui est du
4 genre féminin. Toutes les dents sont implantées dans les fossettes des

Ch. 6, l. 7. πλὴν οἷα πολλ. AB Mor. — 10. ἓξ] ε' A.

φατνία μὲν γὰρ αὐτὰ τὰ περιέχοντα αὐτοὺς ὀσΊᾶ, βοθρία δὲ αἱ
κοιλότητες αἷς ἐμπεπήγασιν, ὀνομάζονται. Μετειλήφασι δὲ τῶν ἀπὸ 5
ἐγκεφάλου νεύρων τῶν μαλακῶν ὀδόντες μόνοι τῶν ἄλλων ὀσΊῶν,
ὅθεν περ καὶ σαφῶς αἰσθάνονται μόνοι.

ζ'. Περὶ τῆς κάτω γέννος.

Οὐδὲ τὸ τῆς κάτω γέννος ὀσΊοῦν ἁπλοῦν ἐσΊιν, ὡς ἄν τῳ δόξειεν· 1
ἑψόμενον γὰρ καὶ τοῦτο διαλύεται κατὰ ἄκρον τὸ γένειον, ὡς φαί-
νεσθαι σαφῶς ὅτι καὶ συνεπεφύκει. Τὸ δὲ ἀνατεινόμενον ὡς ἐπὶ 2
τὴν κεφαλὴν αὐτοῦ μέρος εἰς δύο τελευτᾷ πέρατα, καὶ τούτων τῶν πεfράτων τῷ μὲν ὀξεῖ τὸν ἐκ τοῦ κροταφίτου μυὸς καθήκοντα δέχεται τένοντα, τῷ δὲ ἑτέρῳ διαρθροῦται πρὸς τὸ τῆς κεφαλῆς ὀσΊοῦν ὑπὸ τὴν ἀπόφυσιν τὴν μασΊοειδῆ, κονδυλώδει τινὶ περιφερείᾳ κατὰ τῆς ἐνταῦθα γληνοειδοῦς κοιλότητος ἐπιβεβηκός.

rateliers : car on appelle [en grec] *rateliers* les os eux-mêmes qui entou-
rent les dents, et *fossettes* les cavités dans lesquelles elles sont fixées.
Seules d'entre tous les autres os, les dents sont pourvues de nerfs mous 5
venant du cerveau : raison pour laquelle elles présentent seules une sensibilité manifeste.

7. DE LA MÂCHOIRE INFÉRIEURE.

L'os de la mâchoire inférieure n'est pas simple non plus, comme on 1
pourrait le croire : car, si on le fait bouillir, il se dissout aussi à la pointe
du menton, d'où il ressort évidemment qu'il y a eu coalescence. La par- 2
tie de cet os qui remonte vers la tête se termine par deux extrémités, et, de ces deux extrémités, l'une qui est aiguë (*apoph. coronoïde*), lui sert à recevoir le tendon qui descend du muscle temporal; l'autre (*condyle*) s'articule avec l'os de la tête au-dessous de l'apophyse mastoïde, en pénétrant, à l'aide d'une partie arrondie en forme de bosse (*tête du condyle*), la cavité évasée qu'on rencontre dans cet endroit (*cavité glénoïde*).

η'. Περὶ τοῦ λαμβδοειδοῦς ὀστέου.

1 Τὸ λαμβδοειδὲς ὀστοῦν τὴν ἰδέαν ἐστὶ τοιοῦτον· τὸ μὲν μέσον αὐτοῦ μέρος, ὃ κατὰ τὴν οἷον διχοτομίαν τοῦ τραχήλου ἐστὶ καὶ παντὸς τοῦ σώματος, ὀστοῦν ὄψει βραχὺ μὲν καὶ τῷ μήκει, τὸ δὲ οὖν πλάτος τε καὶ βάθος οὕτως ἔχον μικρὸν, ὡς καὶ μερῶν* τοῦ κάτω πέρατος αὐτοῦ δύο ἀποφύονται πλευραὶ πρὸς τὰς ὑψηλὰς γωνίας,
2 ὡς ἔφην ἄρτι, τοῦ θυρεοειδοῦς ἐκτεινόμεναι λοξαί. Τὸ δὲ ἄνω πέρας τοῦ λαμβδοειδοῦς ὀστοῦ τοῦδε δύο ἄλλας ἔχει πλευρὰς ἀποφυομένας παραλλήλους ταῖς κάτω, λεπτὰς καὶ στενὰς καὶ περιφερεῖς, ὡς βε-
3 λόνης παχείας, ἢ γραφίου τὸ πέρας. Ἡ δὲ οὐσία τῶν πλευρῶν τούτων, λοξῶν καὶ αὐτῶν [καὶ] ἀτρέμα εἰς τὸ κάτω νευουσῶν, ἀκριβὴς χόνδρος ἐστὶ, καί τις στρογγύλος οἷά περ τὰ νεῦρα, σύνδεσμος ἀπὸ τοῦ πέρατος ἑκατέρας αὐτῶν ἐκφυόμενος ἐπὶ τὰς γραφιοειδεῖς τῆς

8. DE L'OS LAMBDOÏDE.

1 L'os lambdoïde (*os hyoïde*) a la forme suivante : vous verrez que sa partie moyenne, située dans la région qui divise, pour ainsi dire, le cou et tout le corps en deux parties égales (*partie droite et partie gauche*), est un os qui paraît court, il est vrai, mais qui est si petit, eu égard à sa largeur et à son épaisseur, que des parties [internes] de son extrémité inférieure proviennent deux côtes (*grandes cornes*), lesquelles, ainsi que je le disais tout à l'heure (XXIV, 9, p. 313, l. 8), s'étendent obliquement vers les angles
2 supérieurs du cartilage thyréoïde. L'extrémité supérieure de cet os lambdoïde présente deux autres côtes (*petites cornes*), qui poussent dans une direction parallèle à celle des côtes inférieures, et qui sont minces, étroites et arrondies, comme l'extrémité d'une aiguille épaisse ou d'un
3 stylet. La substance de ces côtes, qui sont obliques aussi et qui penchent légèrement vers le bas, est un cartilage parfait; et un ligament rond, semblable aux nerfs; ligament qui provient de l'extrémité de chacune de ces deux côtes (*ligament stylo-hyoïdien*), s'étend vers les apophyses en forme de stylet appartenant à la tête, apophyses qui présentent elles-

Ch. 8, l. 1. λαβδοειδές A, et sic semper. — Ib. μέν] δέ AB. — 10. [καί] conj.; om. AB Mor. — 11. χόνδρος] *membrana* Ras.

κεφαλῆς ἀποφύσεις ἐκτείνεται, πέρας καὶ ταύτας ἐχούσας ὁμοιότατον αὐταῖς ταῖσδε ταῖς ὑψηλαῖς πλευραῖς τοῦ λαμϐδοειδοῦς· τῇ τε γὰρ οὐσίᾳ χόνδροι εἰσὶ, καὶ τὸ σχῆμα ταὐτὸν ἁπάσαις ἐσΊίν· τῷ μήκει δὲ ἀπολείπονται τῶν πλευρῶν τοῦ λαμϐδοειδοῦς αἱ γραφιοειδεῖς ἐκφύσεις.

θ'. Περὶ ῥάχεως.

Τῆς ὅλης ῥάχεως οἱ σπόνδυλοι τέτΊαρες ἐπὶ τοῖς εἴκοσιν ὑπάρ- 1
χουσιν· παρὰ φύσιν γὰρ ἤδη τὸ πλέον καὶ τοὔλατΊον ὥσπερ καὶ αἱ
φοξαὶ κεφαλαί. Διαιρεῖται δὲ ἡ πᾶσα σύνταξις αὐτῶν εἰς τράχηλόν 2
τε καὶ νῶτον καὶ ὀσφὺν καὶ ἱεροῦν ὀσΊοῦν. Ὁ μὲν δὴ τράχηλος ἔζευ- 3
κται τῇ κεφαλῇ· ὁ δὲ νῶτος ἐφεξῆς τούτῳ τέτακται, τηλικοῦτος
ὑπάρχων τὸ μῆκος, ἡλίκος περ ἂν ᾖ καὶ ὁ θώραξ· ὅσον δὲ ὑπό-
λοιπον κάτω, τοῦτο ὀσφὺς ὀνομάζεται, κατὰ δὲ τὸ πέρας αὐτοῦ
τὸ καλούμενον ἱερὸν ὀσΊοῦν ἔχει· ἔνιοι δὲ πλατὺ προσαγορεύουσιν
αὐτό. Σπόνδυλοι δὲ κατὰ μὲν τράχηλον ἢ αὐχένα· καλεῖται γὰρ καὶ 4

mêmes une extrémité très-semblable à ces côtes supérieures mêmes de l'os lambdoïde : en effet, sous le rapport de la substance, ce sont des cartilages, tandis que la forme est la même pour toutes ; seulement, les excroissances en forme de stylet sont inférieures en longueur aux côtes de l'os lambdoïde.

9. DE L'ÉPINE DU DOS.

Les vertèbres de l'épine du dos sont, en tout, au nombre de vingt- 1
quatre, car un nombre plus grand ou plus petit est déjà un phénomène
contre nature, de même que les têtes pointues. Tout l'ensemble des ver- 2
tèbres se divise en *cou, dos, lombes* et *sacrum*. Le cou donc est réuni à 3
la tête; le dos est placé après celui-ci, et il a la même longueur que la
poitrine; tout ce qui reste en bas est appelé *lombes*, et cette région porte,
à son extrémité, l'os dit *sacrum*, que quelques-uns nomment aussi *os large*.
Les vertèbres du cou ou de la nuque (car on donne aussi ce nom-là à 4

Ch. 9, l. 7. πλέον τε καί AB Mor. — 12. δέ om. AB Mor. — 13. ἔχων AB Mor.

οὕτως· ἑπτὰ τὸν ἀριθμὸν ὑπάρχουσι, κατὰ δὲ τὸν νῶτον δώδεκα,
5 κατὰ δὲ τὴν ὀσφὺν πέντε. Τῶν οὖν κατὰ τὸν αὐχένα σπονδύλων
οἱ πρῶτοι μὲν δύο διήρθρωνται πάντῃ, τῶν δὲ ἄλλων τῶν πέντε
τὸ πρόσω μέρος ἰσχυρὸς συμφύει δεσμός· οὐ γὰρ δὴ διὰ χόνδρου
γε συμφύονται, καθάπερ οἴονταί τινες, ἀλλὰ ὁ τὰς τοῦ νωτιαίου
δύο μήνιγγας ἔξωθεν περιλαμβάνων χιτὼν εἰς τὴν μεταξὺ χώραν
6 αὐτῶν παρεμπίπτων, κοινὸς ἀμφοτέρων γίνεται δεσμός. Οὕτω δὲ
καὶ κατὰ πάντας ἔχει τοὺς σπονδύλους πλὴν τῶν πρώτων δυοῖν,
7 ὡς εἴρηται. Διττῶν δὲ οὐσῶν κινήσεων τῇ κεφαλῇ, τῆς μὲν ἐπι-
νευόντων τε καὶ ἀνανευόντων, τῆς δὲ ἐν τῷ περιάγειν ἐπὶ ἑκάτερα,
τὴν μὲν προτέραν ἡ τοῦ δευτέρου σπονδύλου πυρηνοειδὴς ἀπόφυσις
ἐργάζεται μάλιστα, τὴν δὲ ἑτέραν ἡ τοῦ πρώτου πρὸς τὰ κορωνὰ
τῆς κεφαλῆς διάρθρωσις, ἀλλὰ αὗται μὲν διὰ τῶν πλαγίων γίνον-
ται μερῶν τοῦ τε πρώτου σπονδύλου καὶ αὐτῆς τῆς κεφαλῆς· ἡ δὲ

la région en question) sont au nombre de sept, celles du dos au nombre
5 de douze, et celles des lombes au nombre de cinq. Les deux premières
vertèbres du cou présentent des articulations mobiles en tous sens, tan-
dis que les cinq autres sont rattachées entre elles, à leur surface anté-
rieure, par un lien vigoureux (*ligaments vertébraux communs antér.*) : car
ces vertèbres ne se rattachent pas les unes aux autres par du cartilage,
comme quelques-uns le croient, mais la tunique qui entoure, à l'extérieur,
les deux méninges de la moelle épinière, s'introduit dans les interstices
des vertèbres, et devient ainsi un lien commun (*ligam. vertébral postér.?
et lame externe de la dure-mère*) pour chaque paire de vertèbres qui se
6 suivent. Il en est de même pour toutes les vertèbres, excepté pour les
7 deux premières, ainsi que nous venons de le dire. Il y a deux mou-
vements pour la tête, dont l'un consiste à l'abaisser et à la relever, et
l'autre à la tourner des deux côtés; le premier de ces deux mouvements
est principalement opéré par l'apophyse en forme de bouton de sonde
de la seconde vertèbre, tandis que l'autre l'est par l'articulation mobile
qui réunit la première vertèbre aux protubérances de la tête (*condyles
de l'occiput*); mais ces derniers mouvements se font par les parties laté-

3. ἤρθρωνται AB Mor.

πυρηνοειδὴς ἀπόφυσις ἀνάντης μέν ἐστιν, ἀπὸ δὲ τῶν προσθίων
ἀρχομένη μερῶν τοῦ δευτέρου σπονδύλου, συνδεῖται τῇ κεφαλῇ διά
τινος εὐρώστου τε ἅμα καὶ στρογγύλου δεσμοῦ. Καὶ δὴ καὶ χώραν 8
ἐπιτήδειον ὁ πρῶτος σπόνδυλος αὐτῇ παρέχει, κατὰ ἧς ἀσφαλῶς
στηρίζεται, καί τις ἕτερος ἐγκάρσιος δεσμὸς ἐπὶ αὐτῷ τῷ πρώτῳ
σπονδύλῳ γεννώμενος ἔσωθεν ἐπιβέβληται κατὰ αὐτῆς. Ἔνιοι μὲν 9
ταύτην ὀδοντοειδῆ καλοῦσιν ἀπόφυσιν· Ἱπποκράτης δὲ καὶ ὅλον
τὸν σπόνδυλον ὀδόντα ποτὲ προσηγόρευσεν. Ἔχει δὲ καὶ ἄλλας ὁ 10
πρῶτος σπόνδυλος δύο κοιλότητας γληνοειδεῖς ἐν τοῖς κάτω μέρεσιν
αὐτοῦ, παραπλησίας ταῖς ἄνωθεν· εἰσὶ δὲ εἰκότως αἱ μὲν ἄνωθεν
μείζους, ὡς ἂν τῇ κεφαλῇ διαρθρούμεναι· μικρότεραι δὲ αἱ κάτω-
θεν, αἷς περιβέβληκε τὸν δεύτερον σπόνδυλον. Ἔστι δὲ ὁ μὲν πρῶ- 11
τος εὐρύτατός τε ἅμα καὶ ἰσχνότατος, ὁ δὲ ἐφεξῆς αὐτοῦ στενώτε-

rales de la première vertèbre et de la tête elle-même, tandis que l'apo-
physe en forme de bouton de sonde est dirigée en haut; elle commence
à la partie antérieure de la seconde vertèbre, et se rattache à la tête par
l'intermédiaire d'un lien à la fois vigoureux et rond (*ligam. occipito-odon-
toïdien*). De plus, la première vertèbre lui fournit une place convenable 8
(*arc antérieur*), sur laquelle elle s'appuie avec sûreté, et, en outre,
un autre lien transversal, qui se forme sur la face intérieure de la pre-
mière vertèbre elle-même, est jeté sur l'apophyse dont il s'agit (*liga-
ment semi-lunaire*). Quelques-uns appellent cette apophyse *dentiforme* 9
(*apoph. odontoïde*), et Hippocrate (*Épid.* II, II, 24; t. V, p. 96) a même
quelquefois donné le nom de *dent* à toute cette vertèbre. La première ver- 10
tèbre a encore, à sa partie inférieure, deux autres cavités évasées, sembla-
bles à celles de la partie supérieure (*surface des apoph. articul. supér. et in-
fér.*), mais les cavités supérieures sont, non sans raison, les plus grandes,
parce qu'elles s'articulent avec la tête, tandis que les cavités inférieures,
à l'aide desquelles la première vertèbre entoure la seconde, sont plus
petites. La première vertèbre (*atlas*) est à la fois la plus ample et la plus 11
mince, celle qui vient après (*axis*) est plus étroite, il est vrai, mais aussi

3. συνδέσμου Gal. — 6. ταύτης AB Mor. — Ib. μέν om. AB Mor. — 8. τὸν δεύτερον σπόνδυλον Gal. — 9. κοιλότητας ἐπιπολαίας γληνοειδεῖς Gal. — 11. δὲ αἱ] δύο Mor. — 13. τε ἅμα καὶ ἰσχνότατος om. AB Mor.

ρος μὲν, ἀλλὰ εὐρωσ7ότερος· οὕτω δὲ καὶ οἱ ἄλλοι πάντες μετὰ αὐτούς· ἐπὶ ὅσον γὰρ ὁ νωτιαῖος εἰς τὰς τῶν νεύρων ἀποφύσεις καταναλισκόμενος ἰσχνότερος ἑαυτοῦ γίνεται, ἐπὶ τοσοῦτον καὶ αἱ τῶν κατωτέρω σπονδύλων εὐρύτητες ἐλατ7οῦνται· ἑκάσ7η γὰρ ἴση τῷ πάχει τοῦ περιεχομένου κατὰ ἑαυτὴν ὑπάρχει νωτιαίου.
12 Τοῦτο δὲ οὖν ἅπασι κοινὸν τοῖς σπονδύλοις ἐσ7ὶν, ὥσπερ γε καὶ αἱ εἰς τὸ πλάγιον ἀποφύσεις, ἔτι τε πρὸς ταύταις αἱ ἀνάντεις τε καὶ κατάντεις, κατὰ ἃς πρὸς ἀλλήλους διαρθροῦνται.

ι'. Περὶ τοῦ ἱεροῦ ὀσ7οῦ.

1 Καὶ τοῦτο τοῖς σπονδύλοις ἀνάλογον ἔχει κατὰ τὴν πρὸς τὸν ὑπερκείμενον διάρθρωσιν· ὑποδέχεται γὰρ αὐτοῦ τὰς κατάντεις
2 ἀποφύσεις ὡς ἐκεῖνος τὰς τοῦ πρὸ αὐτοῦ. Καὶ μήν γε καὶ τὴν ἄκανθαν
3 ὁμοίαν ἔχει τοῖς ἄλλοις. Αἱ δὲ εἰς τὸ πλάγιον ἀποφύσεις μεγά-

plus forte, et il en est de même pour toutes les autres vertèbres suivantes : en effet, à mesure que la moelle épinière, s'épuisant en ramifications nerveuses, devient plus effilée qu'elle ne l'était auparavant, les cavités des vertèbres occupant une région plus basse diminuent de volume au même degré, puisque chacune de ces cavités est égale, pour
12 l'épaisseur, à celle de la moelle épinière qu'elle contient. Ceci est une disposition commune à toutes les vertèbres, de même que les apophyses transversales, et, de plus, outre celles-là, les apophyses dirigées en haut et en bas, à l'aide desquelles les vertèbres forment les unes avec les autres des articulations mobiles.

10. DU SACRUM.

1 Cet os présente aussi de l'analogie avec les vertèbres eu égard à son articulation mobile avec la vertèbre superposée : car il reçoit ses apophyses descendantes, comme cette vertèbre elle-même reçoit celles de la pré-
2 cédente. De plus, le sacrum a une épine semblable à celle des autres
3 vertèbres. Mais les apophyses transversales de cet os sont grandes et

5-6. Τοῦτο μὲν οὖν Gal. — Ch. 10, B 2[a] m. Gal. — Ib. μήν ex em.; μέν l. 11. τὰς τοῦ Gal[s].; τοῦ AB 1[a] m.; τάς AB Gal. Mor.

λαι τέ εἰσι καὶ ϖλατεῖαι, κἀκ τῶν ἐκτὸς μερῶν ἔχουσί τινα κοιλό-
τητα γληνοειδῆ, κατὰ ἧς ἐπιβέβηκε τὰ τῶν λαγόνων ὀστᾶ. Σύγκειται 4
δὲ ἐκ τριῶν μορίων, ὥσπερ τινῶν ἰδίων σπονδύλων, οἷς τέταρτον
ὑπόκειται κατὰ τὸ ϖέρας ὀστοῦν ἕτερον, ὃ καλοῦσι κόκκυγα· δια-
λυθέντων δὲ ὑπὸ ἑψήσεως ἁπάντων, σύνταξις ὁμοία φαίνεται ταῖς
κατὰ τοὺς σπονδύλους.

ια΄. Περὶ τοῦ κόκκυγος.

Ἐπὶ ϖέρατι τοῦ ϖλατέος ἕτερον ὀστοῦν ἐστι τὸ καλούμενον 1
κόκκυξ, ἐκ τριῶν καὶ τοῦτο συγκείμενον ἰδίων μορίων, χονδρωδεστέρων ἢ κατὰ τὸ ϖλατὺ, καὶ μάλιστα τὸ κατὰ τὸ ϖέρας ὑποκείμενον.

ιβ΄. Περὶ τῶν τοῦ θώρακος ὀστῶν.

Στέρνον καὶ ϖλευραὶ καὶ τῆς ῥάχεως οἱ κατὰ τὸν νῶτον σπόνδυλοι 1

larges, et elles présentent, à leur face extérieure, une cavité évasée qui
est surmontée par les os des iles. Le sacrum est composé de trois parties, 4
qui forment, pour ainsi dire, ses vertèbres propres, et sous lesquelles se
trouve placé en quatrième lieu, à l'extrémité, un autre os qu'on appelle
coccyx; en effet, quand ses parties sont désunies à l'aide de l'ébullition,
on voit apparaître une coaptation semblable à celle des vertèbres.

11. DU COCCYX.

A l'extrémité de l'os large, il y a un autre os appelé *coccyx,* qui se 1
compose également de trois parties distinctes, lesquelles se rapprochent plus des cartilages que celles de l'os large, mais surtout la dernière partie, placée au-dessous après les autres.

12. DES OS DE LA POITRINE.

Le sternum, les côtes et les vertèbres dorsales de l'épine sont la char- 1

2. λαγόνων] τραχήλων Mor. — 4. ὑπόκειται Gal[s].; ἐπίκ. AB Gal. Mor. — Ch. 11, l. 9. μάλ. τοῦ κατά AB Mor. Gal[s]. — 9-10. ὑποκειμένου Gal[s].; ἐπικειμένου AB Mor. — Ch. 12, l. 11. τῆς om. AB Mor.

τὰ τοῦ θώρακός ἐστιν ὀστᾶ, δώδεκα μὲν ἑκατέρωθεν αἱ πλευραὶ,
καθάπερ καὶ οἱ σπόνδυλοι· διήρθρωνται γὰρ ἑκάστη πρὸς ἕνα· τὰ δὲ
τοῦ στέρνου συνήρθρωται μὲν ἀλλήλοις, ἑπτὰ δέ ἐστι τὸν ἀριθμὸν
ὅσαι περ καὶ αἱ πρὸς αὐτὸ διαρθρούμεναι πλευραί· τῷ κάτω δὲ αὐ-
2 τοῦ πέρατι τρίγωνος ἐπιπέφυκε χόνδρος. Τὸ δὲ σύμπαν σχῆμα τοῦ
μὲν στέρνου παραπλήσιον ὑπάρχει ξίφει· διὸ καὶ ξιφοειδὲς ἔνιοι
προσαγορεύουσιν αὐτό· τινὲς δὲ οὐχ ὅλον, ἀλλὰ τὸν ἐπὶ τῷ πέρατι
3 μόνον αὐτοῦ χόνδρον οὕτως ὀνομάζουσιν. Τῶν δὲ πλευρῶν οὐχ ἓν,
οὐδὲ ἁπλοῦν τὸ σχῆμα· μετὰ γὰρ τὴν πρὸς τοὺς σπονδύλους διάρ-
θρωσιν ἐπὶ τὰ πρόσω τε ἅμα καὶ κάτω φερόμεναι καὶ μέχρι πολλοῦ
τοῦτο πάσχουσαι, πάλιν ἀνανεύουσιν ἄνω πρὸς τὸ στέρνον, ἀθρόαν
τινὰ ποιούμεναι καμπὴν, ὅθεν περ ἤδη τὸ πρὸς τὸ στέρνον αὐτῶν
ἅπαν οὐκέτι ὀστοῦν ἐστιν, ἀλλὰ χόνδρος· αἱ δὲ ὑπόλοιποι πέντε κα-
λοῦνται μὲν νόθαι, συμφύονται δὲ τῷ τε διαφράγματι καὶ ἀλλήλαις,
εἰς ἀκριβῆ τελευτῶσαι χόνδρον· ἡ δὲ ὑστάτη μόνη κεχώρισται κατὰ

pente osseuse du thorax; les côtes de chaque côté sont au nombre de
douze, comme le sont également les vertèbres; car chaque côte est réunie
par une articulation mobile à une vertèbre; les os du sternum sont réunis
entre eux par des articulations immobiles, et ils sont au nombre de sept,
nombre qui est le même que celui des côtes qui s'unissent au sternum
par une articulation mobile; sur l'extrémité inférieure du sternum, un
2 cartilage triangulaire (*cartilage xiphoïde*) est implanté. Pour l'ensemble
de sa forme, le sternum ressemble à une épée; c'est aussi pour cette rai-
son que quelques-uns le nomment os *xiphoïde;* d'autres n'appliquent pas
cette épithète à tout l'os, mais seulement au cartilage situé à son extré-
3 mité. La forme des côtes n'est ni une, ni simple : en effet, après leur arti-
culation mobile avec les vertèbres, elles se portent à la fois en avant et
en bas, et persistent pendant longtemps dans cette direction; puis elles
se dirigent de nouveau en haut vers le sternum, en faisant un retour su-
bit, raison pour laquelle toute leur partie rapprochée du sternum n'est
déjà plus osseuse, mais cartilagineuse; les cinq côtes qui restent après
celles-là portent le nom de *fausses côtes;* elles se rattachent au diaphragme
et entre elles, et se terminent en un cartilage complet; il n'y a que la
dernière côte, placée à leur extrémité, qui soit détachée et véritablement

τὸ πέρας αὐτῶν, καὶ ὄντως ἐστὶ νόθη. Τὸ μῆκος δὲ οὔτε ταύταις, 4
οὔτε ταῖς ἄλλαις πλευραῖς ἴσον ἁπάσαις ἐστὶν, ἀλλὰ αἱ μὲν ἄνωθέν
τε καὶ κάτωθεν βραχύτεραι τυγχάνουσιν οὖσαι, μακρότεραι δὲ αἱ
μέσαι.

ιγ'. Περὶ ὠμοπλατῶν.

Αἱ ὠμοπλάται κεῖνται μὲν ὄπισθεν τοῦ θώρακος, ἐμφύονται δὲ 1
διὰ μυῶν τῷ τε κατὰ ἰνίον ὀστῷ τῆς κεφαλῆς, καὶ τῇ τῆς ῥάχεως
ἀκάνθῃ, καὶ ταῖς τοῦ θώρακος πλευραῖς, καὶ τῷ προτεταγμένῳ τοῦ
λάρυγγος ὀστῷ. Ἀπὸ δὲ τῆς βάσεως ἀρχομένη τις ῥάχις ταπεινὴ 2
κατὰ μικρὸν προσαυξάνεται μέχρι τῶν κατὰ τὸ ἀκρώμιον ἀνιοῦσα
χωρίων· συναρθροῦται δὲ αὐτῇ κατὰ τοῦτο ἡ κλείς. Καί τινες μὲν 3
τῶν ἀνατομικῶν αὐτὴν τὴν σύνταξιν αὐτῶν ὀνομάζουσιν ἀκρώμιον·
ἔνιοι δὲ τρίτον ἕτερον παρὰ ἀμφότερα τὰ συζευγνύμενά φασιν
ὀστοῦν ὑπάρχειν ἐν ἀνθρώποις μόνον εὑρισκόμενον, ὃ κατακλεῖδά

fausse. Ni ces côtes-là ni les autres n'ont toutes la même longueur; mais 4
les côtes supérieures et inférieures sont les plus courtes, et celles du mi-
lieu les plus longues.

13. DES OMOPLATES.

Les omoplates sont placées derrière la poitrine, et elles se rattachent, 1
par l'intermédiaire de muscles, à l'os occipital de la tête, à l'épine du
dos, aux côtes et à l'os (*hyoïde*) situé au-dessus du larynx. Commençant à 2
la base de l'omoplate et augmentant peu à peu de volume, une épine
surbaissée remonte jusqu'à la région de l'acromion (*sommet de l'épaule*),
et, dans cet endroit, la clavicule s'y rattache par une articulation immo-
bile. Quelques anatomistes donnent à la réunion même de ces os le nom 3
d'acromion; d'autres prétendent qu'il existe un troisième os, différent
des deux qui se réunissent, os qui, selon eux, se rencontrerait unique-
ment chez l'homme, et ils donnent à cet os le nom de *κατακλείς* ou d'a-

Ch. 13, l. 5. συμφύονται Gal. — 8. τις ῥάχις Gal^s.; τῆς ῥάχις A; τῆς ῥάχεως B Gal. Mor. — 11. ἀκρώμιον ἁρμονίαν Gal.

4 τε καὶ ἀκρώμιον προσαγορεύουσιν. Ὑπὸ δὲ τοῦτο τὸ χωρίον ἀπόφυσίς τις ὑπόκειται τῆς ὠμοπλάτης, ὀνομάζεται δὲ αὐχὴν ὠμοπλάτης, ᾧ κατὰ πέρας εἰς κοτύλην τινὰ τελευτῶντι τοῦ βραχίονος ἡ
5 κεφαλὴ διαρθροῦται. Ἔστι δὲ καὶ ἄλλη τις ἔσωθεν ἀπόφυσις ὀξεῖα καὶ σμικρά· καλοῦσι δὲ αὐτὴν οἱ μὲν ἀγκυροειδῆ, οἱ δὲ κορακοειδῆ, διότι τὸ πέρας αὐτῆς ἐκτὸς ἐπινένευκεν ὥσπερ κορώνη.

ιδʹ. Περὶ κλειδῶν.

1 Τοῦ στέρνου τῷ ἄνω πέρατι τῶν κλειδῶν ἑκατέρα διαρθροῦται, σηραγγώδης τε οὖσα καὶ ἀνώμαλος τό τε σχῆμα καὶ τὸ πάχος.

ιεʹ. Περὶ χειρὸς καὶ βραχίονος.

1 Εἰς τρία τὰ μέγιστα τεμνομένης τῆς χειρὸς, τὸ μὲν βραχίων, τὸ
2 δὲ πῆχυς, τὸ δὲ ἄκρα χειρῶν ὀνομάζεται. Τὸ μὲν οὖν τοῦ βραχίονος ὀστοῦν ἁπάντων μέγιστον ὑπάρχει πλὴν τοῦ μηροῦ· διαρ-

4 cromion. Au-dessous de cette région se trouve une apophyse de l'omoplate, qu'on nomme son col, et la tête de l'humérus est réunie par une articulation mobile à l'extrémité de cette apophyse, qui se termine en
5 cotyle (*cavité cotyloïde*). La partie intérieure (*antér. et sup.*) de l'omoplate présente encore une autre apophyse pointue et petite, que quelques-uns appellent *ancyroïde* (*en forme d'ancre*), et d'autres *coracoïde* (*en forme de bec de corbeau*), parce que son extrémité se dirige vers l'extérieur comme [le bec d'] une corneille.

14. DES CLAVICULES.

1 Chacune des deux clavicules est réunie par une articulation mobile à l'extrémité supérieure du sternum; ces os sont celluleux, et présentent [dans leur totalité] une forme et une épaisseur inégales.

15. DU MEMBRE SUPÉRIEUR ET DE L'OS DU BRAS (HUMÉRUS).

1 Le membre supérieur se divise en trois parties principales, dont l'une s'appelle *bras* (*humerus*), l'autre *avant-bras*, et la troisième *main*.
2 L'os du bras est le plus grand de tous les os, à l'exception du fémur, et,

Ch. 15, l. 10. ἀκρόχειρον Gal.

θροῦται δὲ κατὰ ἄμφω τὰ ϖέρατα. Κατὰ μὲν δὴ τὸν ὦμον ἀπόφυσιν 3
ἔχει κεφαλῆς εὐμεγέθους ἐπὶ αὐχένι σμικρῷ, καί τις ἐν αὐτῇ κοιλό-
της ἐσΊιν ὥσπερ τομὴ ϖλαγία κατὰ τὰ ϖρόσω μέρη, διαιροῦσα τὴν
ὅλην κεφαλὴν εἰς δύο μοίρας ὁμοίας κονδύλοις· τὸ κάτω δὲ ϖέρας
εἰς κονδύλους ἀνίσους τελευτᾷ, καὶ ϖρὸς μὲν τὸν ἔξωθεν αὐτῶν ἡ
τῆς κερκίδος κεφαλὴ διαρθροῦται, ϖρὸς δὲ τὸν ἔνδον οὐδὲν ὅλως
ὀσΊοῦν συντέτακται. Περιφερὴς δέ ἐσΊιν ὁ βραχίων, οὐ μὴν εὐθὺς 4
καὶ ὅμοιος ϖάντῃ· κυρτὸς μὲν γὰρ εἴς τε τὸ ϖρόσω καὶ τὸ ἔξω,
σιμὸς δὲ ἔνδοθέν τε καὶ ὄπισθέν ἐσΊιν.

ις'. Περὶ ϖήχεως.

Πῆχυς καλεῖται μὲν καὶ ὅλον τὸ κῶλον τὸ μεταξὺ βραχίονος καὶ 1
καρποῦ· καλεῖται δὲ καὶ τὸ ἕτερον ὀσΊοῦν τῶν ἐν αὐτῷ τὸ μεῖζον,
ὅπερ ὑποτέτακται θατέρῳ, τῇ κερκίδι ϖροσαγορευομένῃ. Αὕτη 2

à chacune de ses deux extrémités, il présente une articulation mobile.
Du côté de l'épaule, il est pourvu d'une apophyse, qui consiste en une 3
tête volumineuse surmontant un col court; à la partie antérieure de
cette tête, il existe une excavation ressemblant à une coupure légère-
ment oblique (*coulisse bicipitale*), qui la divise d'un bout à l'autre en
deux parties, lesquelles ressemblent à des bosses (*condyles*); la partie
inférieure de l'humérus se termine en condyles inégaux, et le condyle
externe est réuni par une articulation mobile à la tête du radius, tandis
que le condyle intérieur ne se réunit à aucun os du tout. L'humérus est 4
arrondi; mais il n'est pas nécessairement égal de tous côtés pour cela,
car il est bombé à la partie antérieure et extérieure, et creusé à la partie
intérieure et postérieure.

16. DE L'AVANT-BRAS.

On donne le nom de *manche* (ϖῆχυς) aussi bien à l'ensemble du 1
membre situé entre le bras et le carpe, qu'à l'un des deux os de cette
partie, au plus grand (*cubitus*), celui qui est placé au-dessous de l'autre,
lequel porte le nom de *radius*. Ce dernier os embrasse, à son extrémité su- 2

1. ἐπίφ. Gal. — 3. ϖλαγία Gal'.; ϖλατεῖα AB Gal. Mor.

μὲν οὖν κατὰ τὸ πέρας αὐτῆς τὸ ἄνω περιλαμβάνει τὸν ἔξω τοῦ
βραχίονος κόνδυλον ἐπιπολαίῳ κοιλότητι, καὶ ἔστι τῆς διαρθρώσεως
ταύτης ἔργον ἐπὶ τὸ πρηνές τε καὶ ὕπτιον ὅλην τὴν χεῖρα περιά-
3 γειν. Ὁ δὲ πῆχυς ἀποφύσεις ἔχει δυοῖν κορωνῶν, ἐλάττονος μὲν τοῦ
προσθίου, μείζονος δὲ θατέρου· κοιλότητα δὲ αὗται περιλαμβά-
νουσι τοῦ πήχεως σιγμοειδῆ, κατὰ ἧς ἐπιβέβηκεν ἡ τροχιλώδης
περιφέρεια τοῦ βραχίονος, ἡ μεταξὺ τῶν κονδύλων αὐτοῦ, καὶ ἔστι
ταύτης τῆς διαρθρώσεως ἔργον ἐκτείνειν τε καὶ κάμπτειν ὅλην τὴν
4 χεῖρα. Συνδεῖται δὲ κατὰ ἑκάτερον τῶν περάτων ὁ πῆχυς τῇ κερκίδι
συνδέσμοις ἰσχυροῖς, τοὺν μέσῳ δὲ πᾶν ἀπὸ ἀλλήλων διεστήκασιν.
5 Ἔχει δὲ ἐπίφυσιν ἑκάτερον αὐτῶν κατὰ τὰ πρὸς τῷ καρπῷ μέρη,
κυρτὴν μὲν ἔξωθεν, ἔνδοθεν δὲ κοίλην, πῆχυς μὲν κατὰ τὸν μικρὸν
δάκτυλον, κερκὶς δὲ κατὰ τὸν μέγιστον· ἐμβαίνει δὲ τῇ κοιλότητι
6 ταύτῃ, καὶ διαρθροῦται πρὸς αὐτὴν ὁ καρπός. Ἐκ περιττοῦ δὲ τῷ

périeure, le condyle externe de l'humérus, à l'aide d'une cavité superfi-
cielle, et la fonction de cette articulation mobile consiste à rouler tout le
bras pour le faire appuyer tour à tour sur sa surface inférieure et sur sa
3 surface supérieure. Le cubitus est pourvu de deux apophyses en forme
de bec de corneille, dont l'antérieure est la plus petite (*apoph. coronoïde*),
tandis que l'autre est plus grande (*olécrane*), et ces deux apophyses en-
tourent une excavation du cubitus, laquelle ressemble à la lettre C
(sigma — *échancrure sigmoïde*), et dans laquelle s'emboîte la partie ar-
rondie de l'humérus placée entre les condyles, et qui présente la forme
d'une poulie (*trochlée*); c'est la fonction de cette articulation mobile d'é-
4 tendre et de fléchir le bras. A ses deux extrémités, le cubitus est relié
au radius par des ligaments vigoureux, mais, dans toute la région inter-
5 médiaire, ces os sont distants l'un de l'autre. Chacun de ces deux os est
pourvu, à la partie qui se rapproche du carpe, d'une épiphyse convexe à
sa surface externe, et concave à sa surface interne, le cubitus du côté
du petit doigt, et le radius du côté du pouce; et le carpe s'introduit dans
la cavité produite par ces deux épiphyses, en formant avec elle une arti-
6 culation mobile. Par surcroît de précaution, le cubitus est muni de l'a-

10. ἰσχυροῖς ἴσως Gal. — 14. ἀρθροῦται AB Mor.

πήχει καὶ ἡ καλουμένη στυλοειδὴς ἀπόφυσίς ἐστι, διαρθρουμένη καὶ αὐτὴ πρὸς τὸν καρπὸν, ἀλλὰ ταύτης μὲν ἔργον αἱ εἰς τὰ πλάγια περιφοραὶ τοῦ καρποῦ, τῆς δὲ ἑτέρας αἱ κατὰ εὐθὺ, κατὰ ἃς ἐκτείνομέν τε καὶ κάμπτομεν ἄκραν τὴν χεῖρα.

ιζʹ. Περὶ καρποῦ.

Ὀκτὼ συντίθησιν ὀστᾶ τὸν καρπὸν, ἐπὶ δύο στίχους συγκείμενα, 1
σκληρὰ πάντα, καὶ μικρὰ, καὶ ἀμύελα, καὶ πολυειδῆ τὸ σχῆμα. Ἡ 2
μὲν οὖν ἄνωθεν μοῖρα τοῦ καρποῦ, τριῶν ὀστῶν οὖσα, περιφερής πως γινομένη, διαρθροῦται πρὸς πῆχύν τε καὶ κερκίδα· ἡ δὲ κάτωθεν μοῖρα, τοῖς τέσσαρσι μὲν ἑαυτῆς ὀστοῖς συνήρθρωται τῷ μετακαρπίῳ· τὸ πέμπτον δὲ ἐποχούμενον ἔχει τοῖς μέρεσιν ἐκείνοις τοῦ καρποῦ, κατὰ ἃ μάλιστά ἐστιν ἡ στυλοειδὴς τοῦ πήχεως ἀπόφυσις.

pophyse dite *styloïde*, qui forme, elle aussi, une articulation mobile avec le carpe (voy. traduct. de Galien, p. 196, note 1); mais la fonction de cette articulation consiste à produire les mouvements de circumduction latérale du carpe, tandis que l'autre articulation est consacrée aux mouvements droits, dans lesquels nous étendons ou nous fléchissons la main.

17. DU CARPE.

Le carpe est composé de huit os, placés sur deux rangs, et qui sont 1
tous durs, petits, dépourvus de moelle, et d'une forme très-variée. La 2
partie supérieure du carpe, formée de trois os (*scaphoïde, semi-lunaire, pyramidal*), et à peu près arrondie, forme avec le cubitus et le radius une articulation mobile; mais la partie inférieure se rattache, avec ses quatre os (*trapèze, trapézoïde, grand os, os crochu*), au métacarpe, par une articulation immobile, tandis qu'elle présente encore un cinquième os (*pisiforme*), qui flotte librement sur la région du carpe principalement occupée par l'apophyse styloïde du cubitus.

1. ἐπιδιαρθρ. Gal[s]. — Ch. 17, l. 5. στοίχους Gal[ss]. — 11. στηλοειδής Gal[s].

ιη'. Περὶ μετακαρπίου καὶ δακτύλων.

1 Τὸ μεταξὺ καρποῦ τε καὶ δακτύλων μετακάρπιον ὀνομάζεται,
συναρθρούμενον μὲν πρὸς τὸν καρπὸν, διαρθρούμενον δὲ πρὸς τὰς
πρώτας τῶν δακτύλων φάλαγγας· οὕτω γὰρ καλεῖται τὰ τῶν δακτύ-
λων ὀστᾶ· ἔνιοι δὲ σκυταλίδας ὀνομάζουσιν αὐτά· μόνου τοῦ με-
γάλου δακτύλου τῆς πρώτης φάλαγγος αὐτῷ τῷ καρπῷ διαρθρου-
μένης ἐκ πλαγίων, ὥστε ἕκαστον τῶν δακτύλων ἐκ τριῶν ὀστῶν
συγκεῖσθαι, τῆς προτέρας ἀεὶ φάλαγγος ἐπιβαινούσης τῇ κοιλότητι
κατὰ τὴν ἀρχὴν τῆς ἑπομένης τεταγμένῃ· εὔλογον γὰρ καὶ τὸν
μέγαν ἐκ τριῶν ὀστῶν συγκεῖσθαι λέγειν, καὶ μὴ προσνέμειν τὴν
πρώτην αὐτοῦ τῷ μετακαρπίῳ φάλαγγα, κατὰ ἄμφω γε τὰ μέρη
διηρθρωμένην, ὃ τοῖς μὲν πρώτοις τῶν δακτύλων ὀστοῖς συμβέβη-
2 κεν, οὐ μὴν τοῖς τοῦ μετακαρπίου. Πέντε μὲν καὶ δέκα τὰ τῶν πέντε
δακτύλων ἐστὶν ὀστᾶ· ὅσοι δὲ τὸ τρίτον ὀστοῦν τοῦ μεγάλου δακτύ-

18. DU MÉTACARPE ET DES DOIGTS.

1 La région intermédiaire entre le carpe et les doigts porte le nom de
métacarpe; elle est rattachée par une articulation immobile au carpe, et
par une articulation mobile aux premières *phalanges* des doigts (c'est, en
effet, là le nom qu'on donne aux os des doigts, quoique quelques-uns les
appellent *petits bâtons*); le pouce est le seul dont la première phalange
forme avec le carpe lui-même une articulation mobile située à sa partie
latérale : par conséquent, tous les doigts sont composés de trois os, et
la première phalange s'emboîte toujours dans une cavité située au com-
mencement de la suivante, puisqu'il est raisonnable d'admettre que le
pouce est aussi composé de trois os, et non de considérer sa première
phalange comme une partie du métacarpe : du moins, cet os forme des
deux côtés une articulation mobile, ce qui est un attribut des premiers
2 os des doigts, et non de ceux du métacarpe. Les os des cinq doigts sont
au nombre de quinze, mais ceux qui considèrent le troisième os du pouce

Ch. 18, l. 2. *μέν.....δέ* om. AB Mor. — 5. *μετακαρπίῳ* Gal.

λου τῷ μετακαρπίῳ προσνέμουσι, τεσσαρεσκαίδεκα μὲν εἶναί φασι τὰ τῶν δακτύλων, πέντε δὲ τὰ τοῦ μετακαρπίου.

ιθ'. Περὶ τῶν ἀνωνύμων.

Ταῖς ἐκ τῶν πλαγίων ἀποφύσεσι ταῖς ὀρθίαις τε καὶ μεγάλαις 1
τοῦ πλατέος ὀσΊοῦ συντέτακταί τινα δύο μηδὲν ἐπὶ ὅλων ἑαυτῶν ὄνομα κείμενον ἔχοντα· τὰ μὲν γὰρ ἄνωθεν αὐτῶν μέρη τὰ πλατέα λαγόνων ὀσΊᾶ καλεῖται, τὰ δὲ μετὰ τὴν ἐπίβασιν ἔξωθέν τε καὶ κάτωθεν ἰσχίων ὀσΊᾶ, τὰ δὲ εἰς τὸ πρόσω μέρος ἐντεῦθεν ἀνατεινόμενα, λεπΊὰ καὶ διατετρημένα καὶ συμφυόμενα κατὰ τὸ πέρας ἀλλήλοις ἥβης ὀσΊᾶ. Κοτύλη δέ ἐσΊιν ἐν ἑκατέρῳ τῶν ἰσχίων εὐ- 2
μεγέθης, ἰσχυροτάτῳ συνδέσμῳ συμπεφυκυῖα τῇ τοῦ μηροῦ κεφαλῇ.

κ'. Περὶ μηροῦ.

Τὸ κατὰ μηρὸν ὀσΊοῦν μέγισΊον μὲν ἁπάντων ἐσΊὶ τῶν κατὰ τὸ 1

comme une partie du métacarpe disent que les os des doigts sont au nombre de quatorze, et ceux du métacarpe au nombre de cinq.

19. DES OS SANS NOM.

Aux apophyses latérales du sacrum, lesquelles sont perpendiculaires et 1
grandes, se rattachent deux os dépourvus d'un nom qui puisse s'appliquer à tout leur ensemble : en effet, les parties supérieures de ces os, qui sont aplaties, portent le nom d'*os des flancs;* les parties extérieures et inférieures, qui viennent après l'implantation [du fémur], celui d'*os des fesses,* et les parties qui, à partir de ce point-là, se dirigent en haut et en avant, qui sont minces et trouées, et qui se réunissent l'une à l'autre
à leur extrémité, celui d'*os du pubis*. Chacune des deux hanches contient 2
un cotyle (*cavité cotyloïde*) très-considérable, qui se rattache, à l'aide d'un ligament très-vigoureux (*lig. inter-articulaire*), à la tête du fémur,

20. DU FÉMUR.

L'os de la cuisse est le plus grand de tous les os de l'animal; en haut 1

ζῷον· διαρθροῦται δὲ ἄνω μὲν πρὸς ἰσχίον, κάτω δὲ πρὸς κνήμην.
2 Ἔσʇι δὲ ὅλος ὁ μηρὸς τῷ σχήματι κυρτὸς μὲν ἐν τοῖς πρόσω καὶ
3 ἔξω, σιμὸς δὲ ἐν τοῖς ὀπίσω καὶ ἔνδον. Ἀποφύσεις δὲ ἔχει δύο μι-
κρὸν ὑποκάτω τοῦ αὐχένος, ἃς τροχαντῆρας ὀνομάζουσι, πολλῷ δὲ
μείζονα τὴν ἔξωθεν, ᾗ γλουτὸς ὄνομα.

κα΄. Περὶ κνήμης.

1 Κνήμη καλεῖται μὲν καὶ ὅλον τοῦ σκέλους τὸ μέσον ὅσον ἐσʇὶ
γόνατός τε μεταξὺ καὶ ἀσʇραγάλου· καλεῖται δὲ καὶ τὸ μεῖζον ὀσʇοῦν
2 ἐν αὐτῷ. Τέτακται δὲ ἔσωθεν τοῦτο, καὶ πρὸς μόνον αὐτὸ διαρ-
θροῦται ὁ μηρός· τὸ γὰρ ἔξωθεν ὀσʇοῦν, ἡ περόνη καλουμένη, καὶ
τῷ πάχει μὲν ἀποδεῖ τῆς κνήμης συχνῷ, καὶ τῷ μήκει δὲ οὐκ ἐξι-
3 κνεῖται πρὸς τὸ γόνυ. Συναρθροῦται δὲ τῇ κνήμῃ κατὰ ἄμφω τὰ
4 πέρατα· τὸ δὲ ἐν τῷ μέσῳ πᾶν ἀφεσʇήκασιν ἀλλήλων. Ὅσον δὲ

il forme une articulation mobile avec la hanche, et en bas avec la jambe.
2 Sous le rapport de la forme, le fémur entier est bombé à sa partie anté-
3 rieure et extérieure, et creusé à sa partie postérieure et intérieure. Cet
os présente, un peu au-dessous de son col, deux apophyses, qu'on ap-
pelle *trochanters* (*petit et grand*); l'extérieure, qui se nomme *fesse*, est
beaucoup plus grande que l'autre.

21. DE LA JAMBE.

1 On donne le nom de *jambe*, aussi bien à toute la partie moyenne du
membre inférieur intermédiaire entre le genou et l'astragale, qu'au
2 plus grand des deux os (*tibia*) compris dans cette région. Ce dernier os
est placé au côté interne, et c'est avec lui seul que le fémur s'articule;
car l'os placé à l'extérieur, celui qu'on nomme *péroné*, reste fort en deçà
la seconde vertèbre, et qui présente quelquefois distinctement des limites

3. μυῶν ὅλον Gal[d]. — 12-13. Κάμπ7ουσι. . . . κεφαλὴν om. AB Mor. — 13. ῥαφαλὴν A. — 15. ἐκφύεται σπόνδυλον AB Mor.

ἔστιν ὅτε σαφῆ περιγραφὴν ἔχον ἀνάλογον τοῖς ὄπισθεν μυσὶ τοῖς
20 μικροῖς. Εἰσὶ δὲ κἀκ τῶν πλαγίων μερῶν περὶ τὸ τῆς κεφαλῆς ἄρ-
θρον ἄλλαι δύο συζυγίαι μικρῶν μυῶν, ἡ μὲν ἑτέρα συνάπτουσα τῇ
κεφαλῇ τὸν πρῶτον σπόνδυλον, ἡ δὲ ἑτέρα τούτῳ τὸν δεύτερον,
21 οὐκ ἀεὶ σαφής. Ἐνέργεια δὲ τούτων εἰς τὸ πλάγιον ἐπινεύειν αὐτὰς
22 μόνον τὰς κατὰ τοὺς πρώτους σπονδύλους διαρθρώσεις. Τούτων
ἁπάντων τῶν μικρῶν μυῶν ὅσοι τὴν διάρθρωσιν ἐστεφανώκασι τῆς
κεφαλῆς, ὥσπερ χορὸς ἐν κύκλῳ περικείμενος, ἄλλος ἄλλην ἐνέρ-
γειαν πεπίστευται.

λδ'. Περὶ τῶν τῆς τραχείας ἀρτηρίας μυῶν.

1 Τῆς τραχείας ἀρτηρίας τέτταρές εἰσιν ἴδιοι μύες, συστέλλοντές
τε καὶ στενοῦντες αὐτὴν, ἐπειδὰν ταθῶσιν, ἀντισπῶντες τό τε ὑοει-
2 δὲς ὀστοῦν καὶ τὸν λάρυγγα. Ἄρχονται δὲ αὐτῶν οἱ μὲν μείζους ἐκ
τοῦ κάτω πέρατος τῆς εὐθείας γραμμῆς τοῦ ὑοειδοῦς, εἶτα κατὰ τὸ

propres, conformément à ce qui a lieu pour les petits muscles de la par-
20 tie postérieure, agit, elle abaisse uniquement la tête. Aux parties laté-
rales, il y a également deux autres paires de petits muscles (*petit et
grand droits latéraux*) qui entourent l'articulation de la tête, l'une re-
liant la tête à la première vertèbre, et l'autre, la première à la seconde;
21 mais cette dernière n'est pas toujours visible. La fonction de ces muscles
consiste à abaisser latéralement les articulations des premières vertèbres
22 seules. Parmi tous ces petits muscles qui ceignent l'articulation mobile
de la tête comme d'une couronne, en l'entourant circulairement comme
s'ils formaient un chœur, chacun a une fonction spéciale qui lui est dé-
volue.

34. DES MUSCLES DE LA TRACHÉE-ARTÈRE.

1 Il y a quatre muscles propres de la trachée-artère, qui la compriment
et la rétrécissent lorsqu'ils se contractent, en attirant l'os hyoïde et le
2 larynx. Les plus grands de ces muscles commencent à l'extrémité infé-
rieure de la ligne droite de l'os hyoïde, ensuite ils se portent tout le

2-3. περὶ τὸ.....μυῶν om. AB Mor. — 8-9. ἄλλος..... πεπίστ. om. Gal[d].

μῆκος ὅλης τῆς ἀρτηρίας ἐνεχθέντες, ἐπιφύονται τῷ στέρνῳ κατὰ
τὰ ἔνδον μέρη. Δόξειαν δὲ ἄν σοί ποτε διφυεῖς ὑπάρχειν οἱ δύο μύες 3
οὗτοι. Ἄλλοι δὲ δύο τῶν πλαγίων τε καὶ κάτω μερῶν ἐκφυόμενοι 4
τοῦ θυρεοειδοῦς χόνδρου, τελευτῶσι καὶ αὐτοὶ πρὸς τὸ στέρνον ἐκ
τῶν πλαγίων περιλαμβάνοντες τὴν ἀρτηρίαν.

λε'. Περὶ τῶν τοῦ λάρυγγος ἰδίων μυῶν.

Δύο μὲν ἐπὶ τοῖς προσθίοις μέρεσι τοῦ χόνδρου τοῦ θυρεοειδοῦς, 1
ὁ μὲν ἐκ τῶν δεξιῶν, ὁ δὲ ἐκ τῶν ἀριστερῶν, ὄρθιοι κατὰ τὸ μῆκος
ἐπίκεινται πεφυκότες ἐκ τῶν ταπεινῶν πλευρῶν τοῦ λαμβδοειδοῦς.
Ἀνασπῶσι δὲ οὗτοι πρός τε τὸ ἄνω καὶ πρόσω τὸν χόνδρον. Ἕτε- 2-3
ροι δὲ δύο μύες ἀπὸ τῶν ὀπίσω περάτων τοῦ θυρεοειδοῦς χόνδρου
κατὰ ἑκάτερον εἷς, ἐκφυόμενοι, καταφύονται τῷ στομάχῳ, σφιγκτῆ-
ρος τρόπον περιλαμβάνοντες αὐτόν. Συνάγειν καὶ προσστέλλειν 4
οὗτοι πεφύκασι τὸν χόνδρον. Ἄλλοι δὲ δύο συμφυεῖς τὰ πέρατα τοῦ 5

long de la trachée-artère, et s'implantent sur le sternum, à la partie inté-
rieure (*sterno-hyoïdien*). Quelquefois ces muscles vous paraîtront doubles. 3
Deux autres muscles prennent leur origine à la partie latérale et infé- 4
rieure du cartilage thyréoïde, et se terminent, eux aussi, au sternum, à
la partie latérale, en entourant la trachée-artère (*sterno-thyréoïdien*).

35. DES MUSCLES PROPRES DU LARYNX.

A la partie antérieure du cartilage thyréoïde, il y a deux muscles, 1
l'un à droite et l'autre à gauche, placés droits et longitudinalement sur
lui (*thyréo-hyoïdiens*); ces muscles prennent leur origine au bord infé-
rieur de l'os lambdoïde (*hyoïde*). Ils tirent le cartilage en haut et en avant. 2
Deux autres muscles, un de chaque côté, prenant leur origine aux ex- 3
trémités postérieures du cartilage thyréoïde, s'insèrent sur l'œsophage,
en l'entourant à la manière d'un sphincter (*crico-thyréo-pharyngiens*). Ces 4
muscles sont de nature à comprimer et à dresser le cartilage en question.
Deux autres muscles adhérents entre eux relient et rapprochent les extré- 5

1. ἐμφύονται Gal. — 3. τε'] περιλαμβάνονται A. — Ch. 35, l. 9. δέ om AB Mor. — 12. προσστέλλειν AB Mor. — 13. διφυεῖς Gal.

πρώτου καὶ δευτέρου χόνδρου συνάπτουσί τε καὶ συνάγουσι, καὶ
μετὰ αὐτοὺς ἄλλοι τέτταρες ἐκ τοῦ δευτέρου χόνδρου διήκοντες εἰς
τὸν τρίτον, οἱ μὲν εἰς τοὐπίσω διαστέλλουσι τὴν διάρθρωσιν, οἱ
δὲ εἰς τὰ πλάγια τὸ ἄνω πέρας ἀνοιγνύντες τοῦ λάρυγγος, καὶ
μετὰ τούτους ἄλλοι δύο μὴ φαινόμενοι πρὶν διοιχθῆναι τὸν λάρυγγα
συνάπτουσι τὸν θυρεοειδῆ χόνδρον τῷ μὲν ἀρυταινοειδεῖ διὰ παν-
6 τὸς, οὐ διὰ παντὸς δὲ τῷ λοιπῷ. Ἀντικειμένην οἱ μύες οὗτοι τὴν
ἐνέργειαν ἔχουσι τοῖς προειρημένοις τέτταρσι, στενοῦντες ἀκριβῶς
ἅμα τοῖς εἰρημένοις δύο συμφυέσι τὸ κάτω πέρας τοῦ λάρυγγος.
7 Ἔστι δὲ καὶ περὶ τῇ βάσει τοῦ τρίτου χόνδρου μῦς διφυὴς, ἢ δύο
συμφυεῖς· συνάγουσι δὲ οὗτοι τὸν χόνδρον, καὶ κλείουσι τὸ κατὰ
ἑαυτοὺς μέρος τοῦ λάρυγγος.

mités du premier et du second cartilage (*crico-thyréoïdiens postérieurs et antérieurs réunis*); après ces muscles, il y en a quatre autres (*crico-aryténoïdiens postérieurs et latéraux*) qui, partant du second cartilage, parviennent au troisième; deux de ces muscles déploient l'articulation mobile [de ces deux cartilages] en arrière, et les deux autres ouvrent latéralement l'extrémité supérieure du larynx; après ces derniers muscles, il y en a encore deux autres (*thyréo-aryténoïdiens*) qu'on ne saurait voir avant d'ouvrir le larynx, et qui servent toujours à relier le cartilage thyréoïde
6 au cartilage aryténoïde, mais non pas toujours à l'autre. Ces muscles exercent une action opposée à celle des quatre dont nous venons de parler, puisque, conjointement avec les deux muscles adhérents entre eux et dont nous avons parlé plus haut (*crico-thyréoïdiens*), ils ferment exac-
7 tement l'extrémité inférieure du larynx. Autour de la base du troisième cartilage, il existe encore un muscle double, ou deux muscles adhérents entre eux (*aryténoïdiens transverse et oblique*); ces muscles rapprochent [la base du] cartilage et ferment la partie du larynx qui leur correspond.

2. διήκ. ἀπὸ τῶν ὀπίσω περάτων εἰς Gal[d]. — 3. διαστ.] *contrahunt* Ras. — 5. αὐτούς AB Mor. Gal[k]. — 9. ἅμα..... συμφυέσι om. Gal. (*Us. part.*) — Ib. *bifidis* Ras. — 11-12. κλείουσι τὸν λάρυγγα Gal.

λς'. Περὶ τῶν ἰδίων τοῦ λαμϐδοειδοῦς ὀσΊέου μυῶν, ὅπερ καὶ ὑοειδὲς ὀνομάζεται.

Δύο μύες πλατεῖς τῇ κάτω γένυϊ συνάπΊουσι τὸ ὑοειδὲς ὀσΊοῦν 1
ἐκ μὲν τῶν πλαγίων μερῶν τῆς εὐθείας αὐτοῦ γραμμῆς ἐκφυόμενοι,
καταφυόμενοι δὲ εἰς τὰ πλάγια μέρη τῆς γένυος μετὰ τὴν τῶν ἰδίων
αὐτῆς μυῶν ἔμφυσιν. Ἄλλοι δὲ δύο μύες ἐπὶ ἄκραν ἥκουσι τὴν γέ- 2
νυν ἀλλήλοις ἐζευγμένοι· ἀρχὴ δὲ αὐτῶν ἐσΊι τὸ ἄνω πέρας τῆς ὀρ-
θίας γραμμῆς τοῦ λαμϐδοειδοῦς. Ἕτεροι δὲ δύο μύες ἐκ μὲν τῆς ῥίζης 3
ἄρχονται τοῦ γραφιοειδοῦς, ἐμπεφύκασι δὲ τῆς ὀρθίας γραμμῆς τοῦ
λαμϐδοειδοῦς τῷ κάτω πέρατι, κατὰ ἑκάτερον μέρος εἷς. Αὗται μό- 4
ναι αἱ τρεῖς συζυγίαι μυῶν αὐτοῦ μόνου τοῦ λαμϐδοειδοῦς εἰσιν
ἴδιαι, βραχείας τινὰς αὐτῷ διδοῦσαι κινήσεις, ἡ μὲν ἀπὸ τῆς βά-
σεως τῶν βελονοειδῶν ἐκφύσεων ἀρχομένη πρὸς τὴν ὀπίσω χώραν
ἀπάγουσα, αἱ λοιπαὶ δὲ ἐπὶ τὰ πλάγια τῆς γένυος διορίζουσαι καὶ
πρὸς τὴν γένυν ἀνατείνουσαι· οἱ δὲ ἄλλοι μύες ἀπὸ τοῦ ὑοειδοῦς

36. DES MUSCLES PROPRES DE L'OS LAMBDOÏDE QU'ON APPELLE AUSSI OS HYOÏDE.

Il y a deux muscles aplatis qui relient l'os hyoïde à la mâchoire infé- 1
rieure (*mylo-hyoïdiens*); ils prennent leur origine aux parties latérales de
l'arête droite de l'os hyoïde, et s'implantent sur la partie latérale de la
mâchoire après (c'est-à-dire *à côté de*) l'insertion des muscles propres de
ce dernier os. — Deux autres muscles réunis entre eux (*génio-hyoïdiens*) 2
aboutissent à la pointe de la mâchoire inférieure; leur point d'émission
est l'extrémité supérieure de l'arête droite de l'os lambdoïde. Deux autres 3
muscles encore, un de chaque côté, commencent à la racine de l'apo-
physe en forme de style (*apophyse styloïde du temporal*), et s'implantent
sur l'extrémité inférieure de l'arête droite de l'os lambdoïde (*stylo-hyoï-
diens*). Ces trois paires de muscles sont les seules qui appartiennent en 4
propre à l'os lambdoïde et lui impriment certains petits mouvements;
celle qui commence à la base des apophyses en forme d'aiguille (*apophyses
styloïdes*) porte l'os hyoïde en arrière; les autres paires qui se rendent aux

Ch. 36, l. 4. ἔμφυσιν ex em.; ἔκφυσιν AB Mor. Gal. — 7. ἐκπεφύκασι Mor. Gal[k]. — 11. ἐκφύσεων om. AB

ὀστοῦ πεφυκότες ἑτέρων ἕνεκα γεγόνασι μορίων μᾶλλον, οἱ μὲν εἰς τὰς ὠμοπλάτας ὑπὲρ τοῦ κινεῖν ἐκείνας, ὡς ἔμπροσθεν εἶπον· οἱ δὲ εἰς τὴν γλῶτταν, ὡς καὶ περὶ ταύτης εἰρήσεται. Καὶ λοιπὸς ἐπὶ αὐτοῖς ὁ κατὰ τῆς φάρυγγος ἔξωθεν ἐπιϐεϐλημένος, εἴτε ἕνα τις αὐτὸν ἐθέλοι διφυῆ προσαγορεύειν, εἴτε δύο παραφυομένους ἀλλήλοις, ὅπερ ἄμεινον εἶναί μοι δοκεῖ· προστέλλουσι δὲ οὗτοι τὴν τραχεῖαν ἀρτηρίαν καὶ τὸ λαμϐδοειδὲς ἀντισπῶσι κάτω.

λζ'. Περὶ τῶν τὴν γλῶτταν κινούντων μυῶν.

Τῶν κινούντων τὴν γλῶτταν μυῶν δύο μὲν ἀπὸ τῶν βάσεων τῶν βελονοειδῶν ἐκφύσεων ἀρξάμενοι, στενοὶ καὶ μακροὶ, προήκοντες εἰς τὰ πλάγια μέρη τῆς γλώττης, ἑκατέρωθεν εἷς, ἐμφύονται, λοξῶν κινήσεων ἐξηγούμενοι· οἱ δὲ ὑπόλοιποι πάντες ἐκφύον-

parties latérales de la mâchoire tirent aussi l'os hyoïde en haut vers la mâchoire; quant aux muscles qui prennent leur origine sur l'os hyoïde et qui ne sont pas encore mentionnés dans ce chapitre, ils ont été plutôt créés en vue d'autres parties, ceux qui se rendent aux omoplates (*omoplato-hyoïdiens*), pour mouvoir ces os-là, ainsi que nous l'avons dit plus haut (p. 434), et ceux qui se rendent à la langue (*hyo-glosses*), dans le but que nous déterminerons aussi en parlant de cet organe. Outre ces muscles, il nous reste encore à parler d'un autre qui recouvre extérieurement le pharynx (*constricteur sup. du pharynx?*), soit que vous vouliez le désigner comme un seul muscle double, ou comme deux muscles placés l'un à côté de l'autre, ce qui, à mon avis, est meilleur; ces muscles dressent la trachée-artère et attirent l'os lambdoïde vers en bas.

37. DES MUSCLES QUI MEUVENT LA LANGUE.

Parmi les muscles qui meuvent la langue, il y en a deux qui sont minces et allongés, et qui commencent à la base des épiphyses en forme d'aiguille (*stylo-glosses*); ils s'implantent, en s'avançant, un de chaque côté, aux parties latérales de la langue, et président à des mouvements obliques; tous les autres prennent leur origine sur l'os qui entoure la

6. προστέλλουσι AB Mor. Gal[k]. — 7. κάτω om. Gal[d]. — Ch. 37, l. 9. τῶν om. AB Mor. — 10-11. συμφύονται B Mor.

ται μὲν ἐκ τοῦ περιέχοντος ὀσ7οῦ τὴν κεφαλὴν τοῦ λάρυγγος, ὃ
καλοῦμεν ὑοειδὲς, ἐμβάλλουσι δὲ εἰς τὴν γλῶτ7αν, οἱ τέτ7αρες μὲν
κατὰ δύο συζυγίας, ἐναργῶς κινοῦντες αὐτήν· ὁ πέμπ7ος δὲ ὁ δι-
φυὴς, ἐκ τοῦ ἄνωθεν πέρατος ἀρχόμενος τῆς ὀρθίας γραμμῆς τοῦ
ὑοειδοῦς ὑποπέφυκε τῇ γλώτ7ῃ κατὰ τὸ μῆκος αὐτῆς, ἀφικνούμενος
ἕως ἄκρας τῆς κάτω γένυος ἐπὶ τὸ καλούμενον γένειον, ἔνθα συμπέ-
φυκεν αὐτῆς τὰ ὀσ7ᾶ. Οὗτος ὁ μῦς ἀντισπᾷ μὲν ἄνω τὸ ὑοειδὲς, 2
ἀντιτεταγμένος τοῖς κατασπῶσιν ἐπὶ τὸ σ7έρνον αὐτό· σαφῆ δὲ
οὐδεμίαν ἐπὶ τῆς γλώτ7ης ἐργάζεται κίνησιν, ἀλλὰ οἵ γε ἐναργῶς
αὐτὴν κινοῦντες οἱ λοιποὶ τέτ7αρές εἰσιν. Ἐκφύονται δὲ οἱ δύο μὲν 3
ἐκ τῶν ἄνω μερῶν τοῦ ὑοειδοῦς, ὅθεν περ καὶ ὁ προειρημένος ὁ δι-
φυὴς, ἤδη πως ἐν τοῖς πλαγίοις αὐτοῦ μᾶλλον· οἱ δὲ ὑπόλοιποι δύο
τούτων ἐφεξῆς ἔκ τε τῶν πλαγίων τῆς ὀρθίας γραμμῆς καὶ τῶν
ταπεινῶν αὐτοῦ πλευρῶν· ἐμφύονται δὲ οἱ μὲν μείζους εἰς τὴν μέ-

tête du larynx et que nous appelons hyoïde (*hyo-glosses et génio-glosses*); quatre de ces muscles, divisés en deux paires, s'implantent sur la langue et lui impriment un mouvement manifeste; mais le cinquième, qui est double et commence à l'extrémité supérieure de l'arête droite de l'os hyoïde, tapisse longitudinalement le dessous de la langue, et parvient jusqu'à la pointe de la mâchoire inférieure, à la partie qu'on appelle
menton, au point de réunion des os dont la mâchoire est formée. Ce 2
muscle attire l'os hyoïde vers la partie supérieure, et c'est l'antagoniste de ceux qui l'abaissent vers le sternum; mais il ne donne lieu à aucun mouvement manifeste sur la langue; au contraire, les quatre autres sont les seuls qui impriment du mouvement à cet organe, du moins un mou-
vement qui soit manifeste. Parmi ces quatre muscles (*hyo-glosses*), deux 3
prennent leur origine à la partie supérieure de l'os hyoïde, au même endroit que le muscle double dont nous avons parlé plus haut (p. 445 — *constrict. sup. du pharynx?*); cependant leur insertion est déjà un peu plus latérale que celle de ce muscle; les deux autres ont leurs points de départ après les deux susdits, sur les parties latérales de l'arête droite et sur le bord inférieur de l'os hyoïde; quant aux points d'insertion de ces muscles,

7. αὐτῇ AB Mor. — Ib. τὸ ὑοειδές] τῇ γενειάδι Gal[k].; *ad maxillam* Ras. — 10. ταύτην AB Mor. — 14. ἐκφύονται AB Mor. — Ib. δέ om. AB Mor.

σην χώραν τῆς γλώτ7ης, ἀλλήλων ψαύοντες ἄχρι παντὸς, ἐξήκουσί
τε πρὸς τὸ δεδεμένον αὐτῆς τὸ πρόσω, οἱ δὲ ἐλάτ7ους εἰς τὰ πλά-
για μεταξὺ τούτων τε καὶ τῶν ἀπὸ ἑκατέρας βάσεως τῆς βελονοει-
4 δοῦς ἐκφύσεως ἡκόντων. Αἱ κινήσεις δὲ ἀνάλογον τῇ θέσει, λοξαὶ
μὲν τῶν λοξῶν, εὐθεῖαι δὲ τῶν εὐθειῶν, ὥσπερ γε καὶ τῶν πρώτων
5 ῥηθέντων πλαγίων πλάγιαι. Ὑποβέβληνται δὲ τοῖς εἰρημένοις ἅπασι
μυσὶν ἐκ τῶν κάτω μερῶν οἱ τὰς ἐγκαρσίας ἔχοντες ἶνας, ὑποπε-
φυκότες μὲν ὅλῃ τῇ γλώτ7ῃ, καταφυόμενοι δὲ εἰς τὸ τῆς γένυος
ὀσ7οῦν σχεδὸν ὅλον πλὴν τοῦ γενείου· δύνανται δὲ οἱ μύες οὗτοι
ταθέντες ἐπᾶραί τε καὶ κυρτῶσαι τὴν γλῶτ7αν.

λη'. Περὶ τῶν τῆς φάρυγγος μυῶν.

1 Χώρα τις πρόκειται κοινὴ σ7ομάχου καὶ λάρυγγος, εἰς ἣν ἑκα-

ceux qui sont les plus grands s'implantent sur la région moyenne de la
langue en se touchant durant toute l'étendue de leur parcours, et at-
teignent la partie antérieure de cet organe, qui est immobile (*fixée par
le frein*), tandis que les plus petits s'insèrent sur la partie latérale de la
langue, entre ceux dont nous venons de parler et ceux qui viennent de
4 la base de chacune des deux épiphyses en forme d'aiguille. Les mouve-
ments auxquels ces muscles donnent lieu sont conformes à leur posi-
tion; les muscles obliques produisent des mouvements obliques, et les
muscles droits des mouvements droits; de même, ceux dont nous avons
parlé en premier lieu, et qui ont une position latérale, produisent des
5 mouvements latéraux. Au-dessous de tous les muscles dont nous venons
de parler, à la partie inférieure [de la langue], se trouvent les muscles
qui ont des fibres transversales (*mylo-glosses*); ils tapissent en dessous
toute la langue et s'implantent, peu s'en faut, sur l'os de la mâchoire
tout entier, à l'exception cependant du menton; quand ces muscles se
contractent, ils peuvent soulever et courber la langue.

38. DES MUSCLES DU PHARYNX.

1 Il existe un espace vide placé en avant de l'œsophage et du larynx,

3. ἐφ' ἑκατ. AB Mor. — 4. Αἱ δὲ κινήσεις Mor.; om. AB. — 6. πλαγίων om. AB Mor. Gal[d]. — Ch. 38, l. 11. Φάρ. AB Mor.

τέρου τὸ σ7όμα ἀνήκει· καλοῦσι δὲ αὐτὴν μὲν τὴν χώραν ἰσθμὸν, ἐπειδὴ σ7ενὴ καὶ ϖρομήκης ἐσ7ὶ, τὸ ϖεριέχον δὲ αὐτὴν σῶμα φάρυγγα, κατὰ ἣν ἑκατέρωθεν εἷς ἐσ7ι μῦς ἔν τε τῷ φωνεῖν καὶ καταπίνειν ἐνεργῶν.

λθ'. Περὶ τῶν τὸν τράχηλον κινούντων μυῶν.

Περὶ τῶν ἰδίων τοῦ τραχήλου μυῶν ἐν τῷδε ῥηθήσεται· δύο δὲ 1
κατὰ ἑκάτερον αὐτοῦ μέρος εἰσὶν, ὁ μὲν ὀπίσθιός ϖως μᾶλλον, ὁ δὲ
ἐμπρόσθιος. Ἐκφύεται δὲ ὁ μὲν ὀπίσθιος ἐκ τῆς ϖλαγίας ἐξοχῆς 2
τοῦ ϖρώτου σπονδύλου κατὰ αὐτὸ μάλισ7α τὸ κυρτότατον αὐτῆς· ἐν γὰρ τῷ ϖρόσω μᾶλλον ὁ ἐπὶ τὴν ῥάχιν τῆς ὠμοπλάτης ἀνατεινόμενος, ὑπὲρ οὗ ϖρόσθεν εἶπον, ἔχει τὴν ἔκφυσιν· ὁ δὲ ὀπίσθιος τοῦ τραχήλου μῦς οὗτος, ὑπὲρ οὗ ϖρόκειται νῦν λέγειν, ἄχρι τῆς ὠμοπλάτης καθήκει, ἐκπεφυκὼς ἐξ ἁπάντων τῶν σπονδύλων διὰ

espace qui appartient en commun à ces deux organes, et où aboutissent les orifices de l'un aussi bien que de l'autre; on nomme cet espace même *isthme*, puisqu'il est étroit et allongé, tandis qu'on donne le nom de *pharynx* au corps qui l'entoure; or, dans ce corps, il y a, de chaque côté, un muscle qui fonctionne pendant l'émission de la voix et pendant la déglutition (*peristaphylin*).

39. DES MUSCLES QUI MEUVENT LE COU.

Dans ce chapitre nous parlerons des muscles propres du cou; or il y 1
en a deux de chaque côté : l'un situé, en quelque sorte, plutôt en arrière, et l'autre en avant. Le muscle situé en arrière prend son origine 2
à l'apophyse latérale de la première vertèbre (*angulaire?*), principalement à la partie la plus bombée même de cette apophyse; car l'origine du muscle qui se dirige vers l'épine de l'omoplate et dont nous avons parlé plus haut (cf. p. 434, l. 4), est placée plus en avant; mais le muscle postérieur du cou, dont nous nous proposons de parler actuellement, arrive à l'omoplate après avoir pris son origine sur toutes les ver-

2. τε καί AB Mor. — Ch. 39, l. 5. τῆς ϖρ. AB Mor. Gal[k]. — Ib. ὁ om. δέ om. AB Mor. Gal[k]. — 9. ἐκ γὰρ AB Mor. — Ib. ἀρχήν AB Mor.

συνδέσμων ἰσχυρῶν, ὡς δοκεῖν πολλοὺς εἶναι μῦς, καὶ τὸ κάτω πέ-
ρας αὐτοῦ συνεχὲς ἀκριβῶς ἐστι τῷ κατὰ τὰ σιμὰ τῆς ὠμοπλάτης
3 τοῦ θώρακος μυΐ. Ὁ δὲ ἕτερος ὁ πρόσθιος τοῦ τραχήλου μῦς ἄρ-
χεται μὲν ἐκ τῆς διατετρημένης ἀποφύσεως τοῦ δευτέρου σπονδύ-
λου, συνεκφύεται δὲ καὶ τῶν ἄλλων τῶν κατὰ τὸν τράχηλον· ἐντεῦ-
θεν δὲ διὰ τῶν μασχαλῶν ἄχρι τῆς πέμπτης πλευρᾶς τοῦ θώρακος
ἀφικνεῖται, ψαύων ἔστιν ὅτε καὶ τῆς ἕκτης· καταφύεται δέ τινι
μοίρᾳ καὶ εἰς τὴν πρώτην αὐτοῦ πλευρὰν τὴν ἐφεξῆς τῇ κλειδί.
4-5 Στρογγύλος πως μᾶλλον ὁ μῦς οὗτός ἐστι καὶ μακρός. Ἐνέργεια δὲ
αὐτοῦ, κατὰ ἃ μὲν ἐπιπέφυκε τῷ τραχήλῳ, κάμπτειν τοῦτον ὡς ἐπὶ
τὰ πρόσω λοξόν· κατὰ ἃ δὲ εἰς τὰς πλευρὰς τοῦ θώρακος ἀφικνεῖ-
ται, διαστέλλειν ἐκεῖνον· ὅθεν ἄμεινον ἤτοι δύο μῦς ἀλλήλοις ἡνω-
μένους ὁμοίως τοῖς προειρημένοις ὑπολαμβάνειν αὐτούς, ἢ εἴπερ ἕνα
χρὴ τίθεσθαι, τοῦ θώρακος νομίζειν αὐτόν· ἐκεῖνον μὲν γὰρ ἐναρ-
γῶς φαίνεται διαστέλλων, τὸν τράχηλον δὲ ἐπινεύων οὐχ ὁμοίως

tèbres à l'aide de ligaments vigoureux, de manière à paraître former plusieurs muscles, et sa partie inférieure est en contact intime avec le muscle de la poitrine (*sous-scapulaire*) placé sur la face concave de l'omoplate.
3 L'autre muscle du cou, celui qui est situé en avant (voy. p. 463, l. 18), commence à l'apophyse trouée (*transverse*) de la seconde vertèbre; cependant il a aussi des points d'émission aux autres vertèbres du cou; à partir de là, il traverse les aisselles et arrive jusqu'à la cinquième côte; quelquefois même il touche la sixième; il s'implante aussi, avec une de ses parties, sur la première côte, celle qui vient après la clavicule.
4-5 vicule. Ce muscle est, en quelque sorte, plutôt rond et allongé. Sa fonction consiste, pour les parties avec lesquelles il s'implante sur le cou, à fléchir obliquement cette partie du corps en avant, et, pour les parties par lesquelles il atteint les côtes de la poitrine, à dilater cette cavité : il est donc préférable de considérer ces muscles, aussi bien que les précédents, comme deux muscles réunis entre eux, ou, s'il faut les regarder comme des muscles uniques, de prendre ce muscle unique pour un muscle de la poitrine; car on voit manifestement le muscle dont il s'agit dilater cette cavité, tandis que le mouvement d'a-

11. τὰς πλευράς] τοὺς σπονδύλους Mor. — 14. ἐκεῖνος AB Mor. Gal^k. — 15. διαστέλλων τὸν θώρακα, τόν AB Mor. Gal^k.

ἐναργῶς· ἀντιτεταγμένην δὲ αὐτῷ κίνησιν ὁ προειρημένος ἔχει,
κάμπτων καὶ αὐτὸς εἰς τὰ πλάγια καὶ πρὸς τοὐπίσω μᾶλλον τὸν
τράχηλον. Εἰ δὲ ἀμφότεροι ταθεῖεν ἅμα, τὴν μέσην καμπὴν ἐπὶ 6
τὰ πλάγια τοῦ σύμπαντος ἐργάζονται τραχήλου· εἰ δὲ οἱ πρόσθιοι
μόνοι ταθεῖεν οἱ ἑκατέρωθεν, ὅ τε ἐκ τῶν δεξιῶν καὶ ὁ ἐκ τῶν ἀρι-
σ7ερῶν, ὅλον εἰς τὰ πρόσω τὸν τράχηλον ἐπινεύειν ἀναγκάζουσιν·
εἰ δὲ οἱ ὄπισθεν, ἀνανεύειν ὅλον ὀπίσω· εἰ δὲ καὶ πάντες ἅμα τα-
θεῖεν οἱ τέτ7αρες, ἀῤῥεπὴς εἰς ἅπαντα τὰ μέρη γένοιτο ἂν οὕτως ὁ
τράχηλος, ὡς κἀν τῷ πάθει τῷ τετάνῳ συμβαίνει.

μ'. Περὶ τοῦ κατὰ τὰ σιμὰ τῶν ὠμοπλατῶν τὸν θώρακα διασ7έλλοντος μυός.

Τὸν διασ7έλλοντα τὸν θώρακα μεγάλην διασ7ολὴν μῦν, ἕνα κατὰ 1
ἑκάτερον ὑπάρχοντα μέρος, εἴτε κοινὸν τῆς ὠμοπλάτης καὶ θώρα-
κος ὀνομάζειν ἐθελήσειέ τις, εἴτε τοῦ θώρακος μόνου μόνον τῶν

baissement qu'il imprime au cou n'est pas également manifeste; de son
côté, le muscle précédent a un mouvement qui est l'opposé du mouve-
ment de celui dont nous parlons, puisque lui aussi fléchit plutôt le cou
latéralement et en arrière. Si les deux muscles se contractent simultané- 6
ment, ils produisent une flexion latérale moyenne de tout le cou; si les muscles antérieurs, celui du côté droit et celui du côté gauche, se contractent seuls, ils forcent le cou entier à se pencher en avant; si ce sont, au contraire, les muscles postérieurs qui se contractent, ils le forcent à se relever en arrière; enfin, si tous les quatre se contractent à la fois, le cou demeurera immobile et sans inclinaison d'aucun côté, comme cela arrive aussi dans la maladie appelée *tétanos*.

40. DU MUSCLE SITUÉ SUR LA SURFACE CONCAVE DE L'OMOPLATE ET QUI DILATE LA POITRINE.

Si l'on dit que les muscles qui produisent une dilatation étendue de la 1
poitrine, et dont il existe un de chaque côté (*sous-scapulaire*), appartiennent en commun à l'omoplate et à la poitrine, ou si l'on prétend considérer, par exception, ces muscles qui touchent à l'omoplate comme appartenant

12. *μόνον μόνον* ex em.; *μόνου* Gal. Ras.; om. AB Mor. — Ib. *τόν* AB Mor.

2 κατὰ ὠμοπλάτην, οὐ διοίσει. Ἐκφύεται δὲ ἀπὸ τῆς βάσεώς αὐτῆς
3 ἐπιτεταμένος ἅπαντι τῷ σιμῷ. Τουτὶ μὲν οὖν αὐτοῦ κατακέκρυπται τὸ μέρος· τὸ δὲ ἀπὸ τοῦδε σύμπαν ἐστὶ φανερὸν ἐπιπεφυκὸς τῷ θώρακι μέχρι τοῦ καθήκοντος ἐπὶ τὴν ἕκτην πλευρὰν ἀπὸ τοῦ τραχήλου μυὸς, ἀλλὰ καὶ τῶν νόθων πλευρῶν ἐπιβαίνει δυοῖν ὁ μῦς
4 οὗτος ἐγγὺς ἤδη τῶν χονδρωδῶν ἀποφύσεων. Ἔστι δὲ οὐ συνεχὴς ἡ κατάφυσις, ἀλλὰ οἷον εἰς μικρούς τινας ἐσχισμένη μῦς, ἕνα
5 κατὰ ἑκάστην πλευράν. Ἐφεξῆς δὲ τοῖς τούτου πέρασιν ἅπασι τοῖς πρόσω τὴν ἀρχὴν τῆς ἐκφύσεως ὁ μέγιστος ἔχει τῶν κατὰ τὸ ἐπιγάστριον μυῶν, ἐσχισμέναις ὁμοίως καὶ αὐτὸς ἐκφύσεσιν ἀνηρτημένος.

μα'. Περὶ τῶν τὸ κατὰ ὦμον ἄρθρον κινούντων μυῶν.

1 Ἐπειδὰν ἀφέλῃς τούς τε κινοῦντας τὴν ὠμοπλάτην μῦς, καὶ μετὰ

2 uniquement à la poitrine, cela ne fera pas de différence. Ces muscles prennent leur origine à la base de l'omoplate et s'étendent sur toute sa
3 surface concavè (*face antérieure* ou *fosse sous-scapulaire*). Du reste, cette partie des muscles en question est cachée, tandis que toute la partie suivante est visible; cette partie s'implante sur la poitrine et atteint le muscle qui, descendant du cou, arrive à la sixième côte (*scalènes*); mais ce muscle dont nous parlons s'appuie aussi sur deux fausses côtes dans
4 la région qui s'approche déjà des apophyses cartilagineuses. L'insertion de ce muscle n'est pas continue, mais elle se divise, en quelque sorte, en une espèce de petits muscles, dont un pour chaque côte (*digita-*
5 *tion*). C'est à la suite de toutes les digitations antérieures de ce muscle que le plus grand des muscles du ventre (*oblique supérieur*) prend son origine; car les divers faisceaux d'émission de ce dernier muscle ont également la forme d'une fourche.

41. DES MUSCLES QUI MEUVENT L'ARTICULATION DE L'ÉPAULE.

1 Quand vous aurez enlevé les muscles qui meuvent l'omoplate, et, après

2. σιμῷ] θώρακι Gal[k].

αὐτοὺς τὸν ἐν τοῖς σιμοῖς μῦν, ὃν ἄρτι διῆλθον, εὐφωρατότατον ἤδη
τὸν ἀριθμὸν ἅπαντα τῶν κινούντων τὸν βραχίονα μυῶν ἕξεις· ὄν-
των γὰρ ἁπάντων ἕνδεκα, τρεῖς μὲν ἀπὸ τοῦ σ7ήθους ἐπὶ αὐτὸν
ἀναφερομένους Ͽεάσῃ, δύο δὲ ἐκ τῶν κατὰ τὰς λαγόνας χωρίων,
πέντε δὲ ἐξ αὐτῆς τῆς ὠμοπλάτης ὁρμωμένους, ἑνδέκατον δὲ ἐπὶ
τούτοις ἅπασι τὸν τὴν ἐπωμίδα κατειληφότα· τὸν γὰρ μικρὸν μῦν
τὸν κατὰ τὴν διάρθρωσιν ἐξαίρω τοῦ παρόντος λόγου. Αἱ κινή- 2
σεις δὲ αὐτῶν, τοῦ μὲν τὴν ἐπωμίδα κατειληφότος, ἀνατείνειν ἄνω
τὸν βραχίονα κατὰ εὐθεῖαν μάλισ7α γραμμήν, τῶν δὲ ἑκατέρωθεν
αὐτοῦ τῶν ἐξ αὐτῆς τῆς ὠμοπλάτης ἐκπεφυκότων, ὁ μὲν κατὰ τὴν
ὑψηλὴν πλευράν, ἀνατείνει μέν, ἀλλὰ ἐκκλίνων ἐπὶ τὰ ἔνδον, τῶν
δὲ κατὰ τὴν ταπεινὴν ὁ μὲν μείζων ἀνατείνει μὲν καὶ αὐτὸς, ἀλλὰ
ἐπὶ τἀκτός· ὁ δὲ ὡς μόριον αὐτοῦ λοξὸν ἀπάγει πρὸς τοὐκτός. Δια- 3

ces muscles-là, celui qui est placé sur la surface concave du même os, muscle que je viens de décrire à l'instant même, il vous sera très-facile de vous rendre compte du nombre des muscles qui impriment du mouvement au bras : en effet, ces muscles sont en tout au nombre de onze, et vous en verrez remonter vers ce membre trois qui viennent de la poitrine, et deux venant de la région des iles, tandis que cinq proviennent de l'omoplate elle-même, et que, outre ces muscles-là, il en existe un onzième qui occupe la région supérieure de l'épaule; car je laisse en dehors de mon discours actuel le petit muscle situé sur l'articulation.
Les mouvements produits par ces muscles sont les suivants : celui qui 2
occupe la région supérieure de l'épaule soulève le bras dans une direction presque entièrement perpendiculaire (*deltoïde*); des muscles situés sur les deux côtés du précédent et qui prennent leur origine sur l'omoplate elle-même, celui qui est placé sur le bord supérieur de l'omoplate (*faisceau claviculaire du deltoïde*) soulève aussi le bras, mais en le faisant dévier vers le côté intérieur, tandis que le plus grand des muscles placés sur le bord inférieur du même os (*grand rond*) soulève, lui aussi, le membre, mais en le faisant dévier vers le côté extérieur, et que le muscle qu'on peut regarder comme une partie du précédent imprime 3
au bras un mouvement d'abduction oblique vers l'extérieur. A ces mou-

1. εὐφορώτατον AB Mor. Gal[d].; ἀφορώτατον Gal[k]. — 3. τρεῖς] τούς AB Mor. — 7. παντός AB Mor. — 8. τήν om. AB Mor.

δέχονται δὲ τὰς κινήσεις ταύτας, ἔνδοθεν μὲν οἱ ἀπὸ τοῦ στήθους
ἀνιόντες, εἴτε τρεῖς αὐτοὺς ἐθέλοις λέγειν, εἴτε τέτταρας· ἔξωθεν
δὲ ὁ ἀπὸ τοῦ κάτω πέρατος τῆς ταπεινῆς πλευρᾶς ἀναφερόμενος.
4 Τῶν μὲν οὖν ἀπὸ τοῦ στήθους μυῶν ἁπάντων προσαγόντων ἔσω
τὸν βραχίονα, τὴν μὲν κεφαλὴν αὐτοῦ μᾶλλον ὁ ὑψηλότατος ἐπι-
σπᾶται, τὸ δὲ ὅλον κῶλον ὡς ἐπὶ τὸ στῆθος ὁ μέγιστος ὁ διφυὴς
προσάγει· ταθέντων δὲ ἀμφοτέρων ὁμοῦ τῶν κατὰ αὐτὸν μυῶν,
ὁμοτόνως ἀνατείνεται· εἰ δὲ ὁ ἕτερος μόνος ἐνεργήσειεν, ὑψηλοτέ-
ραν μὲν τὴν προσαγωγὴν ὁ ὑψηλότερος ἐργάζεται, ταπεινοτέραν
5 δὲ ὁ ταπεινότερος. Ὁ δὲ παρὰ τὸν τιτθὸν καὶ προσάγει τῷ στήθει
6 τὸν βραχίονα καὶ κατασπᾷ κάτω. Ἐπὶ τούτοις δὲ ὁ μὲν ἐπιπολῆς
ὁ λεπτὸς ὡς ἐπὶ τὰς λαγόνας ἀτρέμα πλάγιον· ὁ δὲ ὑπὸ αὐτῷ μέ-
7 γιστος εὐθὺν ἀποτείνει παρὰ τὰς πλευρὰς τὸν βραχίονα. Τούτων

vements succèdent, du côté intérieur, [ceux que produisent] les muscles
qui remontent de la poitrine, que vous vouliez les considérer comme
trois ou comme quatre (*pectoraux*), et, du côté extérieur, [le mouve-
ment auquel donne lieu] celui qui remonte de l'extrémité inférieure du
4 bord inférieur de l'omoplate (*petit rond*). Tous les muscles qui viennent
de la poitrine impriment au bras un mouvement d'adduction; mais le
plus élevé de ces muscles (*faisceau supérieur du grand pectoral*) attire
plutôt la tête de l'humérus, tandis que le muscle très-considérable qui
est double (*faisceaux moyen et inférieur du grand pectoral*) rapproche tout
le membre de la poitrine; si les deux muscles contenus dans ce grand
muscle se contractent simultanément, le membre est soulevé sans dé-
vier d'aucun côté; si l'un de ces muscles agit seul, le plus élevé pro-
duit une adduction plus élevée, et le plus bas une adduction plus
5 basse. Le muscle situé près de la mamelle sert à la fois à rapprocher le
6 bras du sternum et à l'abaisser (*petit pectoral*). Outre ces muscles, le
muscle superficiel et mince (*portion du peaussier chez le singe*) et le
muscle très-considérable (*grand dorsal*) placé au-dessous de lui étendent
le bras, le premier dans une direction légèrement oblique vers la ré-
7 gion des iles, et le second dans une direction droite le long des côtes. A

5. ὁ om. AB Mor. Gal[k]. — 5-6. ἐπισπᾶται] ἐπὶ τὰ νῶτα Gal[k].

δὲ ἐφεξῆς οἱ λοιποὶ δύο μύες ἀπὸ αὐτῆς τῆς ὠμοπλάτης ἐκδέχονται
περιάγοντες ἔξω τε καὶ εἰς τοὐπίσω τὸ κῶλον, ὁ μὲν ἀπὸ τῶν σι-
μῶν ἐκπεφυκὼς τὴν κεφαλὴν αὐτοῦ περιστρέφων ὀπίσω, ὁ δὲ ἀπὸ
τοῦ κάτω πέρατος τῆς ταπεινῆς πλευρᾶς ἐκεῖνο μάλιστα τὸ μέρος
εἰς ὅπερ ἐμφύεται, πρὸς τοὐκτὸς ἀπάγων. Ἀμφότεροι δὲ ἐνεργή- 8
σαντες ἅμα τὴν ἐν τῷ καλουμένῳ διπλασιασμῷ περιαγωγὴν ἐρ-
γάζονται τοῦ βραχίονος.

μβ'. Περὶ τοῦ μικροῦ μυὸς τοῦ κατὰ τὴν ἐν ὤμῳ διάρθρωσιν.

Τοῦτον τὸν μῦν καὶ μέρος μὲν ἴσως ἄν τις θείη τοῦ κατὰ τὸν 1
βραχίονα μεγάλου μυός· οὐ μὴν ἀλλὰ καὶ κατὰ ἑαυτόν· ἀνατάσει
γὰρ λοξῇ βραχύ τι δύναται συντελεῖν.

μγ'. Περὶ τῶν κινούντων τὴν κατὰ ἀγκῶνα διάρθρωσιν.

Ἡ κατὰ ἀγκῶνα διάρθρωσις ὑπὸ τεττάρων κινεῖται μυῶν, ἅπαν 1

ces muscles succèdent les deux dont il nous reste à parler, et qui
proviennent de l'omoplate elle-même (*sus et sous-épineux*); ces muscles
impriment au membre un mouvement de rotation en dehors et en ar-
rière, celui qui prend son origine à la surface concave de l'omoplate,
en roulant la tête de l'humérus en arrière, et celui qui provient de l'ex-
trémité inférieure du bord inférieur du même os, en imprimant un
mouvement d'abduction, surtout dans la partie où ce muscle s'implante.
Quand ces deux muscles agissent simultanément, ils produisent la rota- 8
tion du bras qui a lieu dans le mouvement appelé croisement des bras
[sur le dos].

42. DU PETIT MUSCLE SITUÉ SUR L'ARTICULATION MOBILE DE L'ÉPAULE.

On pourrait peut-être regarder ce muscle comme une partie du grand 1
muscle du bras (*courte portion du biceps*); cependant on peut aussi le
considérer comme un muscle distinct; car il peut contribuer pour une
part peu considérable à soulever obliquement le bras.

43. DES MUSCLES QUI MEUVENT L'ARTICULATION MOBILE DU COUDE.

L'articulation mobile du coude est mise en mouvement par quatre 1

5. ἐπάγων AB Mor.

2 ἐν κύκλῳ τὸ τοῦ βραχίονος ὀστοῦν κατειληφότων. Οἱ μὲν οὖν πρό-
σθιοι δύο κάμπτουσι τὸ ἄρθρον, οὐκ εὐθεῖαν ἀκριβῶς ἑκάτερος καμ-
πὴν, ἀλλὰ ὁ μὲν ἔσω παρεγκλίνων, ὁ δὲ ἔξω· ταθέντων δὲ ἀμφοῖν,
ἡ μέση γίνεται κάμψις ἡ τὸν καρπὸν ἐπὶ τὸ ἀκρώμιον ἀνάγουσα.
3 Ὁ μὲν οὖν ἔσω μᾶλλον κάμπτων ὁ μείζων μῦς ἐναργῶς ὁρᾶται καὶ
πρὸ τῆς ἀνατομῆς, ὅλον τοῦ βραχίονος κατειληφὼς τὸ πρόσθιον·
ἄρχεται δὲ ἀπὸ τῆς ὑψηλῆς ὀφρύος τοῦ τῆς ὠμοπλάτης αὐχένος,
ἐντεῦθεν δὲ κατιὼν διὰ τῶν ἔμπροσθεν μερῶν τοῦ βραχίονος, ἄχρι
μὲν ἡμίσεως αὐτοῦ ψαύει, τὸ δὲ ἀπὸ τοῦδε μετέωρος ἐπιβεβλημένος
θατέρῳ τῶν ἐνταῦθα μυῶν, εἰς τὴν κατὰ ἀγκῶνα διάρθρωσιν ἐμ-
βάλλει· ὁ δὲ ἕτερος ἐκ τοῦ βραχίονος ἐκφύεται μόνου, τὴν μὲν ἀρ-
χὴν ὄπισθεν ἔχων ἐγγὺς τῇ κεφαλῇ τοῦ βραχίονος, ἐντεῦθεν δὲ διὰ
τῶν ἔξω μερῶν λοξὸς ἐπὶ τὰ πρόσω παραγίνεται ἄχρι τῆς κατὰ
4 ἀγκῶνα διαρθρώσεως. Ἐμφύεται δὲ ὁ μῦς οὗτος εἰς τὸ τοῦ πήχεως

2 muscles qui occupent circulairement tout l'humérus. Les deux muscles
antérieurs (*longue portion du biceps et brachial antérieur*) fléchissent l'arti-
culation; cependant aucun des deux ne produit une flexion rigoureuse-
ment droite, mais l'un fait dévier le membre du côté intérieur, et l'autre
du côté extérieur, tandis que la contraction simultanée des deux muscles
a pour résultat la flexion moyenne qui porte le carpe dans la direction du
3 sommet de l'épaule. Du reste, le muscle qui fléchit le membre en le fai-
sant dévier plutôt vers l'intérieur, et qui est le plus grand (*biceps*), se
voit manifestement, même avant la dissection, puisqu'il occupe toute la
face antérieure du bras; il commence sur la crête élevée du col de l'omo-
plate; de là il descend par la partie antérieure du bras; il est en contact
avec l'humérus jusqu'à la moitié de sa longueur; à partir de ce point, il
est placé, sans attaches, sur l'autre muscle de cette région, et s'implante
ainsi sur l'articulation mobile du coude; l'autre muscle (*brachial anté-
rieur*) prend son origine sur l'humérus seul, et il commence en arrière
près de la tête de cet os; à partir de là, il traverse obliquement la partie
extérieure du membre, et arrive à sa partie antérieure jusqu'à l'articu-
4 lation mobile du coude. Ce muscle s'insère sur le cubitus, tandis que le

1. *τό* om. AB Mor. — 3. *παρεκλίνων* A; *παρεκκλίνων* B Mor. — 13. *παραγινόμενος* AB Mor.; *παραγενόμενος* Gal[k].

ὀσΊοῦν, ὥσπερ ὁ ϖροειρημένος ὁ μείζων εἰς τὸ τῆς κερκίδος· τῶν
δὲ ἐκτεινόντων τὴν κατὰ τὸν ἀγκῶνα διάρθρωσιν μυῶν ἡ μὲν ἑτέρα
τῶν ἀρχῶν ἀπὸ τῆς ταπεινῆς ἐσΊι ϖλευρᾶς τῆς ὠμοπλάτης τοῦ ἡμί-
σεως, ὅσον ὡς ϖρὸς τὸν ὦμον ἀναφέρεται, ἡ δὲ ἑτέρα μετὰ τὴν
κεφαλὴν τοῦ βραχίονος ἐκ τῶν ἔξωθεν αὐτοῦ μερῶν ἐκπέφυκεν.
Ἐκτείνουσι μὲν οὖν οἱ μύες ἀμφότεροι τὴν κατὰ ἀγκῶνα διάρθρω-
σιν, ἀλλὰ ὁ μὲν ϖρότερος ἅμα τῷ ϖαρεγκλίνειν ἐκτὸς, ὁ δὲ ἕτερος 5
εἴσω, καὶ οὗτος ἐπὶ βραχὺ λοξὴν ποιεῖται τὴν ἔγκλισιν. Ἡ δὲ ϖε-
ριπεφυκυῖα τὸ τοῦ βραχίονος ὀσΊοῦν μοῖρα τοῦ δευτέρου ῥηθέντος 6
μυός· ἔσΊι γὰρ ὥσπερ τις διφυής· σαρκώδης ὅλη διαμένουσα, κατὰ
τὸ ὄπισθεν ἐμβάλλει μέρος τοῦ ἀγκῶνος, εὐθεῖάν ϖως μᾶλλον ἔκτα-
σιν ἐργαζομένη ϖερὶ τὸν ϖῆχυν εἴσω βραχὺ ῥέπουσαν.

précédent, qui est le plus grand, s'insère sur le radius; quant aux muscles extenseurs de l'articulation du coude, l'une de leurs deux origines provient de la moitié du bord inférieur de l'omoplate, de toute la partie qui remonte vers l'épaule, l'autre procède de la partie extérieure de l'humérus au-dessous de la tête de cet os (*triceps divisé en deux muscles par Galien*).
Ces deux muscles étendent donc l'articulation mobile du coude; seulement 5
le premier le fait en produisant en même temps une déviation vers le côté extérieur, et l'autre en en produisant une vers le côté intérieur;
mais ce dernier muscle produit une déviation légèrement oblique. Le 6
muscle dont nous avons parlé en second lieu a une partie qui entoure l'humérus, tout en s'y implantant; car ce muscle forme une espèce de muscle double; et cette partie, qui s'implante sur la partie postérieure du coude en restant complétement charnue, produit en quelque sorte plutôt une extension en ligne droite, cependant avec une inclinaison légère du côté intérieur autour du cubitus. (Voy. *Trad. de Galien*, t. I, p. 207.)

1. ὁ ante ϖροειρ. om. AB 1^{a} m. Mor. — 5. ἔξωθεν] ὄπισθεν AB Mor. Gal^{k}.

μδ'. Περὶ τῶν κατὰ τὸν πῆχυν μυῶν·

1 Ἐκ μὲν τῶν ἔνδον τοῦ πήχεως ἑπτὰ μύες εἰσὶ τεταγμένοι, κατὰ δὲ τὴν ἔξω χώραν ὁ μὲν ἐλάχιστος ἀριθμὸς ὀκτώ· διαχωριζομένων δὲ τῶν συμφυῶν μυῶν, ὁ πλεῖστος δέκα· μέσος δὲ ἀμφοῖν ὁ τῶν
2 ἐννέα. Τοὺς μὲν οὖν τέτταρας δακτύλους ἄνευ τοῦ μεγάλου μῦς ἐκτείνει κατὰ τὴν μέσην μάλιστα χώραν τεταγμένος ὅλου τοῦ κώλου, τέτταρας ἀποφύων τένοντας εἰς ἕκαστον δάκτυλον ἕνα· δύο δὲ ἐπὶ ἑκάτερα τοῦδε μύες, ὁ μὲν τὸν μικρὸν δάκτυλον ἀπάγει λοξόν· ὁ δὲ
3 τοὺς λοιποὺς τρεῖς τούτῳ προσάγει. Εἰ δὲ ἀκριβολογοῖς, δύο μῦς ἂν
4 εἴποις εἶναι τούτους ἀλλήλοις συμφυεῖς. Ἄλλοι δὲ ἐπὶ ἑκάτερα τούτων, ὁ μὲν τῷ πήχει παρατεταμένος ἔξωθεν εἰς τὸ πρὸ τοῦ μικροῦ δακτύλου μετακάρπιον ἐμφύεται διὰ ἑνὸς τένοντος· ὁ δὲ εἰς τὸ πρὸ τοῦ λιχανοῦ τε καὶ μέσου διὰ δυοῖν, καὶ τρίτος ἐπὶ τοῖσδε διὰ ἑνὸς

44. DES MUSCLES SITUÉS À L'AVANT-BRAS.

1 A la partie intérieure de l'avant-bras on trouve sept muscles, tandis qu'à la partie extérieure il y en a au moins huit, et, si l'on sépare les muscles adhérents entre eux, on en compte dix au plus, tandis que le
2 nombre moyen intermédiaire entre ces deux est de neuf. Un muscle placé à peu près sur la région moyenne de tout le membre étend les quatre doigts, en exceptant le pouce (*extenseur commun*), et donne naissance à quatre tendons, un pour chaque doigt; de chaque côté de ce muscle il y en a un autre; l'un imprime un mouvement d'abduction oblique au petit doigt, tandis que l'autre rapproche les trois autres de
3 ce doigt-là (*extenseurs propres des doigts* chez le singe). Si vous voulez être minutieux, vous direz que ces muscles en forment deux adhé-
4 rents entre eux. Puis il y a encore d'autres muscles situés aux deux côtés de ces muscles-là, dont l'un, s'étendant à la partie extérieure le long du cubitus, s'implante, avec un seul tendon, sur la partie du métacarpe placée en avant du petit doigt (*cubital postérieur*), tandis qu'un autre s'insère, par deux tendons, sur la partie du métacarpe située avant le doigt indicateur et le doigt du milieu (*radiaux*); outre ceux-là enfin, il y en a un troisième qui s'implante, avec un seul tendon, sur le pre-

Ch. 44, l. 12. διαδύει AB Mor.

εἰς τὸ πρῶτον ὀστοῦν τοῦ καρποῦ τὸ κατὰ τὸν μέγαν δάκτυλον.
Ὑπὸ τούτων τῶν τριῶν ὁ καρπὸς ἐκτείνεται, κατὰ μὲν τὸν μικρὸν 5
δάκτυλον ἐγκλινομένης ὡς ἐπὶ τὸ πρηνὲς σχῆμα τῆς ἄκρας χειρὸς,
κατὰ δὲ τὸν μέγαν ἐπὶ τὸ ὕπτιον· ὁ μέσος δὲ ἀμφοῖν μῦς μέσην
ἀμφοτέρων ἐργάζεται τὴν ἔκτασιν τοῦ καρποῦ· μέσην δὲ καὶ, ἂν
οἱ λοιποὶ δύο μύες ἐνεργήσωσιν ἅμα, τὴν κατάστασιν ἡ χεὶρ ἄκρα
λαμβάνει. Τῷ μέντοι κατὰ τὸν μέγαν δάκτυλον κινοῦντι τὸν καρ- 6
πὸν, ὡς εἴρηται, παραπέφυκεν ἕτερος μῦς, ὡς ἀμφοτέρους ἕνα φαί-
νεσθαι, καθήκων εἰς τὸ πρῶτον ὀστοῦν τοῦ μεγάλου δακτύλου· καὶ
κινεῖ γε αὐτὸν τὴν ἀνάλογον ἐπὶ θάτερα κίνησιν τῇ προειρημένῃ
λοξῇ κατὰ τοὺς δακτύλους, ἣν ὑπὸ τριῶν ἔφην γίνεσθαι. Λοιποὶ δὲ 7
τῶν ἔξωθεν τοῦ πήχεως μυῶν εἰσιν ὅ τε ἐμφυόμενος τοῖς ἄνω μέ-
ρεσι τῆς κερκίδος λοξὸς, ὅλος σαρκοειδὴς, ὅ τε ἐπικείμενος ἄνωθεν
αὐτῇ μακρὸς, οὐδὲ εἰς ἀκριβῆ τένοντα τελευτῶν οὐδὲ αὐτὸς ὡς τὸ

mier os du carpe, celui qui correspond au pouce (*cubital externe*). Ces 5
trois muscles impriment au carpe un mouvement d'extension, et, quand
cette extension a lieu du côté du petit doigt, la main penche dans le sens
de la pronation; si, au contraire, l'extension se fait du côté du pouce, la
main penche dans le sens de la supination; le muscle situé au milieu
des deux autres produit aussi une extension du carpe tenant le milieu
entre les deux espèces précédentes d'extension, et la main prend encore
une position moyenne quand les deux autres muscles agissent simulta-
nément. Cependant, aux côtés du muscle qui, ainsi que nous l'avons dit, 6
meut le carpe du côté du pouce, adhère un autre muscle, de manière
à ne paraître en former avec lui qu'un seul; ce muscle aboutit au premier
os du grand doigt (*extenseur propre du pouce*), et il imprime à ce doigt
un mouvement latéral qui est l'analogue du mouvement oblique dont
nous avons parlé plus haut pour les [autres] doigts, et qui, disions-nous,
était opéré par trois muscles. Des muscles extérieurs de l'avant-bras, il 7
nous reste à parler de celui qui s'implante obliquement sur les parties
supérieures du radius, et qui est entièrement charnu (*court supinateur*),
ainsi que du muscle long placé en dessus sur le même os, muscle qui
n'aboutit pas non plus à un véritable tendon, et qui a ordinairement

2. ὁ om. AB Mor. — 8-9. τίθεσθαι Gal[d]. — 14-p. 459, l. 1. ὡς τὸ πολὺ om. Gal.

8 πολὺ ἐνέργειαν ἔχων ὑπτίαν ἐργάζεσθαι τὴν χεῖρα. Λοιπὸς δὲ ὁ
πρὸ τούτου λεχθεὶς ἐμφύεται τῆς κερκίδος τοῖς ἄνω μέρεσιν, οὐχ
9 ὥσπερ ὁ τελευταῖος λεχθεὶς τοῖς κάτω. Καὶ διὰ τοῦτο ἑκάτερος αὐ-
τῶν ἐκεῖνο τὸ μέρος κινεῖ τῆς κερκίδος εἰς ὃ καταπέφυκεν· ἀμφοτέ-
ρων δὲ ἐνεργησάντων ὁμοῦ, τὴν ὑπτίαν κατάστασιν ἡ χεὶρ ὅλη
λαμβάνει· ἐπιβαίνων δὲ μετὰ τὴν πρώτην ἔκφυσιν ὅλῳ τῷ πήχει
10 παραπέφυκεν. Οὕτω μὲν οὖν ἔχουσι θέσεώς τε καὶ κινήσεως οἱ ἔξω-
θεν μύες· τῶν δὲ ἐντὸς τοῦ πήχεως ἑπτὰ τὸν ἀριθμὸν μυῶν ὄντων,
δύο μὲν τὸν καρπὸν κάμπτουσι, δύο δὲ τοὺς δακτύλους, δύο δὲ ἄλ-
λοι τὴν κερκίδα περιάγουσιν ἐπὶ τὸ πρανές· ὁ δὲ ὑπόλοιπος εἷς,
ὅσπερ καὶ πάντων ἰσχνότατός ἐστιν, ἐπιπολῆς μὲν ὑπὸ τῷ δέρματι
τέτακται κατὰ μέσον μάλιστα τὸ κῶλον, ἄνωθεν κάτω φερόμενος,
οὐδὲν ἄρθρον κινῶν.

8 pour fonction de mettre le bras dans la supination (*long supinateur*). Il
nous reste à parler de celui que nous avons nommé l'avant-dernier; ce
muscle s'implante sur les parties supérieures du radius, et non sur les
parties inférieures, comme celui dont nous avons parlé en dernier lieu.
9 Pour cette raison, chacun de ces deux muscles imprime un mouvement
à la partie du radius sur laquelle il s'implante, et, si les deux muscles
agissent simultanément, tout le bras se met dans la supination; ce muscle
s'appuie, dès sa première origine, sur le cubitus, qu'il longe d'un bout à
10 l'autre en y adhérant. Tels sont la position des muscles extérieurs et le
mouvement qu'ils produisent; mais, du côté intérieur de l'avant-bras,
les muscles sont au nombre de sept; deux fléchissent le carpe (*cubital
interne et radial interne*), deux autres les doigts (*fléchisseurs superficiel
et profond*), deux autres encore roulent le radius dans la pronation (*pro-
nateurs rond et carré*); enfin le muscle unique qui reste, et qui est le
plus grêle de tous, est placé superficiellement sous la peau (*palmaire
grêle*), vers le milieu à peu près du membre; il se porte de haut en bas
et ne met aucune articulation en mouvement.

7. οὖν om. AB Mor. Gal[k].

με'. Περὶ τῶν ἐν ἄκρᾳ τῇ χειρὶ μυῶν.

Διττὰ γένη μυῶν ἐστιν ἐν ἄκρᾳ τῇ χειρὶ κατὰ τὰ ἔνδον αὐτῆς 1
μέρη, μικροὶ μὲν πάντες ἐξ ἀνάγκης, ἀλλήλων δὲ οὐκ ὀλίγον δια-
φέροντες τά τε ἄλλα καὶ κατὰ μέγεθος. Πέντε μὲν οὖν εἰσιν οἱ τῶν 2
λοξῶν κινήσεων ἐπὶ τὰ ἔσω τε καὶ ἄνω κινοῦντες τοὺς δακτύλους,
εἷς κατὰ ἕκαστον· ἕκτος δὲ ὁ τὸν ἀντίχειρα καλούμενον τὸν μέγαν
προσάγων τῷ λιχανῷ· ὁ δὲ ἕβδομος ἀπάγει μέχρι πλείστου τὸν
μικρὸν δάκτυλον ἀπὸ τῶν ἄλλων. Ἄλλοι δὲ μύες ἐν τῷ μετακαρπίῳ 3
κεῖνται, τοῖς τε ἀνατομικοῖς ἀγνοηθέντες ἅπασι, κἀμοὶ μέχρι πολ-
λοῦ, μετὰ παρεγκλίσεως τῆς εἰς τὸ πλάγιον ἑκάστου τῶν δακτύλων
κάμπτοντες τὸ πρῶτον ἄρθρον, δύο κατὰ ἕκαστον δάκτυλον ὄντες.
Κατὰ δὲ τὸν μέγαν δάκτυλον οὐκ ἴσος ἐστὶν ἀριθμός· εἷς μὲν γὰρ 4
μικρότερός ἐστι, καὶ καταφύεται τῷ δακτύλῳ πλησίον τῆς δευτέ-
ρας διαρθρώσεως, οὐ πάνυ μὲν ἐκείνην σαφῶς κινῶν, τὴν πρώτην

45. DES MUSCLES DE LA MAIN.

A la partie intérieure de la main, il y a deux espèces de muscles; 1
ces muscles sont nécessairement tous petits, il est vrai; cependant ils
présentent entre eux une différence assez considérable, tant sous les
autres rapports que sous celui de la grandeur. Il y a donc cinq muscles 2
qui président à des mouvements obliques et qui meuvent les doigts vers
la partie intérieure et supérieure; il en existe un pour chaque doigt
(*lombricaux et court abd. du pouce*); un sixième rapproche le grand doigt
appelé *pouce* de l'indicateur (*long adducteur*), et le septième éloigne le
petit doigt aussi loin que possible des autres (*court fléch. et adduct.*). Au 3
métacarpe sont placés d'autres muscles ignorés de tous les anatomistes,
et qui m'avaient aussi échappé pendant longtemps; ces muscles fléchissent
la première articulation de chacun des doigts avec une légère déviation
vers les côtés; il y en a deux pour chaque doigt (*interosseux et opposant*
du petit doigt). Le nombre des muscles n'est pas le même pour le pouce: 4
en effet, il y a un muscle assez petit qui s'implante sur ce doigt près
de la seconde articulation (*opposant du pouce*); cependant il n'imprime
pas un mouvement bien manifeste à cette dernière articulation, mais il

δὲ μᾶλλον· οἱ δὲ ἐφεξῆς αὐτοῦ δύο τὴν δευτέραν κάμπΊουσι διάρ-
θρωσιν, ὁ μὲν τοῦ προειρημένου τοῦ μείζονος ψαύων, ἀῤῥεπῆ τὴν
καμπὴν ποιούμενος· ὁ δὲ μετὰ αὐτὸν, ἐγκλίνων ἀτρέμα εἰς τὸ πλά-
5 *γιον. Ἀπάντων δὲ τῶν εἰρημένων ἕνδεκα μυῶν τῶνδε κοινὸν ἔργον*
ἐσΊὶ, τὴν πρὸς τὸν καρπὸν συνάρθρωσιν ἑκάσΊου τῶν κατὰ τὸ μετα-
κάρπιον ὀσΊῶν κάμπΊειν τοσοῦτον ὅσον ἑκάσΊη πέφυκε κάμπΊεσθαι·
βραχύτατον δέ ἐσΊι τοῦτο· συνήρθρωται γὰρ ἀλλήλοις τὰ κατὰ
τοῦτο τὸ μέρος ὀσΊᾶ, καὶ οὐ καθάπερ τὰ τῶν δακτύλων ὀσΊᾶ διήρ-
6 *θρωται. Διὰ τοῦτο δὲ καὶ ἡ τοῦ μεγάλου δακτύλου πρώτη διάρθρω-*
σις ἐναργῆ τὴν κίνησιν ἔχει, λεληθυῖαν δὲ καὶ τελέως ἀμυδρὰν ἡ τῶν
τοῦ μετακαρπίου πρὸς τὸν καρπόν· ἐνίοτε μέντοι κατὰ τὸν μέγαν
δάκτυλον οἱ δύο μόνοι φαίνονται μύες ὁμοίως ἔχοντες τοῖς ἐπὶ τῶν
ἄλλων· κἀκεῖνοι δὲ πολλάκις οὕτως ἀλλήλοις εἰσὶ συμφυεῖς, ὡς ἕνα
φαίνεσθαι κατὰ ἕκασΊον δάκτυλον.

agit plutôt sur la première; les deux muscles qui viennent après le précé-
dent fléchissent la seconde articulation; le premier, qui touche au muscle
assez considérable que nous avons décrit plus haut (*court abducteur*), en
produisant une flexion sans déviation (*ventre sup. du court fléch.*), et le
muscle qui vient après lui, en donnant lieu à une légère déviation laté-
5 rale (*ventre inférieur*). Une fonction commune à tous ces onze muscles
dont nous venons de parler consiste à imprimer à l'articulation de chaque
os du métacarpe avec le carpe une flexion aussi forte que la nature de
chaque articulation le comporte; or la latitude qui leur reste est très-
petite : en effet, les os de cette partie sont réunis entre eux par une ar-
ticulation immobile, et non par une articulation mobile comme les os
6 des doigts. C'est aussi pour cette raison que la première articulation du
grand doigt a un mouvement manifeste, tandis que celle des os du mé-
tacarpe avec le carpe n'a qu'un mouvement imperceptible et très-faible;
quelquefois, cependant, on ne voit au grand doigt que deux muscles qui
présentent les mêmes dispositions que pour les autres doigts; souvent
même ces muscles adhèrent tellement entre eux, qu'ils ne semblent for-
mer qu'un pour chaque doigt.

3. *ἐκκλίνων* AB Mor. Gal[1]. — 5. *ἐνάρθρωσιν* Mor.

μϛ'. Περὶ τῶν ὑπὸ ταῖς κλεισὶ μυῶν.

1 Ὑπὸ ἑκατέρᾳ κλειδὶ μῦς ὑπόκειται, μηδὲ φανῆναι σαφῶς δυνάμενος πρὶν ἀρθῆναι τὴν κλεῖν· ὁμοίαν δὲ τοῖς μεσοπλευρίοις ὀνομαζομένοις μυσὶ τὴν ἐνέργειαν ἔχουσιν· ὥσπερ γὰρ ἐκείνων ἕκαστος ταῖς ἔξωθεν ἰσὶ πρὸς τὴν ὑψηλοτέραν πλευρὰν ἀνασπᾷ τὴν ταπεινοτέραν, οὕτω καὶ οἵδε πρὸς τὴν κλεῖν ἀνέλκουσι τὴν πρώτην πλευράν.

μζ'. Περὶ τῶν τοῦ θώρακος μυῶν.

1 Τῶν τοῦ θώρακος μυῶν οἱ μὲν ἐν τοῖς μεσοπλευρίοις δύο καὶ εἴκοσίν εἰσι, τῷ μήκει τὰς ἶνας ἔμπαλιν ἔχοντες· οὐ γὰρ ὥσπερ οἱ μύες ἀπὸ τῆς ῥάχεως ἄχρι τοῦ σΊέρνου περαίνουσιν, οὕτω καὶ αἱ ἶνες αὐτῶν, ἀλλὰ ἐκ πλευρᾶς εἰς πλευρὰν ἐμπεφύκασι λοξαί, τῷ χ γράμματι παραπλησίως ἐναντίαν ἀλλήλαις αἵ τε ἔξω καὶ ἐντὸς

46. DES MUSCLES SITUÉS AU-DESSOUS DES CLAVICULES.

1 Sous chaque clavicule est placé un muscle (*sous-clavier*) qui n'est pas visible avant qu'on ait enlevé la clavicule; ce muscle a une fonction analogue à celle des muscles dits *intercostaux* : en effet, de même que chacun de ces muscles attire, à l'aide de ses fibres extérieures, la côte située au-dessous de lui vers celle qui est au-dessus, les muscles dont nous parlons attirent la première côte vers la clavicule.

47. DES MUSCLES DE LA POITRINE.

1 Parmi les muscles de la poitrine, il y en a vingt-deux qui sont situés dans les espaces intercostaux (*muscles intercostaux*), et dont les fibres ont une direction opposée au sens de la longueur de l'ensemble de chaque muscle : en effet, ces fibres ne se dirigent pas, comme ces muscles eux-mêmes, de l'épine du rachis au sternum, mais, partant d'une côte, elles s'insèrent obliquement sur une autre, et il y a opposition réciproque entre la position des fibres superficielles et celle des fibres profondes,

Ch. 46, l. 1. Ἐπί AB Mor.

2 ἔχουσαι τὴν θέσιν. Αἱ μὲν οὖν ἐκτὸς ἶνες ἐν τοῖς ἄνωθεν καταφε-
ρομένοις μέρεσι τῶν πλευρῶν διαστέλλουσι τὸν θώρακα, συστέλ-
λουσι δὲ αἱ διὰ βάθους· ἐναντίως δὲ αὐταῖς αἱ κατὰ τὰ χονδρώδη
τὰ πρὸς τῷ στέρνῳ συστέλλουσι μὲν αἱ ἐπιπολῆς, διαστέλλουσι δὲ
3 αἱ διὰ βάθους. Ἐπὶ δὲ τῶν κατὰ τὰς νόθας πλευρὰς μυῶν ἄχρι τῆς
τελευτῆς αὐτῶν ἡ αὐτὴ φύσις ἐστὶ τῶν ἰνῶν· οὐδὲ γὰρ ἔχουσιν αἵδε
4 τινὰ καμπήν. Ἑτέρα δὲ μία συζυγία μικρῶν μυῶν ἀνασπᾷ τὰς πρώ-
τας πλευράς, ὥσπερ ἕτεραι δύο κατασπῶσι τὴν δεκάτην τε καὶ τὴν
ἑνδεκάτην· ἡ γάρ τοι δωδεκάτη πλευρὰ τοῦ διαφράγματος ἔξωθέν
ἐστι συμπεφυκυῖα τῷ λοξῷ κατὰ ἐπιγάστριον μυῒ τῷ μικροτέρῳ·
φαίνεται δὲ ἐνίοτε καὶ περιγραφὴν ἰδίου μυὸς ἔχουσα τοῦ κατα-
5 σπῶντος αὐτήν. Ἄλλαι δὲ τρεῖς ἐκ τραχήλου καθήκουσαι συζυγίαι
μυῶν διαστέλλουσι τὸν θώρακα, μεγίστη μὲν ἡ κατὰ τὰ σιμὰ τῶν
ὠμοπλατῶν, ἐλάττων δὲ ἡ πρόσθεν αὐτῆς, ἐλαχίστη δὲ ἡ ὄπισθεν.

2 ce qui les fait ressembler à la lettre *chi* (χ). Dans la région du thorax,
où les côtes se portent de haut en bas, les fibres superficielles dilatent
la poitrine, et les fibres profondes la resserrent; mais, au niveau de la
partie cartilagineuse des côtes, près du sternum, contrairement à ce qui
a lieu pour les fibres susnommées, les fibres superficielles contractent,
3 et les profondes dilatent la poitrine. Pour les muscles situés dans la ré-
gion des fausses côtes jusqu'au point où les muscles intercostaux cessent,
la direction naturelle des fibres reste la même, car ces côtes ne présen-
4 tent aucune inflexion. Il existe une autre paire de petits muscles qui re-
lèvent les premières côtes (*dentelé supérieur*), comme il y en a deux au-
tres qui abaissent la dixième et la onzième (*dentelé inférieur*) : car la
douzième côte est située en dehors du diaphragme, et présente des adhé-
rences avec le plus petit des muscles obliques de l'abdomen; quelquefois,
cependant, on voit cette côte munie d'un muscle propre destiné à l'a-
5 baisser, et qui a ses limites distinctes. Trois autres paires de muscles qui
descendent du cou dilatent la poitrine; la plus grande est située sur la
surface concave de l'omoplate (*grand dentelé*); la paire située au-devant
de celle-ci est plus petite (*faisceau propre au singe*), et la paire postérieure

4. διαστέλλουσι AB Mor. Ras.; προστ. Gal[k]. — Ib. συστέλλουσι AB Mor. Ras.

Οὗτοι πάντες οἱ μύες διαστέλλουσι τὸν θώρακα, καὶ πρὸς αὐτοῖς 6
αἱ φρένες· συστέλλουσι δὲ οἵ τε μεσοπλεύριοι ταῖς ἡμισείαις ἰσὶ,
καὶ οἱ τοῖς ῥαχίταις παρατεταμένοι κατὰ τὰς ῥίζας τῶν πλευρῶν,
καὶ τῶν ὀρθίων κατὰ ἐπιγάστριον ἡ ἄνω μοῖρα, καὶ οἱ τὰς ἐσχάτας
πλευρὰς κατασπῶντες. Συντελοῦσι δέ τι πρὸς τὰς συστολὰς τοῦ 7
θώρακος ἐνίοτε καὶ οἱ κατὰ ἐπιγάστριον.

μη'. Περὶ τῶν τῆς ῥάχεως μυῶν.

Οἱ ῥαχῖται μύες ἄρχονται μὲν ἀπὸ τοῦ δευτέρου σπονδύλου τῶν 1
κατὰ τὸν τράχηλον· ἤτοι δὲ τοσοῦτοι τὸν ἀριθμόν εἰσιν, ὅσοι περ
οἱ ἀπὸ τοῦδε σπόνδυλοι διαφυεῖς ἀλλήλοις ὄντες, ἢ μέγιστος εἷς ἑκα-
τέρωθεν τῆς ἀκάνθης ἐκ πολλῶν μορίων σύνθετος. Ἁπάντων δὲ αἱ 2
ἶνες ἀτρέμα τε λοξαὶ τυγχάνουσιν οὖσαι καὶ ταθεῖσαι βραχὺ παρεγ-

est la moins considérable des trois (*scalènes?*). Tous ces muscles, et, en 6
outre, le diaphragme, dilatent la poitrine, tandis que cette cavité est contractée par la moitié des fibres des muscles intercostaux, par les muscles étendus le long de ceux de l'épine du dos au niveau des racines des côtes (*sur-costaux?*), par la partie supérieure des muscles droits de l'abdomen et par les muscles qui abaissent les dernières côtes. Quelquefois 7
les [autres] muscles de l'abdomen prennent quelque part aussi à la contraction de la poitrine.

48. DES MUSCLES DE L'ÉPINE DU DOS.

Les muscles de l'épine du dos commencent sur la seconde des vertèbres du cou; cette masse musculaire peut être considérée, ou comme une série de muscles dont le nombre égale celui des vertèbres à compter de la seconde, et qui s'entrelacent entre eux, ou comme formant, de chaque côté de l'épine, un seul muscle très-considérable composé de plu- 1
sieurs parties (*long du cou, sacro-lombaire*). Les fibres de tous ces muscles 2
sont légèrement obliques, et, quand elles se contractent, elles font dévier légèrement, dans le sens de leur propre direction, chacune des vertèbres

Ch. 48, l. 9. *διφυεῖς* AB 2ª m. Mor.; — 11-p. 465, l. 1. *παρεκκλίνουσιν* AB *συμφυεῖς* Gal., Ras. — 10. *μυῶν* Gal. Mor.

κλίνουσιν ἐπὶ ἑαυτὰς ἕκαστον τῶν συνεχῶν σπονδύλων· ὅταν δὲ
ἀμφότεροι ταθῶσιν, οἵ τε ἐκ τῶν δεξιῶν καὶ ἐκ τῶν ἀριστερῶν ἑκά-
στου σπονδύλου, τηνικαῦτα ὀρθὸς καὶ ἀῤῥεπὴς μένων ἀνακλᾶται
πρὸς τοὐπίσω, καὶ εἰ κατὰ ὅλην τὴν ῥάχιν οὕτω γένοιτο, μετὰ μὲν
μετρίας τῆς τάσεως ἐκτείνεται πᾶσα, βιαιότερον δὲ ταθέντων ἀνα-
κλᾶται πρὸς τοὐπίσω τὴν ἐναντίαν τῇ κυφώσει καλουμένῃ λαμβά-
3 νουσα διάθεσιν. Κατὰ μὲν τὴν ἄνω μοῖραν ἅπασαν ἄχρι τοῦ τετάρ-
του, ποτὲ δὲ καὶ τοῦ πέμπτου τῶν κατὰ θώρακα σπονδύλων, οἱ
δύο μύες οἱ ὑποβεβλημένοι τῷ στομάχῳ κάμπτουσι τὴν ῥάχιν· κατὰ
δὲ τὰ κάτω ἡ κατὰ ὀσφὺν ἔνδον ἅπασα χώρα μεγίστους ἔχει δύο
μύας, οὓς ψόας ὀνομάζουσιν οἱ ἀνατομικοὶ πάντες· ἐκφύονται δὲ
ἀνωτέρω τοῦ διαφράγματος οἵδε κατὰ τὸν ἑνδέκατον ἢ δέκατον ἐνίοτε
τοῦ θώρακος σπόνδυλον, κάμπτοντες τὸ κατὰ ἑαυτοὺς μέρος τῆς
4 ῥάχεως. Τὸ δὲ ἐν τῷ μεταξὺ τούτων τε καὶ τῶν προειρημένων,

avec lesquelles elles sont en contact; mais, quand les deux muscles, c'est-
à-dire ceux qui sont situés à droite et à gauche de chaque vertèbre, se
contractent, alors cette vertèbre, restant droite et sans déviation, est
renversée en arrière, et, si la même chose a lieu pour toute la longueur
de l'épine, l'épine, dans le cas d'une contraction de force moyenne,
entre dans l'extension d'un bout à l'autre, tandis que, dans le cas d'une
contraction plus violente, l'épine du dos est renversée en arrière et prend
3 une disposition contraire à ce qu'on appelle une *bosse*. Dans toute la par-
tie supérieure jusqu'à la quatrième, et quelquefois même jusqu'à la cin-
quième vertèbre du dos, les deux muscles placés au-dessous de l'œso-
phage (*droits antérieurs*) fléchissent l'épine du dos; mais, dans la partie
inférieure, toute la région intérieure des lombes présente deux muscles
très-considérables, que tous les anatomistes appellent *psoas* (*psoas, iliaque
et carré des lombes*); ces muscles prennent leur origine au-dessus du dia-
phragme sur la onzième, ou quelquefois sur la dixième vertèbre du
4 dos, et ils fléchissent la partie de l'épine qui leur correspond. La partie
de l'épine du dos située entre ces derniers muscles et ceux dont nous
avons parlé plus haut, partie qui constitue la région moyenne de la poi-

2. αἱ Ἶνες ἔκ τε τῶν Gal[d]. — 7. μέν] δέ AB Mor.

ὅπερ ἐσΊὶ τοῦ Θώρακος τὸ μέσον, οὐδὲ ἕνα κέκτηται μῦν ἴδιον, ἀλλὰ τοῖς ἑκατέρωθεν μέρεσι συγκινεῖται.

μθʹ. Περὶ τῶν κατὰ ἐπιγάσΊριον μυῶν.

Ὀκτὼ μύες εἰσὶν οἱ κατὰ ἐπιγάσΊριον, τέτΊαρες ἑκατέρωθεν, 1 ἔξωθεν μὲν ἁπάντων οἱ ἀπὸ τοῦ Θώρακος καταφερόμενοι λοξοὶ μέχρι τῶν τῆς ἥϐης ὀσΊῶν, μέγισΊοι τῶν ἐνταῦθα μυῶν· δεύτεροι δὲ ὑπὸ αὐτοῖς οἱ ἀπὸ τῶν λαγόνων ἀναφερόμενοι, καὶ τρίτοι τούτοις συνάπΊοντες οἱ εὐθεῖς, καὶ τέταρτοι οἱ τῷ περιτοναίῳ συμφυεῖς, ἐγκάρσιοι τῇ Θέσει. Καὶ λανθάνει γε τοὺς πλείσΊους τῶν ἰατρῶν 2 τὸ σύνθετον ἐξ αὐτῶν τε καὶ τοῦ περιτοναίου σῶμα, περιτόναιον εἶναι νομίζοντας. Ἀμέλει κἀν ταῖς καλουμέναις γασΊροῤῥαφίαις ὡς 3 ὑμένα διαῤῥάπΊουσιν αὐτό· καταλείπει μέντοι τὸ περιτόναιον ἐν τοῖς κάτω μέρεσιν ἡ ἀπονεύρωσις αὕτη, καὶ φαίνεται λοιπὸν ἐκεῖνο

trine, ne possède pas un seul muscle propre, mais elle suit les mouvements des parties situées à ses deux extrémités.

49. DES MUSCLES DE L'ABDOMEN.

Il existe huit muscles dans les parois du ventre, quatre de chaque 1 côté; à la région superficielle se trouvent ceux qui de la poitrine descendent obliquement jusqu'aux os du pubis, et qui sont les plus grands des muscles de cette région (*grands obliques*); puis viennent en second lieu, sous eux, les muscles qui remontent de la région des îles (*petits obliques*); puis, en troisième lieu, les muscles droits (*droits et pyramidaux*), qui touchent les précédents, et, en quatrième lieu, les muscles adhérents au péritoine, qui ont une position transversale (*transverses de l'abdomen*). La 2 nature de la couche qui est composée de ces derniers muscles et du péritoine [adhérents entre eux] reste cachée à la plupart des médecins, qui pensent que c'est le péritoine [seul]. Du reste, dans l'opération 3 dite *suture du ventre*, ils passent même des points de suture à travers cette couche, comme si c'était une membrane; cependant ce muscle aponévrotique se détache du péritoine à la partie inférieure, et dès lors

1. *οὐδένα* AB Gal.

4 μόνον γυμνόν. Χρήσιμοι δέ εἰσιν οἱ ὀκτὼ μύες οὗτοι πρός τε τὰς
ἐκφυσήσεις καὶ τὰς καλουμένας καταλήψεις τοῦ πνεύματος, καὶ τὰς
μεγάλας τε καὶ τὰς ὀξείας φωνὰς, ἐμέτους τε καὶ διαχωρήσεις γασ-
5 τρός. Συντελεῖ δὲ αὐτῶν ἡ κάτω μοῖρα, καὶ μάλιστα τῶν ἐπιβεβλη-
μένων τῇ κύστει, τῇ κατὰ τὴν οὔρησιν ἐνεργείᾳ, προστέλλοντες
εἴσω τὸ ὑπογάστριον.

ν'. Περὶ τῶν ἐπὶ τοὺς ὄρχεις καταφερομένων μυῶν.

1 Δύο πρὸς ἑκάτερον ὄρχιν ἀφικνοῦνται μύες ἰσχνοί· ἐκφύονται
δὲ ἐκ τοῦ τῆς ἥβης ὀστοῦ διὰ ὑμενώδους συνδέσμου λεπτοῦ ἐκ τοῦ
2 τῆς λαγόνος ὁρμωμένου. Καταφέρονται δὲ ἐντεῦθεν διὰ τοῦ καθή-
κοντος ἐπὶ τὸν ὄρχιν πόρου, κἄπειτα πλατυνόμενοι περιλαμβάνουσι
3 τὸν ἐλυτροειδῆ. Τὸ δὲ ἔργον αὐτῶν ἀνατείνειν τὸν ὄρχιν, ὅθεν ἔνιοι
κρεμαστῆρας αὐτοὺς ὀνομάζουσιν.

4 on peut voir le péritoine seul à nu. Ces huit muscles rendent des ser-
vices pour l'exsufflation, pour ce qu'on appelle rétention du souffle,
pour l'émission d'une voix grande ou aiguë, pour les vomissements et
5 pour la défécation. La partie inférieure de ces muscles, et surtout celle
des muscles qui recouvrent la vessie (*droits et pyramidaux*), contribue
à l'accomplissement de la fonction d'émettre l'urine, puisque ces muscles
compriment le bas-ventre de dehors en dedans.

50. DES MUSCLES QUI DESCENDENT AUX TESTICULES.

1 Un muscle grêle aboutit à chacun des deux testicules; ces muscles
prennent leur origine sur les os du pubis, à l'aide d'un ligament mem-
2 braneux mince qui prend son point de départ sur l'os des iles. Ces
muscles descendent, à partir de là, à travers le canal qui se rend aux
3 testicules; ensuite ils s'aplatissent et entourent la tunique vaginale. La
fonction de ces muscles consiste à tirer le testicule en haut, raison pour
laquelle quelques-uns les nomment *cremasters*, c'est-à-dire *suspensoirs*.

4. χώρα· A B Mor. — Ch. 50, tit. κάτω ἐπιφ. AB Mor. — 8. δὲ ἐκ ex em.; δὲ ὁ μὲν ἐκ AB Gal., Mor., Ras. — Ib. ὀστοῦ..... λεπτοῦ post λαγόνος (l. 9) transf. Gal[k]. Ras.— Ib. λεπτοῦ om. Gal[d]. — Ib. ἐκ ex em.; ὁ δὲ ἐκ A B Gal. Mor., Ras. — 9-10. Καταφ. μὲν ὁ δὲ ἔνθεν τοῦ A 1ª m.; Καταφ. μὲν ὁ δὲ ἔνθεν, ὁ δὲ ἔνθεν τοῦ A 2ª m. B 1ª m.; Καταφ. δὲ ὁ μὲν ἔνθεν, ὁ δὲ ἔνθεν τοῦ B 2ª m. Mor.

να'. Περὶ τῶν κατὰ τὸν τράχηλον τῆς κύστεως μυῶν.

Σαρκώδης μῦς περιβέβληται τῷ τραχήλῳ τῆς κύστεως· τὸ πλεῖ- 1
στον δὲ αὐτοῦ μέρος ὑποβέβληται κάτωθεν. Οὗτος ὁ μῦς κλείει τὸ 2
στόμα τῆς κύστεως, ὑπὲρ τοῦ μηδὲν ἐκρεῖν ἀκουσίως· συναπωθεῖ δὲ
καὶ τὸ διὰ αὐτοῦ φερόμενον οὖρον.

νβ'. Περὶ τῶν τοῦ αἰδοίου μυῶν.

Δύο μὲν ἔχει πάνυ σμικροὺς μῦς λοξοὺς τὸ αἰδοῖον εἰς τὴν ἔκ- 1
φυσιν ἐμβάλλοντας αὐτοῦ· δύο δὲ ἄλλους συμφυεῖς, ἢ ἕνα διφυῆ
σαρκώδη, κάτωθεν μὲν ὑποκειμένους αὐτῷ μᾶλλον, οὐ μὴν ἀλλὰ καὶ
περιλαμβάνοντας ἐν κύκλῳ. Τούτων μὲν οὖν εἰς οὐδὲν σαφῶς ὀστοῦν 2
ἀνήκουσιν αἱ κεφαλαὶ, τῶν δὲ ἄλλων δυοῖν εἰς τὰ τῆς ἥβης ὀστᾶ
ὀνομαζόμενα. Δύνανται δὲ ἅπαντες οἱ εἰρημένοι τό τε ἀῤῥεπὲς ἐν 3

51. DES MUSCLES SITUÉS AU COL DE LA VESSIE.

Il existe un muscle charnu qui entoure le col de la vessie, et dont la 1
plus grande partie est placée en dessous (*sphincter de la vessie des an-*
ciens). Ce muscle ferme l'orifice de la vessie, pour empêcher que rien ne 2
s'écoule malgré notre volonté; subsidiairement le même muscle expulse
aussi l'urine qui le traverse.

52. DES MUSCLES DU PÉNIS.

Le pénis a deux muscles obliques et très-petits qui s'implantent sur 1
son point d'origine (*ischio-caverneux*), et deux autres muscles adhérents
entre eux, ou bien un seul muscle double et charnu, muscles qui sont
principalement placés en dessous de cet organe, quoiqu'ils l'entourent
aussi circulairement. Les têtes de ces derniers muscles (*bulbo-caverneux*) 2
n'aboutissent manifestement à aucun os, tandis que celles des deux autres
aboutissent aux os dits du pubis. Ces quatre muscles que nous venons 3
d'énumérer peuvent donner au membre viril la faculté de rester roide

Ch. 51, l. 3. συνεπωθεῖ B Mor. — 4. φερόμενον ὕδωρ ἤγουν οὖρον Gal[d]. — Ch. 52, l. 10. εἰρημένοι (προειρημένοι Gal[k].) τέσσαρες μύες Gal.

ταῖς ἐντάσεσι παρέχειν τῷ αἰδοίῳ, καὶ τὰς ἐν τῷ διασείειν τε καὶ ἀνασείειν αὐτῷ κινήσεις.

νγ'. Περὶ τῶν κατὰ τὴν ἕδραν μυῶν.

1 Εἷς μέν τίς ἐσΊιν ἀζυγὴς, σΊρογγύλος, ἐγκάρσιος μῦς, περι-
βεβλημένος τῇ ἕδρᾳ, κλείων ἀκριβῶς καὶ ἰσχυρῶς, εἰ ταθείη, τὸ
ἀπευθυσμένον ἔντερον, κατὰ μὲν τὸ μέσον ἑαυτοῦ ψαύων τοῦ καλου-
μένου κόκκυγος, ἑκατέρωθεν δὲ εἰς τὴν ἔκφυσιν τοῦ αἰδοίου τελευ-
2 τῶν. Αὐτὸ δὲ τὸ ἐξωτάτω πέρας αὐτοῦ συγκεκραμένον ἔχει τῷ δέρ-
ματι μῦν, οἷόν τι καὶ τὸ τῶν χειλῶν ἐσΊι πέρας, ὡς ἤτοι δερματώδη
3 μῦν ὀνομάζειν, ἢ δέρμα μυῶδες. Η χρεία δὲ καὶ τούτου παραπλη-
σία τῷ μυῒ, πλὴν ὅσον ἰσχύϊ καὶ ῥώμῃ τῆς ἐνεργείας ἀπολείπεται.
4 Οἱ λοιποὶ δὲ δύο μύες ὑμενώδεις ὄντες ἀνωτέρω τοῦ σΊρογγύλου
μυὸς ἔχουσι τὴν θέσιν· ἐκφύονται μὲν γὰρ ἔκ τε τῶν ἔνδον μερῶν

pendant l'érection, ainsi que d'accomplir les mouvements consistant en secousses dirigées latéralement et en haut.

53. DES MUSCLES DU SIÉGE.

1 Il existe un muscle impair, rond et transversal qui entoure le siége
(*sphincter interne*), et qui, lorsqu'il se contracte, ferme exactement et
vigoureusement le rectum; à sa partie moyenne, ce muscle est en con-
tact avec l'os appelé *coccyx*, tandis qu'il aboutit des deux côtés à l'origine
2 du membre viril. La partie du rectum qui se rapproche le plus de l'ex-
térieur contient elle-même un muscle mêlé à la peau, et qui est dans le
même genre, à peu près, que le plan musculaire de l'extrémité des
lèvres, de telle manière qu'on peut l'appeler, soit *muscle en forme de*
3 *peau*, soit *peau musculeuse* (*sphincter externe*). L'utilité de cette partie
est analogue à celle de [l'autre] muscle, excepté qu'elle lui est inférieure
4 pour le degré de vigueur et d'intensité de son action. Les deux muscles
dont il nous reste à parler, et qui sont membraneux, occupent une po-
sition plus élevée que le muscle rond; car ils prennent leur origine sur

Ch. 53, 1. 4. ἀκρ. καὶ ἰσχ. om. Gal[d]. — 7. αὐτῆς AB; τῆς ἕδρας Gal[d].; τῆς κεφαλῆς Gal[k]. — 8. πέρας] μέρος Gal[d]. — 9. σαρκῶδες Gal. — Ib. τούτῳ Gal.

τῶν τῆς ἥϐης ὀσΊῶν, καὶ τῶν τοῦ καλουμένου πλατέος ἢ ἱεροῦ ὀσΊοῦ, καταφύονται δὲ ἑκατέρωθεν εἷς λοξοὶ, τείνοντες ἄνω τὴν ἕδραν, ἡνίκα ἂν ἐπὶ πλεῖσΊον αὐτὴν ἐκσΊραφῆναι συμϐῇ ἐν προθυμίαις ἰσχυραῖς· ὑπὸ γὰρ τῶν κατὰ ἐπιγάσΊριον μυῶν ἅμα ταῖς φρεσὶ θλιϐόντων τά τε ἔντερα, καὶ διὰ ἐκείνων ὅ τι περ ἂν ἐν αὐτοῖς περιέχηται, προωθεῖσθαί τε συμϐαίνει τὴν ἕδραν, ἐκτρέπεσθαί τε πολλάκις εἰς τοσοῦτον, ὡς μηδὲ ὑπὸ τῶν εἰρημένων δυοῖν μυῶν ἑτοίμως ἀνασπᾶσθαι· καὶ ὅταν γε παραλυθῶσιν ἢ ἀτονήσωσιν οἱ μύες οὗτοι, χαλεπῶς καὶ μόγις ἀνασπᾶσθαι συμϐαίνει τὴν ἕδραν, ἢ καὶ παντάπασιν ἐκτετραμμένην διαμένειν, ὡς καὶ τῶν χειρῶν δεῖσθαι βοηθῶν. Εὐθὺς *δὲ καὶ τὴν ἔκφυσιν τοῦ αἰδοίου συνανασπῶσιν οἱ μύες οὗτοι διὰ τὴν προειρημένην κοινωνίαν.*

les parties intérieures des os du pubis et de l'os qu'on appelle *os large* ou *sacrum;* comme ces muscles, dont il existe un de chaque côté, ont une insertion oblique, ils tirent le siége en haut (*releveurs de l'anus*), lorsqu'il advient que, en cas d'envie très-pressante d'aller à la selle, cette partie est retournée très-fortement en dehors : en effet, par l'action des muscles abdominaux qui, conjointement avec le diaphragme, compriment les intestins, et, par leur intermédiaire, tout ce qui est contenu dans leur intérieur, il arrive que le siége est poussé en bas et retourné en dehors, souvent à tel point, que même les deux muscles susdits ne suffisent pas pour le faire rentrer avec facilité, et, quand ces muscles sont paralysés ou affaiblis, il advient que la réduction du siége ne se fait que très-difficilement, ou même que cette partie reste entièrement tournée en dehors, de manière à ce qu'on ait besoin d'employer les mains comme auxiliaires. Indispensablement, ces muscles aident aussi à soulever le membre viril à son origine, attendu la connexion qui existe entre ces muscles et ce membre, et que nous avons mentionnée plus haut.

1. *ἢ ἱεροῦ* om. Gal. — 2. *ὀσΊοῦ..... τείνοντες* om. AB Mor.; *retrahunt* Ras. — 3. *ἐν* om. AB Mor. — 4. *γάρ* om. Gal. — Ib. *ὑπογάσΊριον* AB Mor., Ras. — 7. *μηδέν* AB Mor. — 12. *διά..... κοινωνίαν* om. Gal.

νδ'. Περὶ τῶν τὴν κατὰ ἰσχίον διάρθρωσιν κινούντων μυῶν.

1 Δέκα μύες εἰσὶν οἱ τὴν κατὰ ἰσχίον διάρθρωσιν κινοῦντες· ἡ μὲν
οὖν ψόα, μῦς τις οὖσα οὐ μικρὸς, ἀρχομένη τε ἐκ τῆς δεκάτης τοῦ
θώρακος πλευρᾶς, κάμπτει τε ἅμα καὶ πρὸς τοὐκτὸς μᾶλλον ἐπι-
2 στρέφει τὸν ὅλον μηρόν. Καὶ ἕτερός τις ἐμφύεται μῦς μικρὸς ἀπὸ
τῆς βάσεως ἀρχόμενος τοῦ κατὰ ἰσχίον ὀστοῦ παρὰ τὸ ψιλὸν καὶ
ἄσαρκον τῆς πυγῆς· ταπεινῆς προσαγωγῆς ὁ μῦς οὗτός ἐστιν αἴ-
3 τιος. Ὁ δὲ μέγιστος τῶν κατὰ τὸν μηρὸν καὶ πάντων τῶν κατὰ τὸ
σῶμα μυῶν ἐπίκειται μὲν ἅπαντι τῷ τῆς ἥβης ὀστῷ, συνεπιλαμβά-
νων τι καὶ τῶν ἰσχίων, ἐκ πλαγίων τε ἅμα καὶ κάτωθεν ἄχρι τοῦ
ψιλοῦ καὶ ἀσάρκου· καταφύεται δὲ εἰς ὅλον κύκλῳ τὸν μηρὸν σαρ-
κώδεσι λαβαῖς ἀντεχόμενος αὐτοῦ, ταῖς μὲν ἐκ τῶν κάτω μερῶν
παρὰ τὸ ψιλὸν καὶ ἄσαρκον ἐκφυομέναις ἰσὶν, αἷς ἐγγὺς τῆς κατὰ

54. DES MUSCLES QUI MEUVENT L'ARTICULATION DE LA HANCHE.

1 Il y a dix muscles qui impriment un mouvement à l'articulation de la
hanche : le psoas, qui est un muscle assez considérable et qui commence
à la dixième côte de la poitrine, fléchit à la fois toute la cuisse et la
tourne plutôt en dehors qu'en dedans (*psoas, iliaque et carré des lombes*).
2 Un autre muscle, qui est petit et qui commence à la base de l'os de l'is-
chion, près de la partie nue et décharnée des fesses, s'implante encore
[sur le même endroit, c'est-à-dire *sur le petit trochanter,* — voy. trad. de
Gal. t. II, p. 155]; ce muscle est l'instrument d'une adduction déclive.
3 Mais le plus grand des muscles de la cuisse et de tous les muscles du
corps recouvre tout l'os du pubis, en envahissant aussi une partie de l'is-
chion dans la région à la fois latérale et inférieure, jusqu'à la partie nue
et décharnée (*grand, moyen et petit adducteurs; pectiné?*); ce muscle s'im-
plante circulairement sur tout le fémur, et semble le saisir par des attaches
charnues; par les faisceaux qui prennent leur origine sur la partie infé-
rieure [de l'ischion] près de la région nue et décharnée, et à l'aide des-

Ch. 54, l. 2. ἑνδεκάτης Gal. — 4. μικρῷ. Καί Gal. — 7. καὶ ex em.; om. μηρὸν τῷ προειρημένῳ τροχαντῆρι τῷ AB Mor. — 12. ἐμφ. AB Mor., Gal[1].

τὸ γόνυ διαρθρώσεως ἐξικνεῖται, πρὸς τοὐπίσω μᾶλλον ἀπάγων τὸν
μηρὸν ἅμα τῷ προσάγειν ἀτρέμα πρὸς τὸν ἕτερον μηρόν· ταῖς δὲ
ὑψηλοτέραις τούτων προσάγων μόνον, ταῖς δὲ ὑψηλοτάταις, ἄνωθεν
μὲν ἀρχομέναις, εἰς δὲ τὰ πρῶτα μέρη τοῦ μηροῦ καταφυομέναις,
προσάγων τε ἅμα καὶ ἀνατείνων αὐτόν. Ἀνατεμνομένου δὲ τούτου 4
τοῦ μυὸς, ὅ τε προειρημένος ἐναργῶς φαίνεται, καί τινες ἕτεραι
περιγραφαὶ μυῶν οὐκ ἐναργεῖς, ἐνίοτε μὲν δυοῖν, ἔσῖι δὲ ὅτε τριῶν,
οὓς ἐάν τις ἐν τοῖς μυσὶν ἀριθμῇ, πλείονας ἐρεῖ τῶν δέκα τοὺς κι-
νοῦντας εἶναι τὴν κατὰ ἰσχίον διάρθρωσιν. Ἐκ δὲ τῶν ὀπίσω μερῶν 5
κατὰ τὴν πυγὴν πρῶτος μὲν ὁ ἐπιπολῆς, ἐκτείνει δὲ ἀκριβῶς τὸν
μηρὸν, ἐπισπώμενος εἰς τοὐπίσω· δευτέρος δὲ ὑπὸ τῷ προειρημένῳ
μυῒ τῷ ἐπιπολῆς ἕτερός ἐσῖι μῦς, ἱκανῶς παχὺς καὶ σαρκώδης,
ἐκτείνων τε ἅμα τὸν ὅλον μηρὸν, καὶ πρὸς τὴν ἐντὸς χώραν ἐπι-
σπώμενος αὐτοῦ τὴν κεφαλήν· ὑποφύεται δὲ αὐτῷ μῦς ἕτερος ἀνα-

quels il atteint le voisinage de l'articulation du genou, ce muscle retire
plutôt la cuisse en arrière en même temps qu'il lui imprime un léger mou-
vement d'adduction vers l'autre cuisse; par les fibres situées plus haut,
il donne lieu à une adduction simple, tandis que, par les fibres les plus
élevées qui commencent en haut et qui s'implantent sur le commencement
du fémur, il produit à la fois un mouvement d'adduction et de soulève-
ment du membre. En disséquant ce muscle, on voit apparaître clairement 4
aussi bien le muscle précédent que les contours peu manifestes de cer-
tains autres muscles, qui sont quelquefois au nombre de deux, et d'autres
fois au nombre de trois, et, si on veut compter ceux-là parmi les muscles,
il faudra dire qu'il y a plus de dix muscles qui impriment du mouvement
à l'articulation de la hanche. Il y a à la partie postérieure, dans la ré- 5
gion des fesses, d'abord le muscle superficiel (*grand fessier et tenseur
du fascia lata*), qui étend rigoureusement la cuisse en la tirant en ar-
rière; en second lieu, il y a un autre muscle assez épais et charnu, placé
au-dessous du muscle superficiel dont nous venons de parler, et qui met
tout le fémur dans l'extension, en même temps qu'il attire la tête de cet
os du côte intérieur (*moyen fessier*); ce muscle est tapissé en dessous par

11. δέ om. AB Mor.

τείνων τε ἅμα, καὶ πρὸς τοὐκτὸς ἐπισπώμενος τοῦ μηροῦ τὴν κε-
6 φαλήν. Ἄλλος δέ τις μῦς μικρὸς καὶ παχὺς ἐκ τῶν ἔξωθέν τε καὶ
κάτω μερῶν τοῦ τῆς λαγόνος ὀστοῦ τῶν κατὰ ἰσχίον τὴν ἔκφυσιν
ποιησάμενος ὑποφύεται τῷ προειρημένῳ μεγάλῳ μυῒ ἀνατείνων τε
7 ἅμα καὶ πρὸς τοὐκτὸς περιστρέφων τοῦ μηροῦ τὴν κεφαλήν. Ὑπό-
λοιποι δὲ δύο μύες εἰσὶ τῶν κινούντων τὸν μηρόν· ἐκφύονται δὲ τῶν
8 τῆς ἥβης ὀστῶν ὅλων, ὁ μὲν ἔσωθεν, ὁ δὲ ἔξωθεν. Οὗτοι οἱ μύες
καὶ τὸ φυσικὸν τρῆμα κατειλήφασι τοῦ τῆς ἥβης ὀστοῦ, μέσον
ἔχοντες ἑαυτῶν ὑμενώδη σύνδεσμον, ὀπίσω δὲ ἐς ταὐτὸν ἀλλήλοις
9 ἥκουσι περιφυόμενοι τῷ κατὰ ἰσχίον ὀστῷ σαρκώδεσι λαβαῖς. Ἔρ-
γον τούτων τῶν μυῶν ἐστι περιστρέφειν τὴν κεφαλὴν τοῦ μηροῦ,
ἔσω μὲν ἅμα καὶ πρόσω τοῦ πρώτου μυὸς, ἔξω δὲ ἅμα καὶ ὀπίσω
10 τοῦ λοιποῦ. Δέκατος δὲ ἐπὶ τοῖς εἰρημένοις ἐστὶ μῦς ἐκ τῶν ἔνδον
μερῶν τοῦ μηροῦ κείμενος, ὃς ἴσως μέν τι καὶ τὴν κνήμην κινεῖ·

un autre qui tire la tête du fémur à la fois en haut et en dehors (*petit
6 fessier*). Il y a encore un autre muscle petit et épais qui prend son ori-
gine à la partie extérieure et inférieure de l'os des iles située au niveau
de la hanche, et qui tapisse en dessous le grand muscle dont nous ve-
nons de parler; il tire en haut la tête du fémur en même temps qu'il
7 lui imprime un mouvement de rotation vers l'extérieur (*pyramidal*). Il
reste encore deux des muscles qui impriment du mouvement à la cuisse,
lesquels prennent leur origine sur les os du pubis tout entiers, l'un à
8 l'intérieur, et l'autre à l'extérieur (*obturateurs int. et ext.; jumeaux*). Ces
muscles occupent aussi le trou percé par la nature dans l'os du pubis,
et ils ont au milieu d'eux un ligament membraneux; en arrière, ils abou-
tissent tous les deux au même point, en s'implantant de tous côtés sur
9 l'os de l'ischion par des attaches charnues. La fonction de ces muscles
consiste à imprimer un mouvement de rotation à la tête du fémur, pour
le premier muscle, à la fois en dedans et en avant, et, pour l'autre, à
10 la fois en dehors et en arrière. Outre ceux que nous venons de nommer,
il existe encore un dixième muscle situé à la partie intérieure de la
cuisse, lequel meut peut-être aussi, jusqu'à un certain point, la jambe;

1. καὶ προσπεριστρέφων τοῦ Mor. — 2-5. Ἄλλος..... κεφαλήν om. Mor. — 5. ἐπιστρ. Gal. — 12. πρώτου] ἔξωθεν Gal[d]. — 13. δέ om. AB Mor.

ἐναργέσΊατα δὲ πᾶσιν ὅλον ἔσω προσάγει τὸν μηρὸν, ὃν ὀλίγον ὕσΊερον ὁποῖός τίς ἐσΊι διηγήσομαι μετὰ τῶν κινούντων τὴν κατὰ γόνυ διάρθρωσιν, ἐπειδὴ σὺν αὐτοῖς τέτακται.

νε'. Περὶ τῶν κινούντων τὴν κατὰ γόνυ διάρθρωσιν μυῶν.

*Ἐννέα μύες εἰσὶν οἱ τὴν κατὰ γόνυ κινοῦντες διάρθρωσιν· πρῶ- 1
τος μὲν ὁ ἐπιπολῆς, σΊενώτατός τε καὶ μακρότατος, τὴν μὲν ἄνωθεν ἔκφυσιν ἐκ μέσης τῆς ὀρθίας ῥάχεως τοῦ τῆς λαγόνος ὀσΊοῦ πεποιημένος, διὰ δὲ τῶν ἔνδον τοῦ μηροῦ φερόμενος ἐπὶ τὸ γόνυ, κἀνταῦθα καταφυόμενος εἰς τὸ καλούμενον ἀντικνήμιον, οὐ μετὰ πολὺ τῆς διαρθρώσεως. Οὗτος μὲν οὖν κάμπΊει τε ἅμα πρὸς τοὐν- 2
τὸς τὴν κνήμην, καὶ ἀνατείνει πως ὑψηλὴν, καὶ εἰς τουτὶ ἄγει τὸ σχῆμα καὶ τὸ σκέλος σύμπαν, ἐν οἵῳ μάλισΊα καθίσΊαται, μεταλλατΊόντων ἡμῶν αὐτὸ κατὰ θατέρου· ὁ δὲ ἐφεξῆς τούτῳ τὴν ἀρ-*

cependant il est extrêmement clair pour tout le monde qu'il donne à tout le fémur un mouvement d'adduction vers l'intérieur; j'exposerai un peu plus bas (p. 475, l. 15 et p. 476, l. 4) quelle est la nature de ce muscle, en parlant de ceux qui meuvent l'articulation du genou, parce qu'il est placé dans leur voisinage.

55. DES MUSCLES QUI MEUVENT L'ARTICULATION DU GENOU.

Il y a neuf muscles qui meuvent l'articulation du genou; il y a d'abord 1
le muscle superficiel qui est très-étroit et très-long (*couturier*); son origine supérieure est à la partie moyenne de l'épine droite de l'os des iles; il se rend par la partie intérieure de la cuisse au genou et s'implante dans cette région sur ce qu'on appelle *anticnémion* (*face antérieure
du tibia*), pas beaucoup au delà de l'articulation. Ce muscle fléchit à la 2
fois la jambe vers l'intérieur, la tire en haut dans une position en quelque sorte élevée, et met ainsi tout le membre dans la position où il se trouve principalement lorsque nous croisons l'une des jambes sur l'autre; le muscle qui vient après le précédent, et qui a son point de

Ch. 55, l. 4. *γόνυ*] *κνήμην* A. — 11. *ᾧ* Gal[d].

χὴν μὲν ἐκ τῶν τῆς ἥϐης ὀστῶν ἔχει, καταφύεται δὲ εἰς αὐτὸ μά-
λιστα τὸ ἀντικνήμιον, ἔσω καὶ αὐτὸς ἐπιστρέφων τὴν κνήμην μετὰ
3 τῆς ἐπὶ τὸ ὄρθιον ἀνατάσεως. Ὁ δὲ ὡς τὸ πολὺ μὲν ἐκ τῶν ἔνδον
μερῶν, ἐνίοτε δὲ βραχὺ τοῦ προειρημένου κατωτέρω συνεχὴς αὐτῷ
μῦς, ὁμοίως τένοντι καταφυόμενος εἰς τὸ ἀντικνήμιον, κάμπτει τε
ἅμα καὶ πρὸς τοὐκτὸς περιστρέφει τὴν κνήμην λοξὴν, ὥσπερ καὶ
4 αὐτὸς κινεῖται λοξός. Τούτῳ τῷ μυῒ συνεχῆ τὴν ἔκφυσιν ἔχοντες
ἄλλοι τρεῖς εἰσι μύες, ὁ μὲν ἐκ τῶν ἔξω μερῶν τοῦ σκέλους, εὔ-
ρωστος ἱκανῶς, πρὸς τοὐκτὸς ἐπιστρέφων τὴν κνήμην· οἱ λοιποὶ
δὲ δύο, τὴν μὲν ἄνωθεν ἀρχὴν ἐκ τῶν ἔνδον μερῶν ἔχουσι τῶν
5 προειρημένων δυοῖν. Καθήκουσι δὲ ὁ μὲν ἐφεξῆς τῶν προειρημένων
δυοῖν εἰς τὸ τῆς κνήμης ἔνδον οὐ μετὰ πολὺ τῆς διαρθρώσεως, κάμ-
πτων, ἀλλὰ καὶ πρὸς τοὐκτὸς ἐπιστρέφων αὐτὴν διὰ τένοντος ἠρέμα

départ sur les os du pubis, s'implante principalement sur la partie an-
térieure même du tibia (*droit interne*); lui aussi tourne la jambe en de-
dans, tout en la tirant en haut de manière à lui donner une position
3 perpendiculaire. Le muscle contigu au précédent, lequel est situé ordi-
nairement à la partie intérieure, mais quelquefois aussi un peu au-
dessous de lui, s'implante à la manière d'un tendon sur la partie
antérieure du tibia (*demi-tendineux*); il imprime à la jambe un mouve-
ment oblique composé de flexion et de rotation en dehors, attendu que,
4 d'ailleurs, le muscle lui-même a aussi un mouvement oblique. Il y a
trois autres muscles qui ont une origine contiguë à celle de ce muscle-là,
et dont l'un est un muscle assez vigoureux situé à la partie extérieure du
membre (*biceps fémoral*), et qui tourne la jambe en dehors, tandis que
les deux autres (*demi-membraneux, et faisceau isolé du grand adducteur*)
ont leur origine supérieure au côté intérieur de celle des deux muscles
5 dont nous avons parlé plus haut. Le muscle qui vient à la suite des deux
muscles que nous venons de désigner aboutit à la partie intérieure de
la jambe, pas beaucoup au delà de l'articulation; il ne fléchit pas seu-
lement la jambe, mais il la tourne aussi en dehors à l'aide d'un tendon

6. ἐπιστρ. Gal. — 7. κεῖται Gal., Ras. — 8. τοῦ om. AB Mor. Gal^{k}. — 11-12. οὐ τὸ πολύ A: οὐ πολύ B Mor. Gal^{k}. — 12. Καθήκ..... δυοῖν om. AB Mor. —

στρογγύλου· ὁ δὲ αὖ πάλιν ἐφεξῆς τῷδε τοῖς ἔνδον μέρεσι τοῦ μηροῦ
τοῖς πρὸ τῆς κατὰ γόνυ διαρθρώσεως ἐμφύεται, ἔσω ἅμα τε καὶ ἐπὶ
ὀλίγον ὀπίσω τὸν μηρὸν ἀπάγων. Δέκατον δὲ αὐτὸν ὠνόμασα τῶν 6
κινούντων τὸ κατὰ ἰσχίον ἄρθρον· ἀνεβαλλόμην δὲ τὴν διδασκαλίαν
αὐτοῦ ποιήσασθαι μετὰ τῶν κινούντων τὴν κατὰ γόνυ διάρθρωσιν,
ἐπειδὴ σὺν αὐτοῖς τέτακται. Οἱ δὲ ὑπόλοιποι τρεῖς μύες τῶν κατὰ 7
τὸν μηρὸν οἱ πρόσθιοι τὴν κατὰ γόνυ διάρθρωσιν ἐκτείνουσιν, οἱ
μὲν ἐπιπολῆς εὔρωστοι δύο τελευτῶντες εἰς ἰσχυρὸν τένοντα πλα-
τὺν, ὁ δὲ ὑπὸ τούτοις κατακεκρυμμένος εἴς τε τὴν ἀρχὴν ἐμφύεται
τῆς ἐπιγονατίδος, καὶ τοῖς περὶ τὴν διάρθρωσιν ἐπιφύεται συνδέ-
σμοις. Οὗτοι μὲν οὖν ἅπαντες οἱ εἰρημένοι μύες ἄνωθεν κάτω φε- 8
ρόμενοι διὰ τοῦ μηροῦ, τὴν κατὰ γόνυ διάρθρωσιν κινοῦσιν, ὡς μὲν
ἐγώ φημι, δικαιότερον ἂν ἐννέα ῥηθέντες, ἵνα δὲ μὴ δοκῶμεν ἐπὶ
σμικροῖς διαφέρεσθαι πρὸς τοὺς πρεσβυτέρους ἡμῶν, ὀκτώ· μι-

légèrement arrondi, tandis que le muscle qui vient à son tour après le
précédent s'implante sur la partie intérieure du fémur, dans la région
qui précède l'articulation du genou; il meut la cuisse à la fois en dedans
et légèrement en arrière. J'ai appelé (v. p. 474) ce muscle le dixième 6
d'entre ceux qui meuvent l'articulation de la hanche, et j'avais différé
d'exposer son parcours entier jusqu'au moment où je parlerais des mus-
cles qui meuvent l'articulation du genou, parce qu'il est placé dans leur
voisinage. Des muscles situés à la cuisse il y en a trois dont il nous reste 7
à parler; ces muscles se trouvent à la partie antérieure et mettent l'ar-
ticulation du genou dans l'extension, les deux muscles superficiels, qui
sont des muscles robustes, en aboutissant à un tendon large et vigoureux
(*vaste externe et droit antérieur*), tandis que le muscle placé au-dessous
des précédents, et qui est caché (*vaste interne et crural*), s'implante sur
le commencement de la rotule et se soude aux ligaments qui entourent
l'articulation. Tous ces muscles dont nous venons de parler, et qui se 8
portent de haut en bas en traversant la cuisse, meuvent l'articulation du
genou; à ce que je prétends, on aurait plutôt raison de dire qu'il y en
a neuf, mais, pour que nous n'ayons pas l'air de nous écarter de nos pré-
décesseurs sur des points de peu d'importance, je les compterai pour

4. ἀνεβαλόμην AB Gal[d]. — Ib. τε AB Mor.

κρὸς δέ τις ἄλλος ἐγκατακέκρυπται τῇ διαρθρώσει κατὰ αὐτὴν τὴν ἰγνύαν σύνδεσμον ἔχων τὴν κεφαλὴν ἰσχυρὸν καὶ στρογγύλον, ἐκ-
9 πεφυκότα κατὰ τὸν ἔξω κόνδυλον τοῦ μηροῦ. Καθήκει δὲ οὗτος εἰς τὸ τῆς κνήμης ὀστοῦν λοξός ϖως μᾶλλον, διὰ τῶν ὀπίσω μερῶν, ἐποχούμενος τῇ διαρθρώσει, κάμπτειν αὐτὴν ϖεφυκώς.

νϛʹ. Περὶ τῶν κατὰ τὴν κνήμην μυῶν, ὑπὸ ὧν ὅ τε ϖοὺς ὅλος καὶ οἱ δάκτυλοι κινοῦνται.

1 Τεσσαρεσκαίδεκα μύες ἐν κύκλῳ ϖερίκεινται τῇ κνήμῃ, ἑπτὰ μὲν
2 ἐκ τῶν ὀπίσω μερῶν, ἑπτὰ δὲ ἐκ τῶν ϖρόσω. Τῶν μὲν οὖν ὀπίσω τεταγμένων τρεῖς μὲν εἰς τὸ τῆς ϖτέρνης ὀστοῦν τελευτῶσιν, τρεῖς δὲ τούς τε δακτύλους κάμπτουσι καὶ τὴν διάρθρωσιν ὅλου τοῦ ϖοδὸς, ὁ δὲ ἕβδομος εἰς τένοντα τελευτήσας ὑποφύεται τῷ ψιλῷ καὶ ἀσάρκῳ τοῦ ϖοδὸς ἅπαντι ϖλατυνόμενος· ϖρῶτον μὲν γὰρ ὑποτεί-

huit; cependant il y a encore un autre petit muscle caché dans l'articu-lation au niveau de la fosse poplitée et pourvu d'un ligament arrondi à tête vigoureuse, lequel prend son origine sur le condyle extérieur du
9 fémur (*poplité*). Ce muscle aboutit, en traversant la région postérieure dans une direction qui est en quelque sorte un peu oblique, au tibia, en flottant sur l'articulation qu'il est destiné à fléchir.

56. DES MUSCLES DE LA JAMBE QUI MEUVENT TOUT L'ENSEMBLE DU PIED AINSI QUE LES DOIGTS.

1 Quatorze muscles entourent circulairement la jambe, sept à la partie
2 postérieure, et sept à la partie antérieure. Parmi les muscles situés en arrière de la jambe, il y en a trois qui aboutissent à l'os du talon (*jumeaux et soléaire*), trois qui fléchissent les doigts et l'articulation mobile de tout le pied (*long fléchisseur divisé en deux et tibial postérieur*), tandis que le septième, qui se termine en tendon, tapisse, en s'aplatissant, toute la partie nue et décharnée du pied (*plantaire grêle*) : en effet, ce muscle s'étend d'abord sous une forme aplatie au-dessous de la surface

Ch. 56, l. 8. οἱ τρεῖς... οἱ τρεῖς AB Mor., Gal^{k}. — 9. καὶ τὴν διάρθρ. om. AB Mor. — 11. ϖρῶτον μέν om. AB Mor., Ras. — Ib. γάρ ex em.; om. AB Mor. Gal., Ras. — 11-p. 478, l. 1. ὑποτείνεται om. AB Mor.

νεται τῷ τῆς πτέρνης ὀστῷ κάτωθεν πλατυνθείς· ἔπειτα δὲ, ὡς
εἶπον, ὅλῳ τῷ ποδί. Τούτου δὲ ἡ χρεία, δυσπερίτρεπτόν τε καὶ τε- 3
ταμένον καὶ σκληρὸν, ἔτι δὲ ψιλὸν τριχῶν, εὐαίσθητόν τε κατα-
σκευάσαι τὸ καλούμενον πέλμα· τῶν δὲ εἰς τὴν πτέρναν ἐμβαλ-
λόντων ἀπάγειν ὀπίσω μετὰ αὐτῆς ὅλον τὸν πόδα. Οἱ μὲν οὖν ὄπισθεν 4
μύες τῆς κνήμης οὕτως ἔχουσιν· τῶν δὲ ἔμπροσθεν ὁ μὲν ἀνατείνων
ὅλον τὸν πόδα καὶ καταφυόμενος εἰς τὸν ταρσὸν μέγιστός ἐστι τῶν
προσθίων μυῶν· ὁ δὲ παρακείμενος αὐτῷ καὶ μέρος αὐτοῦ νομιζό-
μενος εἶναι εἰς τὸ πρῶτον ὀστοῦν ἐμφύεται τοῦ μεγάλου δακτύλου,
ἀνατείνων αὐτὸν ἀτρέμα λοξόν· ἐφεξῆς δὲ τούτων ἐστὶν ἀπονεύρω-
σις εἰς ὅλον τὸν μέγαν δάκτυλον ἐμβάλλουσα κατὰ μῆκος, ὑπὸ ἧς
ἐκτείνεται. Ποιεῖται δὲ τὴν ἔκφυσιν ὁ τῆς ἀπονευρώσεως ταύτης μῦς 5
ἰσχνὸς ὢν ἱκανῶς, ἐκ τῆς μεταξὺ χώρας κνήμης τε καὶ περόνης,
ἀμφοτέρων ἀντιλαμβανόμενος τῶν ὀστῶν· ὅταν δὲ ἐγγὺς ᾖ τῷ με-
γάλῳ δακτύλῳ, σύνδεσμόν τινα διεξέρχεται τοιαύτην ἔχοντα χρείαν

inférieure de l'os du talon, et ensuite, comme je viens de le dire, au-
dessous de tout le pied. L'utilité de ce muscle consiste à rendre la par- 3
tie qu'on appelle plante du pied tendue, dure et difficile à déplacer, et,
de plus, à y empêcher la croissance de poils et à la pourvoir d'une sen-
sibilité exquise, tandis que l'utilité des muscles qui s'implantent sur le
talon consiste à mouvoir en arrière cette partie, et avec elle tout le
pied. Telle est la disposition des muscles de la partie postérieure de la 4
jambe; quant aux muscles de la partie antérieure, celui qui relève tout
le pied et qui s'implante sur le tarse (*tibial antérieur*), est le plus grand
des muscles antérieurs; le muscle placé à côté et qu'on considère comme
une partie du précédent (*long abd. du gros orteil* chez les singes), s'im-
plante sur le premier os du grand orteil, et le relève dans une direc-
tion légèrement oblique; après ces muscles vient une aponévrose qui
s'implante sur toute la longueur du grand orteil, que cette aponévrose
met dans l'extension. Le muscle de cette aponévrose, muscle qui est as- 5
sez grêle, prend son origine dans l'espace intermédiaire entre le tibia et
le péroné, et il a des points d'attache sur les deux os; lorsqu'il est arrivé
dans le voisinage du grand orteil, il traverse un ligament qui lui rend les

14. ᾖ om. AB Mor.

οἷαν ἐπὶ τῶν ἁρμάτων οἱ κυκλίσκοι, διὰ ὧν τὰς ἡνίας διεκβάλλου-
6-7 σιν. Καὶ δύναιτο ἄν τις τοὺς τρεῖς μῦς τούτους ἕνα νομίζειν. Ὁ δὲ
μετὰ αὐτὸν, ὁ τοὺς δακτύλους ἐκτείνων, ἁπάντων μέσος κεῖται τῶν
8 ἔμπροσθεν μυῶν. Μετὰ δὲ τούτους τρεῖς ἄλλοι μύες εἰσὶν ἐκ τοῦ τῆς
περόνης ὀστοῦ τὴν ἔκφυσιν ἔχοντες, εἷς μὲν τὸν μέγαν δάκτυλον
κάμπτων τοῦ ποδὸς, ἕτερος δὲ ἰσχνὸς τὸν μικρὸν ἐκτὸς ἀπάγων, ὁ
9 δέ γε τρίτος ἀνατείνων ὅλον τὸν πόδα. Ἐφεξῆς δὲ αὐτῶν σχεδὸν
ἤδη πλησίον ἐστὶ τὸ μέσον τῆς περόνης, ὅθεν ὁ τρίτος ἐκφύεται
μῦς ὁ σιμῶν τὸν πόδα· δισχιδὴς δὲ οὗτος κατὰ τὴν ἔκφυσιν γί-
νεται τοὐπίπαν ἀνίσοις μέρεσι, καὶ διεξέρχεταί γε αὐτὸν μέσος ὁ
10 τὸν μικρὸν δάκτυλον ἐκτὸς ἀπάγων. Οἱ τρεῖς οὗτοι μύες εἷς ἐνομί-
11 σθησαν ἐνίοις διὰ τὴν κοινωνίαν τῆς πρώτης ἐκφύσεως. Ἔστι δὲ
καὶ κατὰ τὴν ἰγνύαν μῦς, τῷ μὲν μήκει βραχὺς, οὐ μὴν ἄῤῥωστός
γε καὶ ἀτρέμα πως λοξὸς, καὶ τὴν τῆς κνήμης καμπὴν οὐκ ἀκρι-

mêmes services que rendent, pour les chars, les anneaux par lesquels on
6 fait passer les rênes (*long extenseur propre du gros orteil*). On pourrait aussi
7 regarder ces trois muscles comme un seul. Le muscle suivant, qui met
les doigts dans l'extension, occupe le milieu de tous les muscles anté-
8 rieurs (*long extenseur commun des orteils*). Après ces muscles-là, il y en
a trois autres qui prennent leur origine sur l'os du péroné, et dont l'un
fléchit le gros orteil, tandis que le second, qui est grêle, met le petit
doigt dans l'abduction; le troisième, enfin, relève le pied tout entier
9 (*péronier antérieur, péronier latéral et court péronier-latéral*). Après [les
deux premiers de] ces muscles on est déjà arrivé à peu près au milieu
du péroné; or c'est là l'endroit où le troisième muscle, qui courbe le
pied, prend son origine; à l'endroit de son émission, ce muscle est
double, mais ses deux parties sont ordinairement inégales, et le muscle
10 qui met le petit doigt dans l'abduction le traverse au milieu. Quelques-
uns ont considéré ces trois muscles comme un seul à cause de la com-
11 munauté de leur origine. Il y a encore dans la fosse poplitée un muscle,
dont la longueur est peu considérable, il est vrai, mais qui cependant
est vigoureux, et dont la direction est en quelque sorte légèrement

4. τοῦτον Gal[d].; τούτους τούς AB Mor.; — 9. σείων B Mor. Gal[k].

βῶς εὐθεῖαν, ἀλλὰ ἐκκλίνουσαν ἠρέμα πρὸς τοὔκτὸς ἐργάζεται. Πεν-
τεκαιδέκατος οὗτος ἡμῖν ἀριθμείσθω μῦς τῶν κατὰ τὴν κνήμην ἔσχα- 12
τος, εἰρημένος ἐν τοῖς κινοῦσι τὴν κατὰ γόνυ διάρθρωσιν.

νζ'. Περὶ τῶν ἐν τῷ ποδὶ μυῶν.

Κατὰ δὲ τὸν πόδα τέτΊαρα γένη μυῶν ἐσῖιν, οὐχ ὡς ἐν τῇ χειρὶ 1
δύο, τρία μὲν ἐν τοῖς κάτω τοῦ ποδὸς, ἓν δὲ ἐν τοῖς ἄνω κατὰ τοῦ
ταρσοῦ τεταγμένον. Εἰσὶ δὲ οὗτοι μὲν οἱ μύες πέντε λοξῶν κινήσεων 2
ἐξηγούμενοι τοῖς δακτύλοις ἀνάλογον τοῖς ἐπὶ τῆς χειρὸς ἔξωθεν.
Οἱ δὲ ὑποκάτω τοῦ ποδὸς, ἑπΊὰ μὲν κἀνταῦθα τὰς ἀνάλογον τοῖς 3
ἐπὶ τῆς χειρὸς ἑπΊὰ μυσὶ λοξὰς κινήσεις ἕκασῖον τῶν δακτύλων
κινοῦντες· ὧν οἱ δύο καθάπερ ἐν τῇ χειρὶ τῶν πρώτων κατὰ τὸν
καρπὸν ὀσΊῶν ἀπεφύοντο, καὶ οὗτοι κατὰ τὸν πόδα τῶν πρώτων

oblique; ce muscle donne lieu à une flexion de la jambe qui n'est pas
rigoureusement droite, mais qui dévie légèrement en dehors. Comptons 12
ce muscle comme le quinzième et le dernier des muscles de la jambe,
quoique nous en ayons déjà parlé à propos de ceux qui meuvent l'arti-
culation du genou (*poplité*, — voy. chap. 55, p. 477, l. 1).

57. DES MUSCLES QUI EXISTENT AU PIED.

Au pied il existe quatre classes de muscles, et non pas deux comme à 1
la main; les muscles de trois de ces classes sont placés en dessous du
pied et ceux de la quatrième sont situés à la partie supérieure, sur le tarse.
Ces derniers muscles sont au nombre de cinq; ils président à des mou- 2
vements obliques des orteils (*pédieux* chez le magot) et correspondent
aux muscles placés sur la surface extérieure de la main (*extens. propres
des doigts* chez les singes, — v. p. 457). Quant aux muscles placés en des- 3
sous du pied, il y a d'abord également ici sept muscles, lesquels donnent
lieu à des mouvements obliques de chacun des orteils, mouvements
qui correspondent à ceux de sept muscles existant à la main; de même
que, dans la main, deux de ces muscles prenaient leur origine sur les
premiers os du carpe, ces mêmes muscles ont aussi, au pied, leurs points
d'émission sur les premiers os du tarse (*abd. du petit orteil et les trois courts*

Ch. 57, l. 6. τεταμένον AB Mor. — 9. λοξὰς om. AB Mor. Gal[d]., Gal[k].

κατὰ τὸν ταρσὸν, ἐπὶ πλεῖστον ἀπάγοντες τῶν ἄλλων δακτύλων
4 τοὺς ἔξωθεν· οἱ λοιποὶ δὲ πέντε μικρὸν ὕστερον εἰρήσονται. Ἄλ-
λοι δὲ ἐκ τῶν κάτω μερῶν εἰσι μικροὶ μύες, ἐκπεφυκότες τῶν τοὺς
δακτύλους καμπτόντων τενόντων, πρὶν ἀκριβῶς εἰς ἕκαστον αὐτῶν
5 σχισθῆναι. Τὸ δὲ ἔργον τούτων τῶν μυῶν κάμπτειν τὸ μέσον ἄρ-
θρον ἑκάστου δακτύλου· τοῖς γὰρ ἐσχισμένοις ἤδη τένουσιν ἕτεροι
μύες ἐπιφύονται τοῖς ἔνδον ἐν τῇ χειρὶ τῆς λοξῆς κινήσεως ἐξηγου-
6 μένοις ἑκάστῳ δακτύλῳ τὴν αὐτὴν ἀναλογίαν ἔχοντες. Τέτταρες
δέ εἰσι καὶ οὗτοι τὸν ἀριθμὸν, ὥσπερ κἀκεῖνοι· προσελθόντων δὲ
αὐτοῖς δυοῖν μὲν τῶν τοὺς ἐσχάτους δακτύλους ἐπὶ πλεῖστον ἀπα-
γόντων, οὓς προειρήκαμεν, ἑνὸς δὲ ἔτι τοῦ τὸν μέγαν προσάγον-
7 τος τῷ οἷον λιχανῷ τὸ σύμπαν πλῆθος ἑπτὰ γίνεται. Τρίτον δὲ
ἄλλο γένος ἐστὶ μυῶν ἐν τοῖς ποσὶ κάτω τῶν αὐτοῖς τοῖς ὀστοῖς

abduct. réunis du gros orteil); ces muscles mettent les orteils extérieurs
dans une abduction aussi forte que possible par rapport aux autres; nous
4 parlerons un peu plus bas des cinq autres. Ensuite il y a à la surface in-
férieure du pied d'autres petits muscles prenant leur origine sur les ten-
dons qui servent à fléchir les orteils avant que ces tendons se ramifient
5 complétement pour se rendre à chacun de ces membres. La fonction de
ces muscles consiste à fléchir l'articulation moyenne de chaque orteil
(*accessoires du long fléchisseur*) : en effet, après leur séparation, les ten-
dons donnent encore naissance à d'autres muscles qui correspondent
exactement aux muscles situés à la partie intérieure de la main (*lom-
bricaux*), muscles qui président au mouvement oblique de chaque doigt
6 (p. 460, l. 3). Les muscles dont il s'agit sont aussi au nombre de quatre,
de même que ces muscles de la main; si, à ces muscles, on en ajoute
deux qui mettent les derniers orteils dans une abduction exagérée et que
nous avons mentionnés plus haut (p. 480, l. 11), et, de plus, un muscle
qui rapproche le grand orteil de celui qu'on pourrait appeler l'indica-
teur (*adducteur du gros orteil*), il en résulte un nombre total de sept mus-
7 cles. A la plante du pied, il y a une troisième classe de muscles, les-
quels s'implantent sur les os mêmes; ces muscles correspondent à ceux

2. οἱ λοιποὶ... εἰρήσ. om. Gal^{d}., Gal^{k}. Mor. — 13. τῶν ἐν αὐτοῖς AB Mor. — 7. μικρότεροι μύες Gal. — 11. τι AB — Ib. τοῖς ὀστοῖς] ποσίν AB Mor.

*ἐπιπεφυκότων, ἀνάλογον τοῖς ἀγνοηθεῖσι τελέως ἐν χερσὶ οὓς δη-
λονότι θεάσῃ τοὺς τένοντας ἅπαντας ἐκτεμὼν, ὥσπερ κἀκεῖ.* Καὶ 8
*ἥ γε θέσις αὐτῶν πᾶσα, καὶ ὁ ἀριθμὸς, καὶ ἡ χρεία κατὰ τοὺς ἐν
τῇ χειρὶ προειρημένους· δύο γὰρ ἑκάστου δακτύλου τῆς πρώτης
διαρθρώσεως προτεταγμένοι κάμπτουσι μετρίως αὐτὴν, ἅμα μὲν
ἐνεργήσαντες ἰσόῤῥοπον, ἰδίᾳ δὲ ἑκάτερος ἐγκλίνων ἀτρέμα πρὸς
τὸ πλάγιον.* Εὑρίσκονται *δὲ ἐνίοτε συνεχεῖς ἀλλήλοις οὕτως ὡς* 9
ἕνα δοκεῖν εἶναι κατὰ ἕκαστον δάκτυλον.

νη'. Περὶ τῆς τῶν νεύρων διανομῆς.

Οὐδὲν τῶν τοῦ ζώου μορίων οὔτε κίνησιν ἣν προαιρετικὴν ὀνο- 1
*μάζουσιν, οὔτε αἴσθησιν ἔχει χωρὶς νεύρου, καὶ εἰ διατμηθείη τὸ
νεῦρον, ἀκίνητόν τε καὶ ἀναίσθητον εὐθέως γίνεται τὸ μόριον.*
Ἀ*ρχὴ δὲ τῶν νεύρων ἐστὶν ὁ ἐγκέφαλος, ὥσπερ καὶ τοῦ νωτιαίου* 2

de la main qui étaient restés entièrement inconnus et qu'on verra après
avoir enlevé avec un scalpel tous les tendons (*interosseux; courts fléchiss.
du gros et du petit orteil*), opération qui est également nécessaire dans
le cas dont il s'agit. En général, ces muscles correspondent exactement, 8
pour la position, le nombre et l'utilité, aux muscles analogues de la
main dont nous avons parlé plus haut (p. 460, l. 7) : en effet, deux
muscles placés au-devant de la première articulation de chaque orteil
lui impriment une flexion modérée, et, si ces muscles agissent simulta-
nément, ils empêchent toute déviation de cet orteil, tandis que chacun
des deux muscles agissant seul donne à l'orteil une légère déviation
latérale. Quelquefois on trouve ces muscles tellement adhérents entre 9
eux, qu'il semble qu'il n'y en ait qu'un seul pour chaque orteil.

58. DE LA DISTRIBUTION DES NERFS.

Aucune partie de l'animal n'est douée soit du mouvement qu'on ap- 1
pelle volontaire, soit de sensibilité, sans qu'il y ait un nerf, et, si on
coupe le nerf, la partie devient immédiatement immobile et insensible.
Le cerveau est le principe des nerfs aussi bien que de la moelle épi- 2

1. *τελέως μυσὶν* B Mor. — 3. *ἀριθμός*] *figura* Ras. — 5. *αὐτούς* Gal. (*Adm. anat.* II, IX.) — 6. *ἐγκλίνων*] *ἀμβλύνων* Gal. *Anat. adm.*

μυελοῦ, καὶ τὰ μὲν ἐξ αὐτοῦ τοῦ ἐγκεφάλου, τὰ δὲ ἐκ τοῦ νωτιαίου
3 πέφυκεν. Αὐταὶ μὲν γὰρ αἱ πρόσθιαι κοιλίαι αἱ κατὰ τὸν ἐγκέφαλον εἰς τὰ πρόσω φερόμεναι στενοῦνται κατὰ βραχὺ κώνου σχήματι παραπλησίως, ἄχρι περ ἂν ἐπὶ τὴν ἀρχὴν ἀφίκωνται τῆς ῥινός, ἀλλήλοις παρακείμεναι καὶ ψαύουσαι διὰ παντός, ὡς μηδὲν
4 εἶναι μέσον αὐτῶν, ὅτι μὴ τὴν λεπτὴν μήνιγγα. Ταύτην μὲν οὖν οὐ συναριθμοῦσι ταῖς ἀποφύσεσιν, ὅτι μήτε νεύρων ἐκφύσεις ἔχει,
5 καθάπερ αἱ ἄλλαι, μήτε ἐκπίπτει τῶν ὀστῶν ἐκτός. Τούτων δὲ ἑκατέρωθεν ἔν τε τοῖς δεξιοῖς μέρεσιν ἔν τε τοῖς ἀριστεροῖς ἐστιν ἀξιόλογον τῷ πάχει νεῦρον, ἐκφυόμενον μὲν ἐξ αὐτοῦ τοῦ ἐγκεφάλου, προερχόμενον δὲ εἰς τοὺς ὀφθαλμοὺς ἔξω τοῦ κρανίου διὰ τρήματος
6 ἴσον ἔχοντος εὖρος ἀκριβῶς τῷ πάχει τοῦ νεύρου. Τέτακται δὲ τὸ τρῆμα τοῦτο κατὰ ὃ πρῶτον ἡ χώρα τῶν ὀφθαλμῶν ἄρχεται γεννᾶσθαι, καὶ δόξουσί σοι θεασαμένῳ καθάπερ τινὲς ῥίζαι τὰ νεῦρα
7 ταῦτα εἶναι τῶν ὀφθαλμῶν. Διαλύεταί γε μὴν οὐκ εἰς πολλὰς ἶνας

nière, et les nerfs naissent en partie du cerveau lui-même, et en partie
3 de cette moelle. Les ventricules antérieurs du cerveau se rétrécissent peu à peu en se portant en avant, et présentent une forme analogue à celle d'un cône, jusqu'à ce qu'ils arrivent à la racine du nez (*caroncules mamillaires;* voy. liv. XXIV, ch. 5 et 6, p. 304, l. 6, et 309, l. 1), l'un adjacent à l'autre et se touchant en tout point de telle manière qu'il
4 n'y ait rien entre deux, si ce n'est la pie-mère. On ne compte pas ce prolongement parmi les [véritables] prolongements du cerveau, parce qu'il ne donne naissance à aucun nerf comme les autres et qu'il ne
5 dépasse pas les os. Aux deux côtés de ces prolongements, à droite et et à gauche, il y a un nerf d'une épaisseur considérable qui prend son origine sur le cerveau lui-même et qui s'avance vers les yeux (*nerf optique, — deuxième paire des modernes*), en sortant du crâne par un trou
6 dont la largeur répond exactement à l'épaisseur du nerf. Ce trou est situé à l'endroit où l'orbite commence à se former, et, quand vous aurez vu ces nerfs, ils vous sembleront constituer une espèce de racines pour les
7 yeux. Pour ces nerfs, la distribution ne se fait pas en un grand nombre

1. ἐκ om. AB Mor. — 2. Αὗται AB Gal. ed. — Ib. *αἱ* ante *κατά* om. AB Mor. Gal[s]., Gal[ss]. — Ib. *γάρ* om. Gal[s]. Mor. Gal[s]., Gal[ss].

ὥσπερ τὰ ἄλλα σύμπαντα νεῦρα τὰ διανεμόμενα τοῖς ὑποδεχομένοις
ὀργάνοις αὐτὰ, θαυμαστὸν δέ τινα τρόπον, ὃν οὔτε εἰπεῖν ῥᾴδιον,
οὔτε ἀκούσας τις ἴσως πιστεύσει πρὶν αὐτόπτης γενέσθαι τοῦ θεά-
ματος· εἰς γὰρ τὸν κατὰ εὐθὺ κείμενον ὀφθαλμὸν ἑκάτερον εἴσω
δυόμενον εἰς πλάτος ἐκτείνεται περιφυόμενον ἐν κύκλῳ σφαιροει-
δῶς τῷ κατὰ αὐτὸν ὑγρῷ τῷ καλουμένῳ ὑαλοειδεῖ, μηδέν τι παραλ-
λάττον ἐνταῦθα τῆς τοῦ ἐγκεφάλου φύσεως. Ἀλλὰ καὶ μόνοις τού- 8
τοις τοῖς νεύροις, πρὶν εἰς τὸν ὀφθαλμὸν ἐμφύεσθαι, σαφῶς ἔνδον
ἐστὶν αἰσθητός τις πόρος, ὅθεν αὐτὰ καὶ πόρους ἔνιοι τῶν ἀνατο-
μικῶν ἐκάλεσαν, οὐ νεῦρα· τινὲς δὲ ὀπτικὰ νεῦρα προσαγορεύου-
σιν, ἀπὸ τῆς ἐνεργείας τοὔνομα θέμενοι. Καὶ πρώτην γε ταύτην 9
συζυγίαν ἀριθμοῦσι τῶν ἀπὸ ἐγκεφάλου νεύρων, ἁπασῶν τῶν ἄλ-
λων οὖσαν μαλακωτάτην. Ἑτέρα δὲ ἐφεξῆς ἐστι συζυγία, τοῖς κι- 10
νοῦσι τοὺς ὀφθαλμοὺς μυσὶ διανεμομένη σκληροτέρα τε καὶ μικρο-
τέρα πολλῷ τῆς προειρημένης, καὶ διεκπίπτει γε τοῦ κρανίου

de fibres (*faisceaux*) comme pour tous les autres nerfs, qui se distri-
buent dans les parties auxquelles ils sont destinés, mais d'une façon mer-
veilleuse qu'il n'est pas facile de décrire et à laquelle on ne croira peut-
être pas en l'entendant, avant d'avoir vu le spectacle de ses propres yeux :
en effet, chacun de ces deux nerfs, en pénétrant dans l'œil qui lui cor-
respond, s'étend en largeur, et il s'épanouit sous forme d'une sphère sur
tout le liquide situé au-devant de lui et qu'on appelle *corps vitré;* dans
cet endroit, le nerf ne s'écarte en rien de la nature du cerveau. De plus, 8
ces nerfs sont les seuls qui contiennent manifestement dans leur inté-
rieur, avant de s'implanter sur les yeux, un canal perceptible aux sens,
raison pour laquelle quelques anatomistes les ont aussi appelés *canaux,*
et non pas *nerfs,* tandis que d'autres les nomment *nerfs visuels*, leur don-
nant un nom emprunté à leur fonction. On compte cette paire pour la 9
première qui vient du cerveau; elle est plus molle que toutes les autres.
Après cette paire vient une autre qui se distribue aux muscles présidant 10
au mouvement des yeux, et qui est beaucoup plus dure et plus petite
que la précédente (*oculo-moteur commun et externe; pathétique? — troi-
sième et sixième paire des mod.*); elle traverse le crâne près de cette paire

2. ὃν om. AB Mor. — 14-15. μακροτέρα AB Mor.; μαλακωτέρα Gal[15].

11 πλησίον ἐκείνης, ὀσΊῷ λεπΊοτάτῳ διοριζομένη. Παράκειται δὲ αὐτῇ
κατὰ τὴν διὰ τοῦ κρανίου Φορὰν, οὐ μὴν κατά γε τὴν πρώτην ἔκ-
φυσιν ἡ τρίτη τῶν νεύρων συζυγία, τὴν ἀρχὴν ἔχουσα κατὰ ὃ συνά-
12 πΊει τὸ πρόσθιον μέρος τοῦ ἐγκεφάλου τῷ ὄπισθεν. Καλοῦσι δὲ τὰ
νεῦρα ταῦτα μαλακὰ, πάμπολλα Φαινόμενα κατὰ τὴν πρώτην ῥίζαν.
13 Καθάπερ οὖν ἐκ πολλῶν Φαίνεται τῶν πρώτων συγκειμένη ῥιζῶν,
14 οὕτω καὶ κατασχίζεται πολυειδῶς. Πρῶτον μὲν οὖν αὐτῶν ἀποχω-
ρεῖ μόριον εἰς τὸ κάτω τῆς κεφαλῆς Φερόμενον, ἀγνοηθὲν τοῖς ἀνα-
τομικοῖς, κοινὸν δέ ἐσΊι τὸ τρῆμα τοῦ κρανίου, διὰ οὗ τοῦτο Φέρεται
κάτω καὶ τῆς καρωτίδος ἀρτηρίας τὸ λείψανον ἀναΦέρεται πρὸς τὸν
15 ἐγκέφαλον, ἓν κατὰ ἑκάτερον μέρος. Ὅπως μὲν οὖν ταῦτα τὰ νεῦρα
Φέρεται διά τε τοῦ τραχήλου καὶ τοῦ θώρακος εἰς τὰ κάτω τῶν
φρενῶν χωρία, καὶ ἥ τις αὐτῶν ἡ νομὴ, προϊὼν ὁ λόγος ἐξηγή-
σεται· νῦν δὲ ἐπὶ τὰ λοιπὰ μόρια τῆς τρίτης συζυγίας ἀνέλθωμεν.
16 Ἐκπίπ1ει δέ τι μόριον αὐτῆς καὶ παρὰ τὴν διάρθρωσιν τῆς γένυος

11 et n'en est séparée que par un feuillet d'os très-mince. Là où cette paire
traverse le crâne, mais non à l'endroit de sa première origine, elle a à
ses côtés la troisième paire de nerfs (*cinquième des modernes*), laquelle a
son origine à l'endroit où la partie antérieure du cerveau touche à la
12 partie postérieure (*voisinage de la protubérance annulaire*). On nomme
ces nerfs nerfs mous, et ils se montrent très-nombreux à leur première
13 origine. Or, de même que cette paire est manifestement composée d'un
grand nombre de racines premières (*filets d'origine*), elle se ramifie aussi
14 d'une manière très-variée. D'abord il s'en détache une partie qui se rend
aux organes situés au-dessous de la tête et qui est restée inconnue aux
anatomistes (*grand sympathique*); le trou du crâne qui livre passage à cette
branche pendant sa descente est le même que celui par lequel la partie
restante de l'artère carotide (*c. interne*) remonte vers le cerveau, et il y en
15 a un de chaque côté. La suite de mon discours (voy. p. 493, l. 14; p. 494,
l. 9, et p. 495, l. 8) fera connaître comment ce nerf se rend, en passant par
le cou et par la poitrine, dans la région située au-dessous du diaphragme, et
quelle est sa distribution; retournons, pour le moment, aux autres par-
16 ties de la troisième paire. Il y a aussi une partie de ce nerf (*auriculo-tem-*

15. τό AB Mor. Gal^{ss}.; om. Gal^{s}.

εἰς τὰ πρόσω τῶν ὤτων, τοῖς ἀπὸ τῆς πέμπτης συζυγίας ἥκουσιν
ἀναμιγνύμενον· ὅπως δὲ ἀναμίγνυται, μικρὸν ὕστερον ἀκούσῃ.
Τοῦτο μὲν οὖν μικρόν τι μόριον αὐτῆς ἐστιν· τὸ δὲ οἷον πρέμνον 17
ἁπάντων τῶν ἀπὸ αὐτοῦ πεφυκότων μερῶν ἐν λόγῳ κλάδων τε καὶ
ἀκρεμόνων δίχα μὲν σχίζεται τὸ πρῶτον, ἑκάτερον δὲ αὖθις ἐκεί-
νων εἰς πάμπολλα μόρια, τὸ μὲν ἕτερον εἴς τε τοὺς κροταφίτας μῦς
καὶ τοὺς μασητῆρας ὀνομαζομένους, ὅσοι τε ἄλλοι τῆς ἄνω γένυος
ἐκπεφύκασι, διανεμόμενον· ἔτι δὲ καὶ τοῖς οὔλοις ὀνομαζομένοις,
καὶ τοῖς ὀδοῦσι, καὶ τοῖς βλεφάροις, καὶ ταῖς ὀφρύσι, καὶ τῷ δέρ-
ματι παντὶ τῷ περὶ τὸ πρόσωπον, καὶ τῷ τῆς ῥινὸς χιτῶνι τῷ
ἔνδοθεν αὐτὴν ὑπαλείφοντι διὰ τούτων τῶν νεύρων ἡ αἴσθησις· τὸ
δὲ ἕτερον εἴς τε τὰς ῥίζας τῶν κατὰ τὴν κάτω γένυν ὀδόντων σχί-
ζεται κατὰ τὴν αὐτὴν ἀναλογίαν ἣν ἐσχίσθη τὸ πρότερον εἰς τοὺς
ἄνω. Καὶ τοῖς οὔλοις ἀπονεμήσεις ὁμοίως πέμπει καὶ τοῖς κάτω 18

poral) qui sort à côté de l'articulation de la mâchoire inférieure pour se
rendre aux parties situées au-devant des oreilles et se mêler aux rameaux
provenant de la cinquième paire (*septième des modernes, — branche tem-
poro-faciale,* voy. p. 489, l. 2); vous apprendrez, un peu plus bas, comment
s'opère ce mélange. Ce n'est là qu'une petite partie de la paire en ques- 17
tion; mais ce qui forme, pour ainsi dire, le tronc de toutes les parties
qui en proviennent à titre de branches et de rameaux se divise d'abord
en deux parties, et chacune de ces deux parties se divise à son tour en
un grand nombre d'autres; la première branche se distribue aux mus-
cles temporaux, aux muscles dits masséters et à tous les autres muscles
qui prennent leur origine sur la mâchoire supérieure, et, de plus, à ce
qu'on appelle les gencives, aux dents, aux paupières, aux sourcils et à
toute la peau qui enveloppe la face, et c'est encore à l'intervention de
ces nerfs que la tunique qui tapisse le nez à l'intérieur doit sa sensibilité;
l'autre branche se ramifie sur les racines des dents de la mâchoire in-
férieure dans la même proportion que la première branche s'est ramifiée
sur celles de la mâchoire supérieure. Elle envoie également des ramifica- 18
tions aux gencives et aux lèvres inférieures comme la première branche

1. τοῖς] ὅσοις Gal. ed.; ὀστοῖς A; ὀστᾶ B Mor. — 2. ἀναμιγνύμ. om. AB Mor., Gal. ed., Gal[ss]., Ras. — Ib. δέ om. AB Mor., Gal. ed. — 7. ἄνω om. AB Mor.

19 χείλεσιν ὥσπερ ἐκεῖνο τοῖς ἄνω. Τὸ πλεῖστον δὲ αὐτοῦ μέρος εἰς
τὸν τῆς γλώττης διανέμεται χιτῶνα, καὶ καλοῦσί τινες τὸ ζεῦγος
τοῦτο τῶν νεύρων γευστικὸν, ἐπειδὴ διὰ αὐτῶν ἡ τῆς γεύσεως αἴ-
20 σθησις γίνεται. Τὰ μὲν οὖν τῇ κάτω γένυϊ καὶ τῇ γλώττῃ κατα-
φυόμενα κατάντεσιν ὁδοῖς εὐλόγως ἐχρήσατο διὰ τὴν τῶν δεχομέ-
νων αὐτὰ θέσιν· τοῖς δὲ εἰς τὴν ἄνω γένυν φερομένοις ἑτέραν ὁδὸν
ἡ φύσις ἐτέμετο προσήκουσαν, καὶ πρῶτον μὲν εἰς τοὔμπροσθεν
διεβίβασεν αὐτὰ καὶ πλησίον τῶν κατὰ τοὺς ὀφθαλμοὺς χωρίων
ἤγαγεν, ἔπειτα ἐνταῦθα συνεχρήσατο τῷ τρήματι διὰ οὗ τοῖς μυσὶ
τῶν ὀφθαλμῶν ἐνέφυσε τὰ νεῦρα, ὡς διὰ ἑνὸς φέρεσθαι τρήματος
τὰ δύο νεῦρα, ἓν μὲν τὸ ἐπὶ τοὺς τῶν ὀφθαλμῶν μῦς μεριζόμενον,
ἕτερον δὲ τὸ πρὸς τὴν ἄνω γένυν ἀφικνούμενον, ὃ διεκπίπτει μὲν
ἅμα θατέρῳ, γενόμενον δὲ ἐν τῇ χώρᾳ τῶν ὀφθαλμῶν, εὐθὺ τοῦ
καλουμένου μήλου φέρεται, διατιτραμένων ἐνταῦθα καὶ ὁδὸν αὐ-

17 τὴν ῥάχιν κατακάμπτεται. Ἀποφύονται δὲ φλέβες, ἀπὸ μὲν τῆς ἄνω φερομένης ἡ δὲ πρώτη μὲν συζυγία κατὰ αὐτὰς τὰς φρένας, εἶτα ἑξῆς τινες τριχοειδεῖς πλείους εἴς τε τοὺς διαφράττοντας ὑμένας τὸν θώρακα καὶ τὸν περικάρδιον χιτῶνα, μετὰ ταῦτα δὲ ἱκανῶς ἀξιόλογος εἰς τὸ τῆς καρδίας οὖς τὸ δεξιὸν, ἐκ δὲ τοῦ ὠτὸς εἴς τε τὴν δεξιὰν κοιλίαν τῆς καρδίας κἀκ ταύτης εἰς τὸν πνεύμονα τὸν αὐτὸν ἔχουσα χιτῶνα τῷ τῶν ἀρτηριῶν, καί τις ἄλλη μικροτάτη κατὰ τὴν ἐκτὸς ἐπιφάνειαν τῆς καρδίας εἰς ὅλον τὸ σπλάγχνον διασπειρο-
18 μένη. Παρελθοῦσα δὲ ἡ κοίλη τὴν καρδίαν ἐπὶ τὰς σφαγὰς ἀναφέρεται, μικρὰς καὶ ἀραχνοειδεῖς φλέβας ἐπιπέμπουσα τοῖς διαφράτ-
19 τουσιν ὑμέσι τὸν θώρακα καὶ τῷ καλουμένῳ θύμῳ. Πλησίον δὲ

amènent le sang dans tout le corps; en effet, toutes les deux sortent du foie, mais l'une remonte par le diaphragme au cœur (*v. c. ascendante pour Galien, descendante pour les modernes*), tandis que l'autre se retourne en bas vers l'épine du dos (*descendante pour Galien, ascendante pour les mo-*
17 *dernes*). C'est au diaphragme même que la première paire de veines se détache de la veine cave ascendante (*v. diaphragmatiques supérieures*); après cela viennent quelques veines assez nombreuses, de l'épaisseur d'un cheveu, qui se rendent aux membranes servant de cloison à la poitrine et à la tunique dite péricarde (*v. médiastines et péricardiques*); puis une veine assez considérable se rend à l'oreillette droite du cœur, de cette oreillette au ventricule droit du même organe, et de là au poumon, ayant [alors] la même tunique que les artères (*abouchement de l'oreillette droite avec la veine cave et artère pulmonaire.* Voy. trad. de Galien, t. I, p. 284, note 1; p. 387, note 1); enfin, à la surface extérieure du cœur, la veine cave ascendante donne naissance à une autre veine très-petite
18 qui se dissémine dans tout l'organe (*v. cardiaques*). Après avoir dépassé le cœur, la veine cave [ascendante] remonte vers les fossettes claviculaires, en détachant quelques veines petites, ou de l'épaisseur d'un fil d'araignée, aux membranes qui servent de cloison à la poitrine (*médias-*
19 *tines*), et à l'organe appelé *thymus* (*v. thymiques*). Quand elle est déjà ar-

1. *ἑκατέρωθεν* Gal[s]. — 4. *αἵδε· πρ.* Gal. ed. — 6. *ἐπικάρδ.* Gal[s].

ἤδη τῶν σφαγῶν γενομένη δίχα σχίζεται καὶ ἀναφέρεται πρὸς ἑκα-
τέραν κλεῖδα, καὶ μετὰ ταύτας ἄλλη συζυγία φλεβῶν μεγάλων τά
τε ἄνω τοῦ θώρακος μεσοπλεύρια τρέφει καὶ τὰ περὶ τὰς ὠμοπλά-
τας χωρία καί τινας τῶν ἐν τῷ τραχήλῳ διὰ βάθους μυῶν. Ἀπὸ 20
τούτων δὲ τῶν φλεβῶν καὶ αἱ κατὰ τοὺς σπονδύλους ἐμπίπτουσαι τοῖς
τρήμασιν αὐτῶν φλέβες ἀναφέρονται μέχρι τῆς κεφαλῆς. Τὸ δὲ ὑπό- 21
λοιπον ἅπαν ἐπὶ τὰς μασχάλας ἐκτείνεται· οὔσης δηλονότι μιᾶς
φλεβὸς, ἄλλαι δέ τινες, μία μὲν κατὰ ἑκατέραν αὐτῶν μικρὰ τοῖς
ἀπὸ τοῦ σλέρνου φερομένοις ἐπὶ τὸν ὦμον μυσὶ διανεμομένη, δευ-
τέρα δὲ κατὰ τὴν μασχάλην μικρὰ πάνυ, τρίτη δὲ ἀξιόλογος εἰς
μὲν τὰ κάτω φερομένη διὰ τῶν αὐτῶν μερῶν, παρατεταμένη δὲ
ἑκατέρᾳ πλευρᾷ τοῦ θώρακος ἄνωθεν κάτω μέχρι τῶν ὑποχονδρίων
ὑπὸ τῷ δέρματι τεταγμένη μετὰ νεύρου λεπλοῦ, τετάρτη δὲ τῆς διὰ

rivée près des fossettes claviculaires, elle se divise en deux branches, et
remonte vers chacune des deux clavicules (*troncs brachio-céphaliques*);
après ces vaisseaux-là, il y a une autre paire de grandes veines qui nour-
rissent les espaces intercostaux supérieurs de la poitrine, les parties
voisines de l'omoplate, et quelques-uns des muscles de la région pro-
fonde du cou (*veines intercostales supérieures?*). De ces mêmes veines pro- 20
viennent aussi celles qui, au niveau des vertèbres, entrent dans les
trous de ces os et remontent jusqu'à la tête (*veines vertébrales*). Tout ce 21
qui reste de ces troncs s'étend vers les aisselles (*veines sous-clavières*),
c'est-à-dire qu'il y a une veine [qui sert de tronc], et quelques autres
[qui s'en détachent], à savoir, pour chaque tronc, une petite veine
qui se distribue aux muscles allant du sternum à l'épaule; une seconde
veine très-petite dans l'aisselle; une troisième veine considérable, qui
prend une direction descendante en traversant les mêmes parties,
étendue de haut en bas le long de chaque côté de la poitrine jus-
qu'aux hypocondres et placée sous la peau conjointement avec un
nerf mince (*veine mammaire interne*); enfin, la quatrième branche pro-
venant de la veine qui s'avance par l'aisselle vers le bras se distribue

2. ταύτης S; ταῦτα Gal. ed. — 2-3. τά τε] κατατάτλεται S. — 3-4. τοὺς ὠμοπλάτας Gal[3]. — 5. τῶν σπονδύλων S; τοὺς ἐξ τοῦ τραχήλου σπονδύλους Gal. ed. — Ib. ἐκπίπτουσαι. S. — 13. δὲ ἀποφύεται τῆς Gal.

μασχάλης ἐπὶ χεῖρα Φερομένης εἴς τε τοὺς ἐν τοῖς σιμοῖς τῆς ὠμοπλάτης
22 μῦς διανεμομένη. Τὸ δὲ λοιπὸν εἰς ὅλην τὴν χεῖρα κατασχί-
23 ζεται. Διὰ μὲν τοῦ βραχίονος ἄνωθεν κάτω Φέρεται διαπλεκομένη πᾶσι τοῖς μυσὶν αὐτοῦ· τῶν δὲ ἀποβλαστημάτων αὐτῆς ἕν τι καὶ αὐτὸ διὰ βάθους Φερόμενον ἑλίττεταί πως ἐν κύκλῳ περὶ τὸν βραχίονα τὴν ὀπίσω χώραν ἐκπεριερχόμενον αὐτοῦ, μετὰ δὲ ταῦτα κατὰ τὴν ἔξω τε καὶ πρόσω χώραν ἀναΦέρεται πρὸς τὸ δέρμα· τοὐντεῦθεν δὲ Φέρεται κάτω μέχρι τῆς διαρθρώσεως, εἶτα ὑπερβαῖνον τὸν ἔξωθεν τοῦ βραχίονος κόνδυλον παρὰ τὸ τοῦ πήχεως ὀστοῦν κάτω
24 Φέρεται ὑπὸ τῷ δέρματι. Τὸ δὲ ἄλλο πᾶν τῆς μεγάλης Φλεβὸς ἐπὶ μέσην ἀΦικνεῖται τὴν κατὰ ἀγκῶνα διάρθρωσιν ἅμα τῷ νεύρῳ τῷ πλησιάζοντι, τοῖς τε ἔνδον μέρεσι τῶν ἐνταῦθα μυῶν ἄχρι τῆς ἔνδον κεφαλῆς τοῦ βραχίονος ἀποΦύσεις ἐκτεῖνον, οὐδὲν ἧττόν τε διὰ
25 βάθους τοῖς ὀπίσω τε καὶ πρόσω. Πρὶν δὲ ἐπιβαίνειν τῆς διαρθρώ-

aux muscles placés à la surface concave de l'omoplate (*veine scapulaire*
22 *postérieure*). Le reste de la veine étend ses ramifications sur toute l'étendue du membre supérieur (*veine axillaire et ses troncs d'origine, pour*
23 *les modernes*). Elle traverse le bras de haut en bas, en étendant des réseaux sur tous les muscles de ce membre; une des branches de cette veine, traversant, elle aussi, la région profonde, se roule en quelque sorte circulairement autour de l'humérus, en parcourant toute la région postérieure du bras; après cela, elle remonte vers la peau dans la région extérieure et antérieure; à partir de là, jusqu'à l'articulation [du pli du coude], elle suit une direction descendante; puis, passant par-dessus le condyle extérieur de l'humérus, elle descend sous la peau en longeant
24 le cubitus. Tout le reste de la grande veine arrive sur le milieu de l'articulation du pli du coude (*v. basilique*), conjointement avec le nerf voisin, et étend ses ramifications d'abord sur la portion intérieure des muscles de cette région jusqu'au condyle intérieur de l'humérus, mais tout aussi bien à travers la région profonde, sur les portions postérieure
25 et antérieure de ces muscles. Avant de se placer sur l'articulation, la

8. ὑπερβαῖνον ex em.; ὑπερβαίνων S; ὑπερβαίνει Gal[s]., Gal. ed. — 9. παρά τε τοῦ Gal. ed.; κατὰ τοῦ S. — 13-14. ἀποφ..... πρόσω om. S. — 13. οὐδὲν δὲ ἧττον διά Gal[s]. — 14. τῆς ὀπ. τ. κ. πρ. χώρας Gal[s].

σεως εἰς πλείους σχίζεται Φλέϐας ὧν ἐπιπολῆς μέν εἰσιν αἱ πολ-
λαὶ, διὰ βάθους δὲ ἡ μεγίσ7η πασῶν. Αὐτῶν δὲ τῶν ἐπιπολαίων 26
οὔτε τὸ μέγεθος ἴσον, οὔτε ὁ ἀριθμός· δύο γὰρ αὗται τῆς χειρός
εἰσιν αἱ Φλέϐες, μία μὲν ἡ διὰ τῆς μασχάλης εἰς ἀγκῶνα Φερομένη,
ἣν μεγίσ7ην ὁρῶμεν τῶν ἐπιπολαίων ἁπασῶν τῶν κατὰ τὸν πῆχυν
Φλεϐῶν, δευτέραν δὲ ἐπὶ αὐτῇ τὸ μέγεθος εἶναι τὴν ὠμιαίαν, ἀπὸ μὲν
τῆς κατὰ ἀγκῶνα διαρθρώσεως ἀποτεταμένην τῇ κερκίδι, ἀφικνου-
μένην δὲ πρὸς τὸ κυρτὸν πέρας τοῦ κατὰ τὸν πῆχυν ὀσ7οῦ τὸ πρὸς
τῷ καρπῷ, κἄπειτα ἐντεῦθεν εἰς τὰ κάτω τῆς ἐκτὸς χώρας τοῦ
καρποῦ διανεμομένην. Αὕτη δὲ ἣν εἶπον μεγίσ7ην εἶναι τῶν ἐπιπο- 27
λῆς ἐξ ἀμφοῖν τῶν Φλεϐῶν γεννηθεῖσαν, ἐκ τῶν ἔνδον μερῶν τοῦ
πήχεως ἀρχομένη ἀναϐαίνει μὲν πρῶτον ἐπὶ τὴν κερκίδα, μετὰ δὲ
ταῦτα ὑπερϐαίνει ἐκτὸς, ἔνθα δὴ σχισθεῖσα ἑνὶ μὲν τῶν μορίων ἐπὶ
τὸ τῆς κερκίδος ἔρχεται πέρας τὸ πρὸς τῷ καρπῷ, θατέρῳ δὲ πρὸς

veine se divise en plusieurs branches, dont la plupart sont situées à la surface, quoique la plus grande de toutes traverse la région profonde.
Les branches superficielles n'ont pas [toujours] ni le même volume, ni 26
le même nombre; en effet, pour le bras, il existe les deux veines suivantes : une veine se porte au coude en traversant l'aisselle; c'est cette veine que nous reconnaissons à l'œil comme la plus grande de toutes les veines superficielles de l'avant-bras (*v. médiane*); tandis que nous voyons la veine humérale (*v. radiale*) occuper le second rang sous le rapport du volume, s'étendre à partir du coude le long du radius, arriver à l'extrémité convexe du cubitus située près du carpe, et se distribuer, en partant de ce point, à la partie inférieure de la région extérieure
du carpe.* Cette veine (*v. médiane*), qui, disais-je, était la plus grande 27
des veines superficielles, étant engendrée par les deux veines (*brachiale et humérale*), commence dans la région intérieure de l'avant-bras, et se place d'abord sur le radius; mais, après cela, elle passe à l'extérieur, où elle se divise en deux rameaux, dont l'un se rend à l'extrémité du radius, extrémité située près du carpe, tandis que l'autre arrive à l'extrémité du

4. ἀγκῶνα] αὐτήν Gal. — 7. ἐπιτετ. ἔνθα διασχισθ. S Gal. ed. — Ib. μορίων Gal². — 10. διανεμομένη S Gal². — 13. ἕκασ7ον ἔπειτα ἐπί S.

τὸ τοῦ ϖήχεως ἀφικνεῖται, ψαύουσα ἐνταῦθα τῆς ϖροειρημένης
28 φλεβὸς ἣν ἀπὸ τῆς ὠμιαίας σχιζομένην ἔφην γίνεσθαι. Καὶ τοίνυν
κἀν τῷ φλεβοτομεῖν ἤτοι τὰς τρεῖς ἴσας ἰδεῖν ἔσ?ιν, ἢ δύο μόνας, ἢ
29 ϖάσας ἀνίσους. Καὶ μέντοι καὶ τὰς ἐφεξῆς αὐτῶν τρεῖς τὰς ταπει-
30 νοτέρας ϖοτὲ μὲν ἴσας, ϖοτὲ δὲ ἀνίσους ἔσ?ιν ἰδεῖν. Σχίζονται δὲ
ὥσπερ αἱ ἔνδον τοῦ ϖήχεως φλέβες ἐν τοῖς κατὰ τὸν καρπὸν χω-
ρίοις εἰς ϖολλὰς ἐπιμιγνυμένας ἀλλήλαις, οὕτω καὶ αἱ ἐκτός· εἰς
ταὐτὸ γὰρ ἴασιν ἑνούμεναι ϖρὸς ἀλλήλας τε καὶ τὰς ἔνδον, ἐκτεί-
νονταί τε ὑπὸ ϖᾶν τὸ δέρμα τὸ κατὰ τὸν καρπὸν καὶ τὸ μετακάρ-
31 πιον καὶ τοὺς δακτύλους. Αἱ μὲν οὖν ἐπιπολῆς φλέβες οὕτως ἔχουσιν·
αἱ δὲ διὰ βάθους ὃν τρόπον αἱ ἐπιπολῆς ἐν τῷ δέρματι φέρονται
ἄνωθεν κάτω, οὕτω καὶ διὰ βάθους ἀλλήλοις διαπλέκονται, κἄπειτα
ἐξ αὐτῶν ϖάλιν ἕτεραι δύο γίνονται φλέβες ἀξιόλογοι τὸ μέγεθος,

cubitus; elle communique, dans cette région, avec la veine dont j'ai
parlé plus haut, et qui, disais-je, naît comme un rameau détaché de
28 la veine humérale. Aussi, quand il s'agit de saigner, on peut voir ou
les trois veines, ou seulement deux d'entre elles, présenter un volume
29 égal, ou encore toutes différer de volume. De même encore, on peut
voir les trois veines plus inférieures, qui viennent après les précédentes,
30 être tantôt égales et tantôt inégales entre elles. Les veines de la face extérieure de l'avant-bras présentent la même disposition que celles de la surface intérieure, lesquelles se divisent, dans la région du carpe, en un grand nombre de rameaux qui s'entremêlent entre eux: en effet, ces veines extérieures aboutissent au même point, en s'unissant aussi bien entre elles qu'avec les veines intérieures, et elles s'étendent sous toute la peau du
31 carpe, du métacarpe et des doigts. — Voilà quelle est la disposition des veines superficielles; quant aux veines profondément situées (*v. brachiales*), elles s'entrelacent entre elles de la même manière, dans la région profonde, que les veines superficielles le font sous la peau en marchant de haut en bas; puis ces veines profondes donnent de nouveau naissance à deux autres branches d'un volume considérable, dont la

2. σχιζομένων S. — 4. αὐτῷ S. — 6. Gal[s]., Gal. ed. — Ib. αἱ ἐκτὸς θέσεις τόν om. S Gal. ed. — 7. ϖολλὰς μικράς Gal[s].; ἐκτός S. — 12. καὶ αἱ διά S.

ὧν ἡ μὲν ταπεινοτέρα πρὸς τὰ τῆς χειρὸς ἔνδον ἀφικνεῖται μέρη
μέχρι τῶν μικρῶν δακτύλων ἐπιλαμβάνουσά τι καὶ τοῦ μέσου, ἡ ὑψη-
λοτέρα δὲ διὰ βάθους ἄχρι πολλοῦ φερομένη, ἐπειδὰν ἅψηται τοῦ
λοξοῦ μυὸς τοῦ μικροῦ τοῦ πρὸς τῷ καρπῷ τοῦ τὴν κερκίδα κινοῦν-
τος εἰς τὸ ἐκτὸς αὐτοῦ διεκπίπτει μέρος, πάντα διαπλέκουσα τὰ
ψαύοντα τῶν ὀστῶν. Τοὺς δὲ μεγάλους δακτύλους καὶ τὸ ὑπόλοιπον 32
τοῦ μέσου σὺν τοῖς προτεταγμένοις αὐτῶν μετακαρπίου τε καὶ καρ-
ποῦ ἑτέρα φλὲψ διαπλέκει τὴν γένεσιν ἐκ τῶν ἐπιπολαίων φλεβῶν
λαμβάνουσα. Τοιαύτη μὲν ἡ κατὰ τὰς χεῖράς ἐστι νομὴ τῶν φλεβῶν· 33
ἡ δὲ τῶν εἰς τὰ πρόσω τοῦ θώρακος φερομένων τοιάδε. Κατὰ μὲν 34
τὸ μέσον ἀμφοῖν τοῖν μεροῖν τῆς ἐσχισμένης διχῇ κοίλης ἡ ἐπὶ τὸ
δεξιὸν μέρος τοῦ στέρνου φερομένη φλὲψ ἀποφύεται κατὰ τόδε τὸ
μορίον, ἡ δὲ ἑτέρα κατὰ τὸ ἀριστερόν. Φέρονται δὲ διὰ ὅλου τοῦ 35
θώρακος ὑποτεταγμέναι τῷ στέρνῳ μέχρι τοῦ ξιφοειδοῦς χόνδρου,

plus inférieure arrive aux parties intérieures de la main, où elle atteint
les petits doigts et envahit une partie du doigt du milieu, tandis que
la branche la plus élevée, continuant pendant longtemps à parcourir la
région profonde pour sortir, au moment où elle touche le petit muscle
oblique situé près du carpe et qui meut le radius (*muscle court supi-
nateur*), à la surface extérieure, enveloppe de ses réseaux toutes les
parties qui touchent aux os. Une autre veine, qui tire son origine des 32
veines superficielles, étend ses réseaux sur les grands doigts et sur
ce qui reste du doigt du milieu, ainsi que sur les parties du carpe et
du métacarpe situées au-devant de ces mêmes doigts. Telle est la dis- 33
tribution des veines dans le membre supérieur ; voici quelle est celle des
veines qui se rendent à la partie antérieure de la poitrine. Au milieu des 34
deux branches qui proviennent de la bifurcation de la veine cave (*troncs
brachio-céphaliques*), la veine qui se rend au côté droit du sternum naît
de ce côté même, tandis que l'autre prend son origine sur le côté gauche
(*mammaires internes*). Situées sous le sternum, ces veines traversent toute 35
la poitrine jusqu'au cartilage xiphoïde et envoient un petit rameau dans

4. τοῦ ϖ. τ. κ. ex em.; τοῦ ϖ. καρποῦ S; ϖ. καρποῦ Gal. ed.; τοῦ κάτω ϖ. τῷ καρπῷ Gal[5]. — 6. Τοὺς δὲ μεγ. δακτ. ex em. Τοῖς δὲ μεγ. δακτύλοις S Gal. — 8. ἐκ om. S.

κατὰ ἕκασΊον μεσοπλεύριον ἀπόφυσιν ποιούμεναι μικρὰν, κἄπειτα διεκπίπΊουσαι ἔξω τοῦ θώρακος ἀνίσχουσι καὶ τοῖς τιτθοῖς ἀπονεμήσεις δοῦσαι τῷ λοιπῷ φέρονται κάτω τοῖς ὀρθίοις ὑποφυόμεναι
36 μυσίν. Ἕτεραι δὲ ἐπιπολῆς ὑπὸ τῷ κατὰ ὑποχόνδρια δέρματι γεννῶνται φλέβες ἐξ ἐπιμιξίας μορίων ἀπό τε τῶν εἰρημένων φλεβῶν ἀνίσχειν ἔξω παρὰ τὸν ξιφοειδῆ χόνδρον, ἔτι τε τῶν ἐν τοῖς ταύτῃ μεσοπλευρίοις, αἷς αὖ πάλιν ἕτεραί τινες εἰς ταὐτὸν ἥκουσιν ἀπὸ τῶν βουβώνων φερόμεναι, περὶ ὧν εἰρήσεται κατὰ τὴν οἰκείαν τάξιν.
37 Αὕτη μὲν ἡ νομὴ τῶν φλεβῶν ἐσΊιν ὅσαι τῆς κοίλης διχῇ σχισθείσης ἀποφύονται πρὶν ἅψασθαι τῶν κλειδῶν, κατὰ ἐκεῖνο μάλισΊα γεννώμεναι τὸ χωρίον, ἐν ᾧ μέγας ἀδὴν κεῖται προσαγορευόμενος ὑπὸ τῶν ἀνατομικῶν θύμος, ἔνθα καὶ ἄλλαι φλέβες ἀραχνοειδεῖς εἰς αὐτόν τε τὸν ἀδένα καὶ τοὺς διαφράτΊοντας ὑμένας ἐμφύονται,

chaque espace intercostal, puis elles remontent pour sortir à la région extérieure de la poitrine, et, après avoir donné des rameaux aux mamelles, le reste de ces veines descend en adhérant à la surface infé-
36 rieure des muscles droits. Superficiellement, sous la peau des hypocondres, se forment d'autres veines par suite du mélange de rameaux veineux provenant, d'un côté, des veines dont nous disions qu'elles remontent vers l'extérieur à côté du cartilage xiphoïde, et, d'un autre côté, des veines situées dans les espaces intercostaux de cette région; et d'autres veines qui viennent des aines (*v. épigastriques*), et dont nous parlerons en lieu opportun (p. 522, l. 5), aboutissent de nouveau au même
37 point que les veines provenant de ce mélange. Voilà quelle est la distribution des veines qui naissent de la bifurcation de la veine cave avant que cette veine ne touche aux clavicules; or ces veines se forment surtout dans la région où se trouve une grosse glande que les anatomistes appellent *thymus;* dans cette région naissent encore d'autres veines de l'épaisseur d'un fil d'araignée, qui s'implantent sur cette glande même et sur les membranes qui servent de cloison (*v. thymiques et médiastines*), tandis que d'autres veines, plus considérables que les précédentes, s'é-

2. ἀνίσχ. ex em.; ἀνίσχουσαι S Gal. — Ib. καὶ τοῖς Gal[s].; om. S Gal. ed. — 2-3. ἀπονέμησιν Gal'. — 8. ἀναφερόμεναι Gal. ed.; ἄνω φερ. Gal[s].

ἄλλαι δὲ μείζους τούτων πρός τε τὸν περικάρδιον χιτῶνα καὶ τὴν ἀπὸ τῆς καρδίας ἀναφερομένην ἀρτηρίαν ἐκτείνονται· κατὰ ὃ δὲ αἱ κλεῖδες ἐπίκεινται τοῖς τῆς κοίλης τμήμασιν, ὑπόκειται ῥίζα μεγίστη φλεϐὸς ἥ τις εὐθὺς ἀνίσχουσα διχῇ σχίζεται, δύο φλέϐας ἐργαζομένη μεγάλας ὧν ἡ μὲν ἑτέρα φέρεται διὰ τοῦ τραχήλου διὰ βάθους πρὸς τοὐπίσω τε καὶ κάτω, ἡ δὲ ἑτέρα πρὸς τὸ κάτω καὶ πρόσω, κἄπειτα αὖθις ἄνω φερομένη περιλαμϐάνει τὴν κλεῖν ἔξωθεν ἐπὶ τὴν προειρημένην, καὶ μιχθεισῶν αὐτῶν ἡ ἐπιπολῆς γεννᾶται σφαγῖτις ἑκατέρωθεν μία. Εἰσὶ δέ τινες κατὰ ταῦτα τὰ μόρια 38
φλέϐες ἀραχνοειδεῖς καὶ τριχοειδεῖς, αἵ τινες διὰ σμικρότητα μόλις ὁρᾶσθαι δύνανται· τῶν δὲ ἐναργῶς ὁρωμένων ἀεὶ τρεῖς εἰσι φλέϐες ἀπὸ τῆς περὶ τὴν κλεῖν ἑλιττομένης ἀρχόμεναι, μία μὲν ἀξιόλογος ἣν ὠμιαίαν καλοῦσι, δύο δὲ ἄλλαι ἑκατέρωθεν τῆς ὠμιαίας, ἡ μὲν ὑψηλοτέρα ἄχρι τῆς ἐπὶ τὸ ἀκρώμιον ἀναφέρεται χώρας εἰς τὰ πλη-

tendent vers la tunique dite *péricarde* et vers la grande artère qui remonte en partant du cœur (*v. péricardiques et aortiques*); à l'endroit où les clavicules recouvrent les branches de la veine cave, il se trouve au-dessous d'elles une racine de veine très-considérable, qui remonte immédiatement pour se diviser en deux branches et former deux grandes veines, dont l'une traverse les parties profondes du cou (*v. sous-clavière*) pour aboutir à la région postérieure et inférieure, tandis que l'autre arrive à la région inférieure et antérieure (*v. jugulaire profonde*); puis cette dernière reprend de nouveau une direction ascendante pour rejoindre la précédente et entoure la clavicule à l'extérieur; du mélange de ces deux veines naît la veine jugulaire superficielle, une de chaque côté. Dans cette 38
région, il existe encore quelques veines, de l'épaisseur d'un cheveu ou d'un fil d'araignée, qu'on peut à peine reconnaître à l'œil, tant elles sont petites; mais, en fait de veines qu'on voit manifestement, il y en a toujours trois tirant leur origine de celle qui s'enroule autour de la clavicule (*sous-clavière*); l'une, qui est considérable, est celle que nous nommons humérale, et les deux autres sont situées de chaque côté de cette veine; la plus élevée monte jusqu'à la région qui s'approche du sommet

1. τήν ex em.; τῶν S; κατὰ τῆς Gal'., ἀρτηρίας Gal. — 2. ἄνω φερομένης ἀπὸ κ. Gal. ed. — 6. πρός τε τὰ πρόσω καὶ τὰ πλάγια Gal'.

σιάζοντα σώματα διασπειρομένη, ἡ ταπεινοτέρα δὲ διὰ βάθους μᾶλλον κειμένη κατὰ τὸν ἀπὸ τοῦ στέρνου μέγαν μῦν ἄχρι τῆς κεφαλῆς
39 ἀφικνεῖται τοῦ βραχίονος. Λοιπὸν οὖν διηγήσασθαι χρὴ τῶν ἐπιπολαίων τε καὶ διὰ βάθους σφαγιτίδων τὴν νομήν· ἡ κοίλη φλὲψ ἀπὸ τοῦ ἥπατος ἐκφυεῖσα ἀνέρχεται μὲν ϖλησίον τῶν κλειδῶν, ϖρὸ δὲ τῶν κλειδῶν σχισθεῖσα ἀποφύσεις τινὰς τῶν μορίων αὐτῆς ἐκπέμπει ϖρός τε τὸ στέρνον καὶ τὰ ϖρῶτα μεσοπλεύρια καὶ τοὺς ἑπτὰ σπονδύλους τοῦ τραχήλου καὶ τὰς ὠμοπλάτας ὅσα τε τούτοις ἐφεξῆς ἐπί τε τὰς χεῖρας ὅλας, ὠμιαίαν τέ φημι καὶ τὴν διὰ μασχάλης ἥκατε*
40 καὶ τὰς λοιπὰς τὰς ἐπὶ τὰς χεῖρας φερομένας. Ὅσα δὲ ὑπόλοιπά ἐστι τῶν μεγάλων φλεϐῶν εἰς ἃς ἔφην ἐσχίσθαι τὴν κοίλην, ὄρθια ἀναφέρονται διὰ βάθους τοῦ τραχήλου μέσον ἔχοντα ἑαυτῶν τὸν στό-
41 μαχον. Ὀνομάζονται δὲ αὗται διὰ βάθους σφαγίτιδες αἵ τινες ϖεριελιχθεῖσαι ϖρὸς τὸ ἐκτὸς τὰς ἐπιπολῆς γεννῶσι σφαγίτιδας, ὡς

de l'épaule et se dissémine sur les parties voisines (*v. scapulaire*), tandis que la veine plus basse, placée sur le grand muscle qui vient du sternum, arrive, en traversant plutôt la région profonde, jusqu'à la tête
39 de l'humérus (*v. circonflexe?*). Il nous reste donc à exposer la distribution des veines jugulaires superficielles et profondes : la veine cave, qui prend son origine sur le foie, remonte jusque dans le voisinage des clavicules; mais, avant d'arriver à ces os, elle se bifurque, et forme avec une partie de sa substance des rameaux qu'elle envoie au sternum, aux premiers espaces intercostaux, aux sept vertèbres du cou, aux omoplates, aux parties faisant suite à celles que nous venons d'énumérer, et à tout le membre supérieur, je veux parler de la veine humérale, de celle qui
40 traverse l'aisselle et des autres veines qui se rendent au bras. Tout ce qui reste des grandes veines qui, disais-je, proviennent de la bifurcation de la veine cave, va droit en haut à travers les parties profondément situées du cou, l'œsophage se trouvant placé au milieu entre les deux veines.
41 On nomme ces veines, veines jugulaires profondes, qui s'enroulent pour arriver à l'extérieur, où elles donnent naissance aux veines jugulaires

7. τὰ μεσόπλευρα S. — Ib. ἐξ Gal. — 9. τε om. S Gal. ed. — 12. μέσον] ἔμπροσθεν S Gal. ed. — 14. ϖεριελιχθεῖσαι ex em.; ϖεριελιθεῖσαι S.

εἶναι τέτταρας τὰς πάσας, δύο μὲν διὰ βάθους, δύο δὲ ἐπιπολῆς. Τῶν μὲν οὖν διὰ βάθους σφαγιτίδων [πέρι] ἐν μέρει εἴρηται· τῶν δὲ 42 ἐπιπολῆς αἱ πλεῖσται τῶν ἀποφύσεων μικραί τέ εἰσι καὶ τοῖς ὑπὸ τὸ δέρμα μάλιστα διασπείρονται μέρεσι, δύο δὲ μέγισται, ἐκ δεξιῶν μὲν μία, ἐκ τῶν ἀριστερῶν δὲ ἄλλη, αἵτινες ἐναργῶς ὁρῶνται κατά τε τὰς χειρουργίας, καὶ πρὸς τούτοις ἐπειδὰν ἤτοι μέγιστον φωνῶσιν, ἢ κατέχωσιν ἔνδον τὸ πνεῦμα συστέλλοντες τὸν θώρακα καθάπερ οἱ ἀθληταὶ ποιοῦσιν ἐν ταῖς καταλήψεσι τοῦ πνεύματος· μετὰ μέντοι τὸ σχισθῆναι ἄνω φερόμεναι ἀξιόλογοι διασπείρονται πρός τε τὸ πρόσωπον ὅλον καὶ τοῖς ἀμφὶ τὰ ὦτα χωρίοις καὶ πρὸς τὴν κεφαλήν· διχῇ γὰρ ἑκατέρας σχισθείσης τὸ μὲν ἕτερον μέρος εἴς τε τὰ κατὰ τὴν κάτω γένυν ἅπαντα μεγάλοις ἀγγείοις διασπείρεται, μικροῖς δὲ εἰς τὰ κατὰ τὴν ἄνω· τὸ δὲ ἕτερον εἰς τὰ περὶ ὦτα χωρία καὶ τὴν κεφαλήν· ἐπιμίγνυται δὲ τούτων ἁπασῶν τὰ πέρατα πρὸς ἄλληλα· τὸ δὲ ὑπόλοιπον τῆς διὰ βάθους σφαγίτιδος

superficielles, de telle sorte que [dès lors] il existe quatre veines jugulaires, deux profondes et deux superficielles. On parlera, quand leur 42 tour sera venu (l. 15 sqq.), des veines jugulaires profondes; mais les veines jugulaires superficielles n'ont, pour la plupart, que des petits rameaux qui se disséminent surtout sur les parties placées au-dessous de la peau; quoiqu'elles aient deux branches très-volumineuses, l'une à droite et l'autre à gauche, branches qu'on voit manifestement dans les opérations chirurgicales et chez les gens qui vocifèrent très-fortement, ou qui retiennent leur respiration à l'intérieur en contractant la poitrine, comme le font les athlètes dans la rétention du souffle (voy. t. I, p. 656, *note*); après la bifurcation cependant, des branches considérables se disséminent en remontant sur toute la face, sur la région qui environne les oreilles, et sur la tête: en effet, chacune de ces veines se divisant en deux parties, l'une d'elles se dissémine sous forme de grands vaisseaux sur toute la région de la mâchoire inférieure et sous forme de petits sur celle de la mâchoire supérieure; l'autre branche se dissémine sur la région qui entoure les oreilles et sur la tête, et les extrémités de tous ces rameaux communiquent entre elles; ce qui reste de la veine

2. πέρι conj.; om. S. — 9. φερομένας Gal. — 13. κ. τ. ἄνω] κάτω S.

εἴς τε τὸν λάρυγγα καὶ τὸν στόμαχον ὅσα τε κατὰ βάθος τοῦ τρα-
43 χήλου τέτακται μυῶν μόρια. Λαμβάνει δὲ καὶ ἡ γλῶσσα μεγάλας
44 φλέβας ἀπὸ αὐτῆς. Τό γε μὴν ὑπόλοιπον τῆς διὰ βάθους σφαγίτι-
δος εἰς τὸν ἐγκέφαλον ἀναφερόμενον ἐμπίπτει μὲν τῷ κρανίῳ κατὰ
τὸ πέρας τῆς λαμβδοειδοῦς ῥαφῆς· ἔσωθεν δὲ γενόμενον κατασπεί-
ρεται εἴς τε τὸν ἐγκέφαλον αὐτὸν καὶ εἰς ἀμφοτέρας τὰς μήνιγγας.
45 Τοιαύτη μὲν ἡ νομὴ τῆς ἐπὶ τὰ ἄνω φερομένης κοίλης φλεβός·
μετέλθωμεν δὲ λοιπὸν ἐπὶ τὰς ὑπολοίπους τὰς κάτω τῶν φρενῶν ἀπὸ
τῆς ἐπὶ ὀσφύι κοίλης ἀρξάμενοι· αὕτη γὰρ ἡ φλὲψ ἐπειδὰν πρῶτον
ἔξω τοῦ ἥπατος γένηται, πρὶν ἐπιβῆναι τῆς ὀσφύος, ἔτι μετέωρος
οὖσα, κατὰ μὲν τὸ δεξιὸν αὐτῆς μέρος εἰς τὸν τοῦ νεφροῦ χιτῶνα
καὶ τὰ περὶ τοῦτον σώματα ἀραχνοειδεῖς τε καὶ τριχοειδεῖς φλέβας
ἐκπέμπει, κατὰ δὲ τὸ ἀριστερὸν ἀξιόλογον φλέβα διασχιζομένην
46 εἰς τὰ ταύτῃ σώματα. Αἱ δὲ εἰς αὐτὰς τὰς κοιλίας τῶν νεφρῶν ἐμ-
φυόμεναι φλέβες μέγισται πασῶν εἰσι τῶν τῆς κοίλης ἀπεσχισμέ-

jugulaire profonde se dissémine sur le larynx, l'œsophage et les parties
43 de muscles situées dans la région profonde du cou. La langue reçoit
44 aussi des veines considérables issues de cette veine-là. Le reste de la veine
jugulaire profonde remonte vers le cerveau et entre dans le crâne par
l'extrémité de la suture lambdoïde (*trou déchiré postérieur*), et, après y être
entré, ce vaisseau se dissémine sur le cerveau lui-même et sur les deux
45 méninges. Telle est la distribution de la veine cave ascendante; passons
maintenant à celles dont il nous reste à parler, c'est-à-dire aux veines
situées au-dessous du diaphragme, en commençant par la veine cave
placée sur les lombes: dès l'instant que cette veine est sortie du foie,
elle envoie, pendant qu'elle est encore dans un état de suspension et
avant de se placer sur les lombes, de son côté droit, des veines de l'é-
paisseur d'un fil d'araignée, ou d'un cheveu, à la tunique du rein et aux
parties qui environnent cet organe et de son côté gauche une veine con-
sidérable qui se ramifie sur les parties situées dans cette région (*v. cap-
46 sulaires et adipeuses*). Mais les veines qui s'insèrent sur les cavités mêmes
des reins (*v. rénales*) sont les plus grandes de toutes celles qui se dé-

1. τε τὰ κατά S. — 14. εἰς τοὺς νεφρούς Gal. ed.

νων. Ἐφεξῆς δὲ αὐτῶν ἐπὶ τὴν κύστιν φέρονται φλέβες ἃς οὐρητῆ- 47
ρας ὀνομάζουσιν· ἀπὸ μέντοι τῆς ἐπὶ τοὺς νεφροὺς ἐπὶ ἀμφοτέρους τοὺς ὄρχεις, ἀπὸ μὲν τοῦ δεξιοῦ ἐπὶ τὸν δεξιὸν, ἀπὸ δὲ τοῦ ἀριστεροῦ ἐπὶ τὸν ἀριστερὸν, ἄν τε ἄῤῥεν ᾖ τὸ ζῷον, ἄν τε θῆλυ· καὶ γὰρ καὶ τὰ θῆλυ κατὰ τὰ πλευρὰ τῆς μήτρας ἔχει τοὺς ὄρχεις πολὺ μικροτέρους τε καὶ πυκνοτέρους ἤπερ ἐπὶ τῶν ἀῤῥένων. Ἐφεξῆς δὲ αὐ- 48
τῶν κατὰ ἕκαστον σπόνδυλον ἐπὶ τὰς λαγόνας φέρονται φλέβες, ὧν τὰ πέρατα τροφῆς ἕνεκα πρὸς τοὺς κατὰ ἐπιγάστριον ἀναφέρονται μῦς, ὥστε οὐδὲν ἔτι ὑπόλοιπόν ἐστι τῆς ἐπὶ ὀσφύι κοίλης ἀποβλάστημα διηγήσεως δεόμενον, ἀλλὰ ὅπως διχῇ σχίζεται, λεκτέον ἤδη. Κατὰ τοίνυν τοὺς ὑστάτους τῆς ὀσφύος σπονδύλους οὐκέτι ὑποκει- 49
μένην ἔστιν εὑρεῖν τὴν ἀρτηρίαν τῇ φλεβί· τοὐναντίον δὲ ἅπαν γίνεται. Μετέωρος μὲν ἡ ἀρτηρία κατὰ τῆς φλεβὸς ὀχεῖται, τῶν 50
σπονδύλων δὲ αὐτῶν ἡ φλὲψ ψαύει. Καὶ τοίνυν καὶ σχίζεται κατὰ 51

tachent de la veine cave. A la suite de ces vaisseaux, des veines qu'on 47
appelle *uretères* se rendent à la vessie; mais c'est de la veine qui va aux reins que viennent celles qui se rendent aux deux testicules, de la veine droite celle qui va au testicule droit, et de la gauche celle qui va au testicule du même côté (*v. testiculaires et ovariques*), qu'il s'agisse d'un animal mâle ou d'un animal femelle : car la femelle a aussi des testicules placés sur les côtés de la matrice, quoique ces organes soient beaucoup plus petits et d'une structure beaucoup plus serrée que chez les mâles. Après ces vaisseaux, des veines se portent au niveau de chaque 48
vertèbre vers la région des iles, et les extrémités de ces veines remontent aux muscles abdominaux pour les nourrir; il ne reste donc plus aucun rejeton de la veine cave placée sur les lombes qui ait besoin qu'on expose son trajet; mais il importe que nous racontions maintenant comment cette veine se bifurque. Au niveau donc des dernières vertèbres 49
lombaires, on peut voir que l'artère n'est plus placée au-dessous de la veine; c'est tout le contraire qui a lieu. L'artère flotte sans attaches 50
sur la veine, et celle-ci touche aux vertèbres elles-mêmes. C'est donc dans 51
cette région que les deux vaisseaux se divisent chacun en deux branches,

4. κἂν..... κἂν S. — Ib. ᾗ τὸ ζῷον om. Gal.

τοῦτο τὸ μέρος ἑκάτερον τῶν ἀγγείων διχῇ, καὶ γίνεται τὸ σύμπαν
αὐτῶν σχῆμα τῷ Λ στοιχείῳ παραπλήσιον· ἑκάτερον δὲ τῶν συν-
52 θέντων ἀγγείων ἐπὶ τὸ κατὰ ἑαυτὸ Φέρεται σκέλος λοξόν. Ἐν δὲ τῇ
φορᾷ ταύτῃ πρῶτον μὲν ἀποφύσεις τῆς φλεβὸς ἑκατέρας ἰδεῖν ἔστιν
ἐπὶ τὰς ψόας ὀπίσω διανεμομένας· ἐφεξῆς δὲ τούτων εἰσὶν αἱ εἰς
τὰ σκέλη φερόμεναι πρόσω τε καὶ κάτω, πρῶτον μὲν εἰς τοὺς κατὰ
τὸ καλούμενον πλατὺ ὀστοῦν μῦς· ἀμφοτέρων δὲ τῶν φλεβῶν τὰ
πέρατα διεκπίπτει πρὸς τὰ ἐκτὸς πέρατα τοῦ πλατέος ὀστοῦ τοῖς
53 ἐνταῦθα μυσὶ διασπειρόμενα. Μετὰ ταύτας δὲ ἐπὶ τὰ κάτω μέρη τῆς
μήτρας φέρονται φλέβες ἀνωτέρω βραχὺ τῆς τοῦ τραχήλου πρώτης
ἐκφύσεως αἵ τινες εἴς τε τὸν τράχηλον αὐτὸν διασπείρονται καὶ εἰς
τὴν μήτραν ἑνούμεναι τοῖς πέρασι τῶν ἐπὶ τοὺς ὄρχεις φερομένων.
54 Ἀπὸ δὲ τῶν ἐπὶ τὰ κάτω τῆς μήτρας φερομένων φλεβῶν καὶ αἱ τῆς
55 κύστεως ἀποσχίζονται φλέβες. Ἐφεξῆς δέ ἐστιν ἄλλη συζυγία φλε-

et que l'ensemble de ces branches prend, eu égard à la forme, une
certaine ressemblance avec la lettre *lambda* (*veines iliaques primitives*),
tandis que chacun des deux vaisseaux qui représentent cette lettre se
52 porte obliquement vers la jambe située de son côté. Pendant ce trajet,
on peut voir, en premier lieu, des branches de chacune des deux veines
se distribuer en arrière sur les muscles psoas; après ces veines viennent
celles qui se portent en avant et en bas du côté des jambes, quoi-
qu'elles aillent d'abord aux muscles placés sur l'os appelé *large;* mais
les extrémités de ces deux veines se frayent un passage vers la partie
extérieure de l'extrémité de l'os large et se ramifient sur les muscles
53 situés dans cette région. Après ces veines, il y en a qui vont aux par-
ties inférieures de la matrice, un peu au-dessus de la première origine
du col, et ces veines se disséminent sur le col lui-même et sur l'uté-
rus, en s'unissant avec les extrémités de celles qui se rendent aux testi-
54 cules (*veines et plexus utérins*). Des veines qui se rendent aux parties
inférieures de la matrice se détachent également les veines de la vessie
55 (*plexus vésical*). Ensuite vient une autre paire de veines pourvues de

2. τῷ Υ στ. Gal'.; τὸ Η στ. S. — 8. μόρια Gal. ed. — 9. Μετὰ ταῦτα δέ S. — 12. τῶν ἐπὶ om. S. — 14. εἰσιν ἄλλαι συζυγίαι S.

ϐῶν δύο ἀρχὰς ἐχουσῶν, προϊοῦσαι δὲ αὗται συνάπλονται πρὸς
ἀλλήλας καὶ γεννῶσι Φλέϐα κατὰ ἑκάτερον μέρος μίαν εἰς τοὐκτὸς
Φερομένην διὰ τοῦ τῆς ἥϐης ὀσλοῦ σὺν τῷ ταύτῃ νεύρῳ. Καὶ τοίνυν 56
διασπείρεται τοῖς κάτω μυσὶ τοῦ τῆς ἥϐης ὀσλοῦ τὸ ἀγγεῖον τοῦτο
καθάπερ καὶ τὸ νεῦρον. Μετὰ δὲ ταύτας ἐσλὶν ἄλλη συζυγία Φλε- 57
ϐῶν ἀναφερομένη παρὰ τοὺς ὀρθίους μῦς, ἔπειτα εἰς ταὐτὸν ἰοῦσα
τοῖς πέρασι τῶν Φλεϐῶν αἳ διὰ τοῦ θώρακος εἰς ὑποχόνδρια κατα-
Φέρονται. Ἀπὸ δὲ τῆς αὐτῆς ῥίζης καὶ ἄλλο Φλέϐιον ἓν κατὰ ἑκά- 58
τερον μέρος εἰς τὴν μήτραν ἀφικνεῖται, διὰ ὧν Φλεϐῶν ἡ κοινωνία
μάλισλά ἐσλι τοῖς τιτθοῖς πρὸς τὰς μήτρας. Αὗται μὲν οὖν αἱ Φλέ- 59
ϐες ἐκ τῶν ἔνδον μερῶν κεῖνται τῶν ὀρθίων μυῶν καὶ αἱ ἀναφερό-
μεναι πρὸς τὰ ὑποχόνδρια συμφυεῖς εἰσιν αὐταῖς· ἑτέρα δὲ ἔξωθεν
αὐτῶν ἐσλι συζυγία τῶν καθηκουσῶν ἐπὶ τὸ αἰδοῖον, ἄν τε ἄῤῥεν,
ἄν τε θῆλυ τὸ ζῷον ᾗ. Τούτων δὲ ἑξῆς ἄλλη συζυγία Φλεϐῶν ἐπι- 60

deux racines, mais, en s'avançant, ces racines se réunissent et forment
de chaque côté une seule veine, qui se rend à la partie extérieure en
passant à travers l'os du pubis, conjointement avec le nerf de cette ré-
gion (*veine obturatrice*). Ce vaisseau se distribue donc, de même que le 56
nerf, aux muscles placés au-dessous de l'os du pubis. Après ces vais- 57
seaux vient une autre paire de veines (*v. épigastriques*) qui remonte le
long des muscles droits [de l'abdomen] et qui va ensuite au même point
que les extrémités de celles qui descendent par la poitrine aux hypo-
condres. De chaque côté, il existe encore une autre petite veine qui 58
provient de la même racine et qui se rend à la matrice; c'est par ces
veines que s'établit surtout la communication entre les mamelles et
la matrice. Ces veines sont donc placées à la surface intérieure des 59
muscles droits de l'abdomen, et il y a cohérence entre elles et celles
qui remontent vers les hypocondres; mais, à la partie extérieure de ces
mêmes muscles, il y a une autre paire de veines qui aboutissent aux par-
ties génitales, qu'il s'agisse d'un animal mâle ou d'un animal femelle
(*v. honteuses*). Après ces vaisseaux vient une autre paire de veines située 60

2. μίαν om. S Gal. ed. — 3. ταύτῃ ex em.; ταύτης S Gal. — 4. κάτω] προκειμένοις Gal[s]. — 5. ταῦτά S Gal. ed. — 7. τῶν Φλεϐῶν αἵ conj.; τῶν Φλεϐῶν ἃς Gal.; ἑαυτῆς S. — 7-8. καταΦέρονται conj.; καταΦέρεται S; καταΦέρεσθαι πρόσθεν εἶπον Gal. — 8. ἓν om. S.

πολῆς ὑπὸ τῷ δέρματι κειμένη ἣν καὶ θεώμεθα πάνυ σαφῶς ἐπὶ τῶν ἰσχνῶν ἀνθρώπων, ἀπὸ μὲν τῶν βουβώνων ἀρχομένας, ἀναφερομένας δὲ κατὰ τῶν λαγόνων.
61 Ἐντεῦθεν δὴ λοιπὸν ἡ μεγάλη φλὲψ εἰς τὸ σκέλος κατασχίζεται, πρώτην μὲν ἀπόφυσιν ἑαυτῆς κατὰ τῶν βουβώνων ποιοῦσα σὺν ἀρτηρίᾳ μικρᾷ τοῖς προσθίοις μυσὶ διανεμομένην, δευτέραν τε ἑτέραν κατωτέρω τε ἅμα κἀκ τῶν ἔνδον μερῶν ἄχρι τοῦ γόνατος ἐπιπολῆς διασπειρομένην, ἄλλας δὲ οὐκ ὀλίγας διὰ βάθους εἰς τοὺς μύας τοῦ μηροῦ.
62 Μικρὸν δὲ ἀνωτέρω τῆς κατὰ γόνυ διαρθρώσεως τριχῇ σχισθεῖσα τῷ μέσῳ μὲν αὐτῆς, ὃ δὴ καὶ μέγισΤόν ἐσΤι, διὰ τῆς ἰγνύος φέρεται κάτω, κἄπειτα ἐντεῦθεν διὰ τοῦ βάθους δῦσα τῆς καλουμένης γασΤροκνημίας ἀποφύσεις οὐκ ὀλίγας δίδωσι τοῖς ταύτης μυσὶ, τῷ δὲ ἔξωθεν μορίῳ τῷ δευτέρῳ κατὰ τῆς περόνης ἐκτὸς ἐπὶ τὴν κατὰ τὸν πόδα διάρθρωσιν ἐπιπο-

superficiellement sous la peau et que nous voyons très-manifestement chez les gens maigres; elles commencent aux aines et remontent par la
61 région des iles (*v. hypogastriques*). A partir de ce point, la grande veine se ramifie sur la [cuisse et la] jambe (*v. crurales, saphènes, péronières, tibiales, métatarsiennes et digitales, avec leurs anastomoses*) et elle forme la première branche sur les aines, laquelle branche se distribue, conjointement avec une petite artère, aux muscles antérieurs; puis elle forme une autre seconde branche située à la fois à la partie intérieure et au-dessous de la précédente, et qui se dissémine dans la région superficielle jusqu'au genou; enfin elle fournit un assez grand nombre d'autres branches qui traversent la région profonde et qui vont aux
62 muscles de la cuisse. Un peu au-dessus de l'articulation du genou, la grande veine se divise en trois branches, et, à l'aide de la branche du milieu, qui est la plus grande, elle descend à travers la fosse poplitée, et ensuite, à partir de là, elle s'enfonce dans la profondeur de ce qu'on appelle mollet, et donne des rameaux assez nombreux aux muscles de cette région; à l'aide de sa seconde branche, placée du côté extérieur sur la surface extérieure du péroné, elle atteint la partie superficielle de

1 ἃς Gal. — 4. ἀποσχίζεται S Gal. ed. — 6. τε ἑτέραν om. S Gal. ed. — Ib. κατωτέρω ex em.; κατώτερόν Gal[s].; ἑκάτερά S; ἑκατέρωθεν Gal. ed. — 9. αὐτῆς S; om. Gal[s]. — 10. καί om. S Gal. ed. — Ib. διὰ αὐτῆς εἰς ἰγνύας Gal. ed.

λῆς ἀφικνεῖται, τῷ τρίτῳ δὲ μέρει τῷ ἔνδον ἐπὶ αὐτὸ τὸ ἀντικνή-
μιον ἔρχεται, κἄπειτα ἐντεῦθεν ἐπὶ τὸ σφυρὸν ἀφικνεῖται ἐπὶ αὐτὸ
τῆς κνήμης τὸ πέρας ἐπιτηδειοτάτη πρὸς τὰς φλεβοτομίας οὖσα.
Καὶ μὲν δὴ καὶ τῆς διὰ βάθους τῆς μεγάλης τῆς εἰς τοὺς μῦς σχι-
ζομένης σὺν ἀρτηρίᾳ δύο πέρατα ποιησαμένης τὸ μὲν ἕτερον τὸ 63
μεῖζον εἰς τὸ τῆς κνήμης ἔσω φέρεται, τὸ δὲ ἕτερον διὰ τῆς μέσης
χώρας περόνης τε καὶ κνήμης εἰς τὰ πρόσω παραγίνεται τοῦ πο-
δὸς ἐπιμιγνύμενον ἀποβλαστήματι φλεβὸς ἑτέρας ἣν διὰ τῶν ἐκτὸς
τῆς κνήμης μερῶν παρὰ τὴν περόνην ἔφην καταφέρεσθαι, ὡς γί-
νεσθαι τέτταρας φλέβας εἰς τὸν πόδα κατερχομένας, μίαν μὲν ἔξω-
θεν πασῶν παρὰ τὸ κυρτὸν πέρας τῆς περόνης, ἑτέραν δὲ ἐκ τῶν
ἔνδον αὐτοῦ μερῶν, καὶ τρίτην, ὡς εἶπον, τὴν ἐκ τοῦ πρόσω που
τῆς τοῦ κνήμης πέρατος, καὶ τετάρτην ἐκ τῶν ἔνδον. Καὶ δὴ καὶ 64
περιλαμβάνουσι τὰς κυρτὰς ἀποφύσεις, ἡ μὲν πρώτη καὶ δευτέρα

l'articulation du pied; à l'aide de sa troisième partie, située du côté inté-
rieur, elle va à la partie antérieure même de la jambe, et ensuite, à par-
tir de là, elle arrive à la malléole, à l'extrémité même du tibia; cette
veine se prête éminemment bien aux saignées. De plus, la grande veine 63
qui traverse la région profonde et qui se ramifie sur les muscles con-
jointement avec une artère, forme deux aboutissants, dont l'un, qui est
le plus grand, se rend au côté intérieur de la jambe, tandis que l'autre
traverse la région intermédiaire entre le tibia et le péroné, et arrive à la
partie antérieure du pied, en se mêlant à un rejeton d'une autre veine,
laquelle, disions-nous, descend par la partie extérieure de la jambe le long
du péroné, de sorte qu'il existe quatre veines qui descendent vers le pied:
une plus rapprochée que toutes les autres du côté extérieur, à côté de
l'extrémité convexe du péroné, une autre à la partie intérieure de cette
protubérance, une troisième située, comme je l'ai dit, à peu près à la
partie antérieure de l'extrémité du tibia, et une quatrième située à la
partie intérieure [de cette protubérance]. En vérité, ces veines entourent 64
les apophyses convexes [des os] : celles que nous avons nommées la pre-

2-3. ἀφικν. παρὰ τὸ τ. κν. πέρ. Gal[s]. — 4. μεγάλης εἰς S Gal. ed. — 6. μεῖ-ζον ἀπὸ τῆς S Gal. ed. — 8. ἐμπηγνύ-μενον S Gal. ed. — Ib. ἔξω Gal. ed.; ἐκ S. — 12. τὴν ἐκ τοῦ om. S Gal. ed. — 13. Καὶ δὴ καί om. S Gal. ed.

65 ῥηθεῖσα τὰς τῆς περόνης, αἱ δὲ ἑξῆς δύο τὰς τῆς κνήμης. Ἐντεῦθεν
δὲ ἡ μὲν τετάρτη τὰ κάτω τοῦ ποδὸς ἅπαντα διαπλέκει, συνεπι-
μιγνυμένων αὐτῇ μορίων τῆς πρώτης· αἱ μέσαι δὲ αὐτῶν αἱ δύο
66 κατὰ τοῦ ποδὸς ἄνω διασπείρονται. Καὶ μέντοι καὶ τῆς πρώτης
μόριόν τι τὸ ἄνω τοῦ ποδὸς ἔχει, ὃ διαπλέκει τὰ μέρη τὰ κατὰ τὸν
67 μικρὸν μάλιστα δάκτυλον. Ἐπιμίγνυται δὲ καὶ ἄλλως πολυειδῶς ὡς
τὰ ἐν ταῖς χερσὶν ἄκραις οὕτω καὶ τὰ κατὰ τὸν πόδα μόρια τῶν
68 ἀγγείων. Αὕτη μὲν οὖν ἡ σύνοψις ἔστω σοι τῆς τῶν φλεβῶν ἀνα-
τομῆς· ἐφεξῆς δὲ περὶ τῆς τῶν ἀρτηριῶν ἐροῦμεν.

ξα'. Περὶ ἀρτηριῶν.

1 Ἀρχὴ μὲν τούτων ἐστὶν ἡ ἀριστερὰ κοιλία τῆς καρδίας· ἐντεῦθεν δὲ μία μὲν εἰς τὸν πνεύμονα κατασχίζεται διὰ τὴν ἐκ τῆς εἰσπνοῆς

mière et la seconde, l'apophyse du péroné; et les deux suivantes, celle
65 du tibia. A partir de ce point, la quatrième veine enveloppe de ses ré-
seaux toute la surface inférieure du pied (*plexus plantaire*), quoiqu'il s'y
mêle des parties de la première veine; mais les veines intermédiaires
entre les précédentes, et qui sont également au nombre de deux, se ra-
66 mifient sur la surface supérieure du pied. Cependant, la face supérieure
du pied est aussi occupée par un rameau de la première veine, et ce
rameau enveloppe surtout de ses réseaux les parties situées dans le voi-
67 sinage du petit doigt (*pl. dorsal*). Du reste, les rameaux vasculaires qui
existent dans le pied s'entremêlent d'une façon très-variée, de même
68 que cela a lieu pour la main. Que ceci vous serve donc de résumé de
l'anatomie des veines; nous allons parler maintenant de celle des artères.

61. DES ARTÈRES.

1 L'origine de ces vaisseaux est le ventricule gauche du cœur; partant de ce ventricule, une artère mince et pourvue d'une seule tunique, comme les veines, se ramifie sur le poumon, en vue de l'avantage que

1. τάς... τάς ex em.; τὰ... τά Gal[2].; om. S Gal. ed. — 2. τά om. S Gal[2]. 1[a] m. Gal. ed. — 5. τι om. S Gal. ed. — 6-7. ὡς τά ex em.; ὥστε S; ὥσπερ τά Gal[2].; ὥσπερ Gal. ed. — 7. καὶ τά ex em.; καί S Gal. — 8. οὖν om. S Gal. ed. — Ib. ἔσται Gal. ed. — Ib. τῶν om. S. — 9. τῆς om. S Gal. ed.

ὠφέλειαν λεπΊὴ καὶ μονοχίτων ὥσπερ αἱ φλέϐες, ἑτέρα δὲ διχίτων καὶ ϖαχεῖα ϖολὺ μείζων τῆσδε, καθάπερ τι σΊέλεχος οὖσα ϖασῶν τῶν ἀρτηριῶν, ὀνομάζεται δὲ ἀορτή. Ταύτην μὲν οὖν τὴν ἀρτηρίαν 2 ἐκφυομένην ἀπὸ τῆς καρδίας εὐθὺς ἰδεῖν ἔσΊι διχῆ σχιζομένην ἀνίσοις τμήμασι, κἄπειτα τὸ ἔλατΊον αὐτῆς μέρος ἄνω φερόμενον καὶ αὐτὸ ϖάλιν αὐτίκα σχιζόμενον ἀνίσοις τμήμασι, τὸ μὲν μεῖζον αὐτῶν ἐπὶ τὴν σφαγὴν ἀνατεινόμενον λοξὸν ἀπὸ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιὰ τοῦ θώρακος, ἀντίσΊροφον δὲ τὴν θέσιν ἔχον τὸ ἕτερον· ἀναφέρεται γάρ τοι καὶ τοῦτο λοξὸν ἐπὶ τὴν ἀρισΊερὰν ὠμοπλάτην τε καὶ μασχάλην ἀποφύσεις ἑαυτοῦ ϖοιούμενον ἐπί τε τὸ σΊέρνον καὶ τὰς ϖρώτας τοῦ θώρακος ϖλευρὰς καὶ τοὺς ἓξ τοῦ τραχήλου σπονδύλους, ἐπί τε τὰ ϖερὶ τὴν κλεῖν χωρία μέχρι τῆς ἀκρωμίας, μετὰ ἃς ἁπάσας τὸ ὑπόλοιπον ἐπί τε τὴν ὠμοπλάτην καὶ τὴν χεῖρα κα-

nous retirons de l'inspiration (*veine pulmonaire*); une autre artère épaisse, munie de deux tuniques, et beaucoup plus grande que la précédente, forme, pour ainsi dire, le tronc de toutes les artères; on l'appelle *aorte*. On peut voir cette artère, dès l'instant où elle prend son 2 origine sur le cœur, se diviser en deux parties inégales (*aorte ascend.; a. descend.*), ensuite sa branche la plus petite se porter en haut et se diviser immédiatement de nouveau en deux parties inégales, dont la plus grande se dirige obliquement en haut vers la fossette claviculaire en passant du côté gauche au côté droit de la poitrine (*partie de la crosse de l'aorte qui supporte le tronc brachio-céphalique et les carotides primitives*), tandis que l'autre branche (*reste de la crosse de l'aorte qui supporte la sous-clavière gauche*) occupe une position opposée à celle de la précédente : en effet, elle monte également dans une direction oblique vers l'omoplate et l'aisselle gauches (*a. sous-clavière et a. axillaire gauches*), en envoyant des rameaux de sa substance au sternum, aux premières côtes de la poitrine (*a. intercostales supér.*), aux six vertèbres du cou (*a. vertébrale*), à la région qui entoure la clavicule jusqu'au sommet de l'épaule, et, après toutes ces ramifications, le reste de l'artère se dis-

1. *καὶ λεπΊὴ καί* S. — 3. *οὖν* om. S. — 4. *διχῆ σχιζομένην* ex em.; *διασχιζομένην* S; *εὐθὺς δὲ κἀκείνην αὐτὴν* (*αὐτήν* om. Gal. ed.) *διασχιζομένην* Gal. — 8. *ἔχον ἑκάτερον* S. — 10. *μασχ. ἀποφύσεσιν ἀποφυόμενον ἐπί* S Gal. ed.

3 τασχίζεται. Τὸ δὲ ἐπὶ τὴν σφαγὴν ἀνατεινόμενον μέρος τῆς ἀρτηρίας τὸ μεῖζον ὅταν τῷ θύμῳ πλησιάσῃ, πρῶτον μὲν ἀπόφυσιν ἑαυτοῦ ποιεῖται παρὰ τὴν ἀρισλερὰν σφαγίτιδα, ἐπὶ αὐτῇ δὲ ἑτέραν παρὰ τὴν δεξιάν, εἶτα οὕτω τὸ ὑπόλοιπον ἅπαν αὐτῆς ὁμοίως κατασχίζεται τῇ λελεγμένῃ πρὸς τὴν ἀρισλερὰν ὠμοπλάτην τε καὶ μασχάλην ἀναφέρεσθαι· καὶ γὰρ ἐπὶ τὸ σλέρνον ἥκει ὡσαύτως τῇ φλεβὶ, τάς τε ἄλλας ἀποφύσεις ποιουμένη καὶ τὴν ἐπὶ τὸν τιτθὸν, ἥ τε ἐπὶ τὰς τοῦ θώρακος πλευρὰς συγκατασχίζεται καὶ συνδιεκπίπλει τοῦ θώρακος ἐκτὸς ἐπὶ τοὺς ὀρθίους μῦς ὥσπερ ἡ φλὲψ, ἥ τε διὰ τῶν κατὰ τοὺς πρώτους ἓξ τοῦ τραχήλου σπονδύλους τρημάτων φερομένη συγκαταβαίνει τε καὶ συγκατασχίζεται τῇ φλεβὶ πρὸς τὰς τοῦ νωτιαίου μήνιγγας, ἥ τε ἐπὶ ἀκρώμιον ὠμοπλάτην τε καὶ μασχάλην δεξιάν.

3 tribue sur l'omoplate (*a. scapulaire*) et sur le bras (*a. axillaire*). Quand la partie la plus volumineuse de l'artère, laquelle se dirige en haut vers la fossette claviculaire, est arrivée près du thymus, elle produit d'abord un rejeton de sa substance destiné à accompagner la veine jugulaire gauche (*a. carotide primit. gauche*), et, après cette branche, une autre pour accompagner la même veine du côté droit (*a. car. prim. droite, abstraction faite du tronc brachio-céphalique*); après cela tout le reste de cette artère se ramifie de la même manière que celle qui, disions-nous (p. 514 et 517), remonte vers l'omoplate et l'aisselle gauches (*a. s. clavière, a. axillaire*); en effet, de même que la veine, cette artère arrive au sternum, et produit aussi bien les autres branches que celle qui va aux mamelles, celle qui se ramifie, comme la veine, sur les côtes de la poitrine, et qui pénètre ainsi qu'elle à l'extérieur de cette cavité pour arriver aux muscles droits [abdominaux], celle qui passe par les trous des six premières vertèbres du cou (*a. vertébrale*) et descend et se ramifie, conjointement avec la veine, sur les méninges de la moelle épinière (*a. spinales*), enfin celle qui va au sommet de l'épaule,

2. τό om. S. — 5. λεγομένῃ S Gal. ed. — 5-6. σχάλην ἀναφέρεται S. — 7. τῶν τιτθῶν Gal. ed. — Ib. εἶτα ἐπί Gal[s]. — 7-8. τὰς τοῦ ex em.; τὰς πρώτας τοῦ S Gal. — 8. συγκατασχ. τε καί Gal[s]. — Ib. συνδιεκπίπλει ex em.; διεκπίπλει Gal[s].; συνεκπίπλει S Gal. ed. — 9. ὀρθίους ex em.; ῥαχίτας S Gal. — Ib. εἶτα διά Gal[s]. — 12. εἶτα ἐπί S Gal[s]. — Ib. ὠμοπλ. καί S.

Αὗται πᾶσαι ταῖς παρακειμέναις φλεψὶ συγκατασχίζονται καθάπερ 4
αἱ καρωτίδες ὀνομαζόμεναι ταῖς διὰ βάθους σφαγίτισιν· οὐ μὴν ταῖς ἐπιπολῆς σφαγίτισι συναναφέρεταί τις ἀρτηρία, ἀλλὰ εἴτε δύο γενηθεῖεν, εἴτε τέσσαρες, αὗται χωρὶς ἀρτηριῶν εἰσιν. Τὸ δὲ ὑπόλοιπον 5
ἑκατέρας καρωτίδος ὄρθιον ἀναφερόμενον εἴσω τοῦ κρανίου παραγίνεται, κἀνταῦθα ποιεῖ τὸ καλούμενον δικτυοειδὲς πλέγμα, καὶ μετὰ τοῦτο πάλιν δύο ἀρτηρίαι γινόμεναι πρὸς τὸν ἐγκέφαλον ἀναφέρονται. Τὸ δὲ ἕτερον μέρος τῆς ἐκ καρδίας φυομένης ἀρτηρίας τὸ 6
μεῖζον παρὰ τὴν ῥάχιν κατακάμπτεται τῷ πέμπτῳ τοῦ θώρακος ἐπιβαῖνον σπονδύλῳ, φέρεταί τε τοὐντεῦθεν διὰ ὅλης τῆς ῥάχεως ἄχρι τοῦ πλατέος ὀστοῦ, πρῶτον μέν τινα πέμπον ἀπόφυσιν αὐτοῦ μικρὰν ἀρτηρίαν κατασχιζομένην εἰς ἐκεῖνα τοῦ θώρακος τὰ μέρη κατὰ ἃ ὁ πνεύμων ἐπίκειται· μετὰ δὲ ταῦτα κατὰ ἕκαστον σπόνδυλον εἴς τε τὰ μεσοπλεύρια καὶ εἰς τὸν νωτιαῖον ἀπονεμήσεις αὐτῆς

à l'omoplate et à l'aisselle droites. Toutes ces artères se ramifient con- 4
jointement avec les veines placées à côté d'elles, et c'est de la même manière que les artères dites *carotides* [*internes*] se ramifient avec les veines jugulaires profondes; mais il ne monte aucune artère à côté des veines jugulaires superficielles : au contraire, que ces veines soient au nombre de deux ou de quatre, elles sont sans accompagnement d'artères. Ce qui reste de chacune des deux artères carotides marche droit en 5
haut et arrive dans l'intérieur du crâne, où cette artère produit le plexus dit *réticulaire* (cf. p. 286), et, après ce plexus, il se forme de nouveau deux artères qui montent vers le cerveau (*a. cérébrales ant. et moyenne?*). —
L'autre partie de l'artère provenant du cœur, partie qui est la plus grande 6
des deux, se retourne pour suivre le trajet de l'épine du dos, en se plaçant sur la cinquième vertèbre de la poitrine; à partir de là, elle suit tout le parcours de l'épine du dos jusqu'à l'os large, et fait partir d'abord un rameau de sa substance formant une petite artère qui se ramifie dans les parties du thorax sur lesquelles le poumon est placé; après cela il naît, au niveau de chaque vertèbre, des rameaux pour les espaces inter-

2. ὀνομάζ. διά S. — 2-3. οὐ μὴν..... σφαγίτισι om. S Gal. ed. — 3. συναναφέρεται om. S. — 4. φλεβῶν S. — 7. ταῦτα Gal. ed.; αὐτόν S. — 9. κατακάμπτει S. — 11. πρώτην S. — 14. μεσοπλ. καὶ εἰς τὸν σπόνδυλον καί Gal[s].

7 γίνονται. Τὰ δὲ ἄνω τοῦ θώρακος τὰ κατὰ τὰς τέσσαρας πλευρὰς
οὐχ ὁμοίως ἀεὶ τὰς ἀρτηρίας ἔχει διατεταγμένας, ἀλλὰ ἡ μὲν μεγάλη
ἀρτηρία κάτω φερομένη μετὰ τὸ διεξελθεῖν τὸν θώρακα πρῶτον μὲν
τῷ διαφράγματι δύο δίδωσιν ἀρτηρίας, ἐφεξῆς δὲ γασῖρὶ καὶ σπληνὶ
καὶ ἥπατι καὶ τοῖς μεσεντερίοις ἀμφοτέροις· τὸ γὰρ τρίτον μεσεν-
τέριον ὃ πλησίον ἥκει τῆς ἕδρας ἐν τοῖς ἀριστεροῖς κείμενον ἐντεῦ-
θεν μὲν οὐδεμίαν ἀρτηρίαν λαμβάνει· κάτωθεν δὲ ἐμβάλλει τις αὐτῷ
8 μικρὰ κατὰ τοὺς νεφροὺς φυομένη τῆς μεγάλης ἀρτηρίας. Μεταξὺ
δὲ ταύτης καὶ τῶν προειρημένων ἐπὶ τοὺς νεφροὺς ἴασιν ἀξιόλογοι
τὸ μέγεθος, ἑτέρα τέ τις αὐτῶν ἄνωθεν ἐκ τῶν ἀρισῖερῶν μερῶν
9 παρατεταμένη τῇ κατὰ τοῦτο φλεβί. Καὶ μέντοι καὶ αὐτῶν τῶν
προειρημένων ἀρτηριῶν καθήκουσι καὶ εἰς τὸν νωτιαῖον ἅμα ταῖς
φλεψὶ κατὰ ἕκασῖον σπόνδυλον ἀρτηρίαι τῆς μεγάλης ἀποσχιζόμε-
ναι, καὶ ταύταις ὁμοίως συμπαραφέρονται κατά τε τοὺς ὄρχεις καὶ

7 costaux (*a. intercostales*) et pour la moelle épinière. La partie supérieure
de la poitrine qui correspond aux quatre (premières) côtes n'a pas
toujours ses artères disposées de la même manière; mais, en descen-
dant, la grande artère donne d'abord, après avoir traversé la poitrine,
deux artères au diaphragme (*a. diaphragmatique inférieure*); ensuite elle
en donne à l'estomac, à la rate, au foie et aux deux mésentères; car
le troisième mésentère, qui arrive dans le voisinage de l'anus, étant
situé au côté gauche, ne reçoit aucune artère de ce point; mais il s'y
insère en bas un petit vaisseau de cette espèce, lequel prend son origine
8 sur la grande artère au niveau des reins. Entre ce vaisseau et les précé-
dents, des artères d'un volume considérable vont aux reins (*a. émul-
gentes*), et il y en a encore une autre placée au côté gauche au-dessus
9 d'elles qui s'étend à côté de la veine de cette région. De plus, prove-
nant des vaisseaux mêmes dont nous venons de parler, des rameaux,
originaires de la grande artère (*aorte*), aboutissent, au niveau de
chaque vertèbre, conjointement avec les veines, à la moelle épinière;
de même que ces artères-là, d'autres cheminent, conjointement avec
les veines placées à côté d'elles et de la même manière que ces veines,

2. διατεταμένας S Gal. ed. — Ib. μέν] ἐν S Gal. ed. — 3. ἀρτ. ἡ ἀπὸ τῆς καρδίας κάτω Gal[s]. — 6. ὅ om. S. — 12. προειρ. δυοῖν ἀζυγῶν ἀρτ. Gal. ed. — 12-13. καθήκουσι..... φλεψί om. S. — 14. καὶ ταύτ. ὁμ. συμπαρα- om. S.

τὰς λαγόνας ὡσαύτως ταῖς παρακειμέναις φλεψίν. Ἐπειδὰν δὲ τοῦτο 10
γένηται, τηνικαῦτα ὥσπερ ἡ φλέψ, καὶ ἡ μεγάλη ἀρτηρία διχῇ
σχισθεῖσα τῶν μορίων ἑκάτερον εἰς τὸ κατὰ εὐθὺ πέμπει σκέλος
ἄχρι τῶν ἄκρων ποδῶν, κατὰ μὲν τοὺς ταρσοὺς αἰσθητὴν ἔχοντα
τὴν κίνησιν ὥσπερ καὶ αἱ κατὰ τοὺς καρποὺς καὶ αἱ κατὰ τοὺς κρο-
τάφους καὶ ἐν ἄλλοις ἀσάρκοις μορίοις· ἐν γὰρ τοῖς πιμελώδεσι
μικρὰ καὶ ὀλίγου δεῖν ἀναίσθητος φαίνεται ἡ κίνησις τῶν ἀρτηριῶν.
Ἐπὶ μὲν οὖν τῶν τελείων ζώων ἡ κατανομὴ τῶν ἀρτηριῶν οὕτω 11
κατασχίζεται εἰς τὸ πᾶν σῶμα.

sur les testicules (*a. spermatiques*) et sur la région des iles. Ce n'est 10
qu'après que cela a eu lieu, que la grande artère, s'étant divisée, de
même que la veine, en deux branches (*a. iliaques primitives*), fait par-
tir, pour la jambe située de son côté, chacune de ces deux branches,
lesquelles vont jusqu'aux pieds (*artère fémorale*); ces artères ont, sur les
tarses, un mouvement appréciable aux sens, de même que les artères des
carpes, celles des tempes et celles d'autres parties décharnées; car, sur
les parties graisseuses, on ne constate dans les artères qu'un mouvement
peu considérable et presque inappréciable aux sens. Voilà quelles rami- 11
fications produit, chez les animaux adultes, la distribution des artères
dans tout le corps.

1-2. τοῦτο γέν. τηνικ. om. S. — 6. αὐτάρκοις S. — 8. ὄντως S.

ΒΙΒΛΙΟΝ ΜΔ'.

α'. [Περὶ φλεγμονῆς, ἐκ τῶν Γαληνοῦ.]

. . . .

1 . . . . . [Γένεσις μὲν οὖν κοινὴ πάσαις ταῖς φλεγμοναῖς ἐξ αἵ-
ματος ἐπιῤῥοῆς ἐσ7ι πλείονος ἢ ὅσου δεῖται τὸ μέρος· ἐπιῤῥεῖ δὲ
πλέον, ἐνίοτε μὲν ἑτέρου τινὸς, ἢ ἑτέρων τινῶν μορίων εἰς αὐτὸ
πεμπόντων, ἐπιδεχομένου δὲ τοῦ φλεγ]μαίνειν ἀρχομένου, ποτὲ δὲ
2 ἕλκοντος ἐπὶ ἑαυτὸ τοῦ πάσχοντος αὐτοῦ. Τὰ μὲν οὖν πέμποντα
ποτὲ μὲν ὡς τῷ πλήθει περιτ7ὸν, ποτὲ δὲ ὡς ἀνιαρὸν τῇ ποιότητι
διωθεῖται τὸν χυμὸν, ἐνίοτε δὲ καὶ διὰ ἄμφω, τὰ δὲ ἕλκοντα διὰ
3 ὀδύνην, ἢ διὰ θερμότητα νοσώδη. Θερμότερον μὲν οὖν γίνεται τὸ

LIVRE XLIV.

1. DE L'INFLAMMATION. — TIRÉ DE GALIEN.

. . . .

1 . . . . Toutes les inflammations se forment de la même manière,
par un afflux de sang plus abondant que les besoins de la partie qui
commence à s'enflammer ne le comportent; afflux tenant quelquefois
à ce qu'une ou plusieurs autres parties envoient du sang à la partie
malade qui le garde, d'autres fois à ce que cette partie même attire
2 le sang à elle. Les parties qui envoient du sang à la partie malade
poussent cette humeur, tantôt parce qu'elle est devenue trop abon-
dante, tantôt parce qu'elle possède une qualité nuisible, tantôt enfin
pour ces deux raisons à la fois; les parties qui attirent le sang agissent
3 ainsi par suite d'une douleur ou d'une chaleur morbide. La partie
[malade] devient plus chaude qu'elle ne l'était, soit par l'effet d'un

Ch. 1, l. 1-4. Γένεσις..... φλεγ- om. R. — 7-8. δι' ὀδ. ἢ om. Gal., Aët.

μόριον διὰ κίνησιν ἀμετροτέραν, ἤ τινα θάλψιν ἐξ ἡλίου καὶ πυρὸς, ἢ διὰ δριμὺ φάρμακον· ὀδυνᾶται δὲ διὰ δυσκρασίαν καὶ τραῦμα καὶ θλάσμα καὶ στρέμμα καὶ τάσιν, ἔτι δὲ ἔμφραξίν τινα, ἢ πνεῦμα φυσῶδες· ἡ δὲ δυσκρασία ποτὲ μὲν ἔξωθεν αὐτῷ γίνεται, ποτὲ δὲ ἐκ τῶν κατὰ τὸ σῶμα χυμῶν· ἔξωθεν μὲν ἐπί τινι τῶν ἰοβόλων θηρίων, ἢ φαρμάκῳ θερμαίνοντι σφοδρῶς, ἢ ψύχοντι; κἀκ τοῦ περιέχοντος· ἔσωθεν δὲ διὰ μοχθηροὺς χυμοὺς ἀθροισθέντας. Ταῦτα οὖν 4
πάντα διασκεψάμενος ἀκριβῶς, πρότερον μὲν τὰς αἰτίας ἐκκόπτειν διὰ ἃς αἱ φλεγμοναὶ γίνονται, ἐφεξῆς δὲ τὸ γεγενημένον ἤδη τῆς φλεγμονῆς ἰᾶσθαι, καθισταμένων ἐνίοτε διὰ τῶν αὐτῶν ἀμφοτέρων, οἷον ὅταν τοῦ ψυχροῦ κρατοῦντος ἡ δυσκρασία γίνηται· θερμαίνων γὰρ τήν τε δυσκρασίαν ἅμα καὶ τὴν φλεγμονὴν ἐκθεραπεύσεις, ὥσπερ γε καὶ, εἰ διὰ θερμασίαν πλείονα, τοῖς ψύχουσιν ἰάμασιν

mouvement qui dépasse la mesure, soit par un échauffement produit par le soleil ou par le feu, soit enfin par l'effet d'un médicament âcre; elle devient douloureuse par la disproportion des éléments, par une plaie, une contusion, une entorse, une tension, et, de plus, par suite d'une obstruction ou d'un *pneuma* flatulent; la disproportion des éléments frappe la partie, tantôt par suite d'une cause extérieure, tantôt par l'action des humeurs contenues dans le corps; elle vient de l'extérieur quand elle tient à l'intervention d'un animal venimeux ou d'un médicament qui échauffe ou refroidit avec excès, et aussi lorsqu'elle vient de l'atmosphère; tandis que cette disproportion vient de l'intérieur quand elle tient à une accumulation d'humeurs pernicieuses. Après avoir examiné 4
toutes ces circonstances avec attention, il faut d'abord détruire les causes qui donnent lieu aux inflammations, et ensuite guérir les éléments de cette maladie qui se sont déjà formés; quelquefois cependant on ramène à leur état naturel ces deux dérangements par les mêmes moyens, par exemple quand la disproportion des éléments provient de la prédominance du froid : en effet, dans ce cas, vous n'avez qu'à échauffer pour guérir à la fois la disproportion des éléments et l'inflammation; de même, quand cette disproportion tient à un excès de chaleur, vous ferez revenir la partie à son état normal, sous ces deux rapports, par les moyens réfrigé-

8. ἀκριβῶς om. Gal. — Ib. ἔκκοπτε Gal. — 10. θεραπεύειν Gal.

ἄμφω καταστήσῃ· ἡ μὲν γὰρ δυσκρασία τῶν ἐναντίων ἀεὶ δεῖται,
κενοῦται δὲ τὸ πεπληρωμένον οὐ μόνον τοῖς διαφορητικοῖς φαρμά-
5 κοις, ἀλλὰ καὶ τοῖς στύφουσι καὶ ψύχουσιν. Καὶ μᾶλλόν γε ἐπὶ τῶν
ἀρχομένων φλεγμονῶν τοῖς στύφουσι καὶ ψύχουσι χρηστέον ἢ τοῖς
διαφοροῦσιν· ἔτι δὲ μᾶλλον, ὅταν μὴ παχὺ τὸ ἐπιῤῥέον ᾖ· σφοδρᾶς
δὲ τῆς ἐν τῷ φλεγμαίνοντι μορίῳ σφηνώσεως γεγενημένης, οὐκ ἔτι
οἷόν τε τοῖς ἀποκρουομένοις χρῆσθαι, ἀλλὰ ἐπὶ τὸ διαφορεῖν ἰέναι
καιρός· τῆς γὰρ φλεγμονῆς κατὰ διττὸν τρόπον ἐξεστώσης τοῦ κατὰ
φύσιν, ὅτι τε πεπλήρωται τὸ μόριον αἵματος πολλοῦ, καὶ ὅτι θερ-
μότερόν ἐστιν, ὁ τῆς κενώσεως σκοπὸς ἐπικρατεῖ μᾶλλον τοῦ τῆς
6 ἐμψύξεως. Κένωσις δὲ ἐπινοεῖται διττὴ τῶν οὕτως ἐχόντων, μεθι-
σταμένου πρὸς ἕτερα χωρία τοῦ περιεχομένου κατὰ τὸ φλεγμαῖνον
αἵματος, ἢ ἔξω τοῦ σώματος ἐκκρινομένου· βέλτιον δέ ἐστιν ἀμφο-
τέραις κεχρῆσθαι, προσέχοντα τὸν νοῦν, μὴ κατὰ συμβεβηκὸς γέ-
7 νηταί τις βλάβη. Διττῆς δὲ ἑκατέρας τῶν εἰρημένων κενώσεων οὔσης,

rants : en effet, la disproportion des éléments exige toujours l'emploi de
moyens doués de propriétés opposées, tandis que les matériaux qui rem-
plissent la partie enflammée peuvent être évacués, aussi bien par les
agents qui dissipent que par ceux qui possèdent une action astringente
5 et refroidissante. Au commencement des inflammations, on doit employer
plutôt les moyens astringents et refroidissants que ceux qui dissipent ; et
il faut, à plus forte raison, agir ainsi quand l'humeur qui afflue n'est pas
épaisse ; lorsque, au contraire, l'humeur est fortement enclavée dans la
partie enflammée, il n'est plus possible d'employer les moyens répercus-
sifs, mais il est temps d'en venir au traitement qui dissipe : en effet, tan-
dis que l'inflammation s'écarte, sous deux rapports, de l'état naturel, en
ce que la partie enflammée est remplie d'une grande quantité de sang
et en ce qu'elle est trop chaude, l'indication d'évacuer prédomine sur
6 celle qui commande le refroidissement. Dans cet état de choses, on
peut se figurer deux modes d'évacuation, l'un consistant à transporter
du sang contenu dans la partie enflammée vers d'autres régions, et
l'autre à le pousser au dehors du corps ; mais il vaut mieux recourir à
ces deux modes à la fois, en faisant attention à ce qu'aucun effet nui-
7 sible ne se produise accidentellement. Mais, comme chacun des deux

εἰς τέτταρας ἁπάσας ἡ τομὴ γίνεται τῶν κενωτικῶν ἁπάντων βοηθημάτων· τῆς μὲν γὰρ εἰς τὰ ἄλλα μόρια μεταῤῥύσεως τοῦ αἵματος ἡ μὲν ἑτέρα διωθουμένων αὐτὸ τῶν φλεγμαινόντων, ἡ δὲ ἑτέρα τῶν ἀπαθῶν ἑλκόντων γίνεται, τῆς δὲ ἔξω τοῦ σώματος κενώσεως μία μὲν αἰσθηταῖς ἐκροαῖς, ἡ δὲ ἑτέρα λόγῳ θεωρηταῖς ἐπιτελεῖται· καὶ τῆς αἰσθηταῖς ἐκροαῖς γινομένης ἡ μὲν ἑτέρα διὰ αὐτοῦ τοῦ φλεγμαίνοντος, ἡ δὲ ἑτέρα διὰ τῶν συνανεστομωμένων αὐτῷ· διὸ καὶ χρεία τῆς ἀνατομῆς ἐστιν εἰς γνῶσιν τῆς τοιαύτης κοινωνίας.
Κατὰ μὲν οὖν τὰς ἀρχὰς τῶν φλεγμονῶν τὴν ἀποκρουστικὴν δύνα- 8
μιν ἐπικρατεῖν προσήκει, κατὰ δὲ τὰς αὐξήσεις ἀφαιρεῖν μέν τι ταύτης, προστιθέναι δὲ τῆς διαφορητικῆς· ὅταν δὲ εἰς τὴν οἰκείαν ἀκμὴν ὁ τῆς φλεγμονῆς ὄγκος ἀφίκηται, παραπλησίας ἀλλήλαις εἶναι χρὴ τὰς δυνάμεις, τήν τε ἀποκρουστικὴν καὶ τὴν διαφορητικήν,

modes susdits d'évacuation s'effectue de deux manières, il en résulte une division de tous les moyens d'évacuation en quatre classes : en effet, des deux manières dont le sang se transporte vers les autres parties, l'une tient à ce que les parties enflammées poussent cette humeur, tandis que l'autre s'effectue par l'attraction des parties exemptes de maladie; des deux modes d'excrétion hors du corps, l'une a lieu par des canaux d'excrétion perceptibles aux sens, et l'autre par des canaux qu'on admet par le raisonnement; l'évacuation par les canaux perceptibles aux sens se divise de nouveau en une espèce qui passe à travers la partie enflammée elle-même, et une autre qui passe par les parties étant en communication avec l'organe enflammé à l'aide de bouches communes : voilà pourquoi il faut disséquer pour reconnaître
une telle communication. Au commencement des inflammations, les 8
médicaments répercussifs doivent donc avoir le dessus, tandis que, pendant l'augment, il faut diminuer un peu la quantité de ces médicaments et augmenter celle des médicaments qui dissipent; mais, quand la tumeur inflammatoire est arrivée au point culminant qui lui est propre, ces deux classes de médicaments, c'est-à-dire les répercussifs et ceux qui dissipent, doivent présenter des forces égales, l'une par rap-

6. ταῖς αἰσθητικαῖς ἐκρ. γινομέναις R.

ἐάν γε μή τις ὀδύνη σφοδρὰ παρηγορικοῦ δέηται φαρμάκου· παρακ-
μαζούσης δὲ τῆς φλεγμονῆς, τὴν διαφορητικὴν δύναμιν ἐπικρατεῖν
προσήκει, ὡς μηδὲ ὅλως ἐν ἐκείνῳ τῷ καιρῷ μίγνυσθαί τι στῦ-
9 φον. Ἡ μὲν οὖν ἀρχὴ τῆς φλεγμονῆς ἡ οἷον γένεσις αὐτῆς ἐστιν
ἐν ἐκείνῳ τῷ χρόνῳ κατὰ ὃν πληροῦται τὸ μόριον αἱματώδους οὐ-
σίας· ὅταν δὲ τὸ μὲν ἐπιῤῥέον παύσηται, τὸ δὲ ἐν τῷ φλεγμαίνοντι
περιεχόμενον ὑπάρχηται σήπεσθαι, θερμασία τις γίνεται δια τὴν
σηπεδόνα καὶ χύσις ἐπὶ πλέον διὰ τὴν θερμασίαν, ἐπὶ ᾗ καὶ
πνεῦμα γεννᾶται, καὶ διὰ ἄμφω ταῦτα διατείνεται μᾶλλον ἢ πρό-
σθεν τὸ μόριον, εἰ καὶ μηδὲν ἔτι ἐπιῤῥέοι· δεύτερος οὗτός ἐστι χρό-
10 νος ὁ τῆς αὐξήσεως τῆς φλεγμονῆς. Ὅταν δὲ εἰς πύον ἤδη μετα-
βάλλῃ, μέγιστοι μὲν δὴ πόνοι τηνικαῦτα καταλαμβάνουσι, καλεῖται
δὲ ἀκμὴ τοῦ πάθους ὁ τοιοῦτος καιρός· εἰ δὲ ἐκπυΐσκον, ἢ διαφορού-
μενον τὸ ῥεῦμα τόν τε ὄγκον ἐλάττω καὶ τὴν τάσιν ἀποφαίνοι,
παρακμῆς ἀρχὴ τὸ τοιοῦτόν ἐστιν· δυοῖν γὰρ θάτερον ἀναγκαῖον

port à l'autre, à moins qu'une douleur violente n'exige l'emploi d'un
médicament calmant; quand l'inflammation est sur son déclin, les mé-
dicaments qui dissipent doivent prédominer, de telle manière qu'à
9 cette époque on n'y mêle absolument rien d'astringent. Le début de
l'inflammation consiste, pour ainsi dire, dans sa formation, ayant lieu
vers le temps où la partie se remplit de substance sanguine; mais,
quand cette substance a cessé d'affluer, et quand le contenu de la par-
tie enflammée commence à se pourrir, il résulte de cette putréfaction
une certaine chaleur; cette chaleur donne lieu à une augmentation de
liquidité, par suite de laquelle il se produit aussi du pneuma; et, par
l'effet de ces deux dernières circonstances, la partie se distend plus
qu'auparavant, quoiqu'il n'afflue plus rien : c'est là la seconde époque,
10 celle de l'augment de l'inflammation. Mais les plus fortes douleurs ne
font invasion que lorsqu'il y a déjà transformation en pus, et on appelle
cette époque-là le point culminant de la maladie; enfin, lorsque, par suite
de la suppuration ou de l'évaporation de la fluxion, la tumeur et la ten-
sion diminuent, c'est là le commencement du déclin : en effet, dans de

4. στῦφον] τοῦ οἴνου Gal. — 6. μέν om. R. — 14. τε om. R.

ἀπαντῆσαι κατὰ τὰς τοιαύτας διαθέσεις· νικήσαντος μὲν τοῦ ῥεύ-
ματος, φθορὰν τῶν νικηθέντων σωμάτων, νικηθέντος δὲ, τὴν εἰς τὸ
κατὰ φύσιν ἐπάνοδον τῶν πεπονθότων. Καὶ δὴ καὶ νικάσθω πρό- 11
τερον τὸ ῥεῦμα· διτΊὸς ἐν τούτῳ τρόπος ἔσΊαι τῆς ἰάσεως, ἢ δια-
φορηθέντος ἅπαντος τοῦ κατασκήψαντος, ἢ πεφθέντος, ἀλλὰ ἡ μὲν
διαφόρησις ἡ εὐκταιοτάτη τῶν ἰάσεών ἐσΊιν· τῇ πέψει δὲ ἕπεται
δύο ταῦτα ἐξ ἀνάγκης, πύου τε γένεσις καὶ ἀπόσΊασις· εἰ δὲ νικη-
θείη τὰ σώματα πρὸς τοῦ ῥεύματος, εἰς τοσαύτην ἀφίξεται δηλονότι
δυσκρασίαν, ὡς καὶ τὴν ἐνέργειαν αὐτῶν ἀπολέσθαι καὶ φθαρῆναι
τῷ χρόνῳ, παύσεται δὲ ὀδυνώμενα τότε πρῶτον, ὅταν ἐξομοιωθῇ
τῷ μεταβάλλοντι· πονεῖται γὰρ οὐκ ἐν τῷ μεταβεβλῆσθαι τὴν κρᾶ-
σιν, ἀλλὰ ἐν τῷ μεταβάλλεσθαι. Εἰ μὲν οὖν ἥ τε θερμότης τοῦ 12
αἵματος ἡ κατὰ τὸ φλεγμαῖνον μόριον ἐπιεικὴς ὑπάρχοι καὶ τὸ πε-
ριεχόμενον αἷμα κατὰ ὅλον τοῦ ζώου τὸ σῶμα μετρίως ἔχοι κρά-
σεως, οὐ πάνυ τι ῥᾳδίως συνεκθερμαίνεται τῷ πεπονθότι· εἰ δὲ ἤτοι

telles situations, on doit nécessairement attendre l'un de ces deux résul-
tats, ou, en cas de victoire de la fluxion, la destruction des parties vain-
cues, ou, quand c'est la fluxion qui a été vaincue, le retour des parties
malades à leur état naturel. Supposons d'abord que la fluxion a été vain- 11
cue : dans ce cas, il y aura une double voie de guérison, l'une par l'éva-
poration, et l'autre par la coction de tout ce qui a été déposé; mais l'éva-
poration est la plus désirable des voies de guérison, tandis que la coction
traîne nécessairement à sa suite les deux conséquences suivantes : la sup-
puration et la formation d'un abcès; si, au contraire, les parties ont été
vaincues par la fluxion, elles arriveront, bien entendu, à une telle dis-
proportion des éléments, que même leur fonction est abolie et détruite
par l'effet du temps; mais elles ne cesseront d'être douloureuses que lors-
qu'elles seront devenues semblables à l'agent qui les transforme; car la
douleur n'a pas lieu à l'époque où le mélange des éléments a effectué sa
transformation, mais à celle où cette transformation s'opère. Si donc la 12
chaleur du sang se montre douce dans la partie enflammée, et si le sang
contenu dans tout le corps de l'individu est doué d'un tempérament moyen,
ce sang ne participe pas très-facilement à l'échauffement de la partie affec-

11. τῷ μὴ μεταβάλλ. R.

ζέοι σφοδρότερον, ἢ καὶ τὸ κατὰ ὅλον ζῷον αἷμα θερμότερον ὑπάρ-
χοι καὶ χολῶδες, παραχρῆμα πᾶν ἐκθερμαίνεται, πολὺ δὲ μᾶλλον,
ἐπειδὰν ἄμφω συνδράμῃ, καὶ τὸ κατὰ τὴν φλεγμονὴν αἷμα θερμὸν
ἱκανῶς εἶναι, καὶ τὸ κατὰ ὅλον τὸ ζῷον χολῶδες· εἰ δὲ ἐγγὺς εἴη
τῶν πολυαίμων σπλάγχνων τὸ φλεγμαῖνον μόριον, ἔτι καὶ θᾶτἸον
13 αὐτῷ συνεκθερμαίνεται τὸ κατὰ ὅλον τὸ ζῷον αἷμα. Ἐλξίνη πρὸς
πάσας φλεγμονὰς ποιεῖ ἐν ἀρχῇ τε καὶ ἐν ἀναβάσει μέχρι τῆς
14-15 ἀκμῆς. Γλαύκιον ὁμοίως. Ἀτράφαξυς καὶ μαλάχη ταῖς μὲν ἀρχομέ-
ναις καὶ αὐξανομέναις ἔτι καὶ οἷον ζεούσαις αἱ κηπευόμεναι, ταῖς
δὲ ἀκμαζούσαις καὶ παρακμαζούσαις καὶ σκληρυνομέναις καὶ ἀπο-
16 ψυχομέναις αἱ ἄγριαι συμφορώτεραι. Θρίδαξ καὶ κολοκύνθη ὅλη καὶ
ἴου τὰ φύλλα κατὰ ἑαυτὰ καὶ μετὰ ἀλφίτων ἐπιπλασσόμενα πρὸς
17-18 τὰς θερμὰς ποιεῖ. Πολύγονον ὁμοίως. Ἀλσίνη καὶ ἀείζωον πρὸς

tée; mais, si cette chaleur est trop fortement bouillonnante, ou si le sang
contenu dans l'ensemble de l'économie est trop chaud et de nature bilieuse,
tout le corps s'échauffe immédiatement, et ce même effet a lieu, à bien
plus forte raison, quand les deux circonstances coïncident, c'est-à-dire
quand le sang contenu dans la partie enflammée est très-chaud et que
celui qui existe dans l'ensemble de l'économie est bilieux ; si la partie en-
flammée est située près des viscères qui renferment beaucoup de sang,
celui qui est contenu dans l'ensemble de l'économie participe encore plus
13 vite à son échauffement. La pariétaire de Judée agit contre toutes les in-
flammations, aux époques de leur début et de leur augment, jusqu'à leur
14-15 point culminant. Il en est de même du glaucium. L'arroche et la mauve
cultivées sont plutôt profitables aux inflammations qui se trouvent encore
aux époques de leur début et de leur augment, et qui sont, pour ainsi
dire, bouillonnantes; mais les espèces sauvages conviennent mieux contre
ces affections arrivées à leur point culminant ou à leur déclin, ainsi que
16 contre celles qui se durcissent et se refroidissent. La laitue, la courge
appliquée en entier, et les feuilles de violette employées sous forme de
cataplasme, soit seules, soit avec de la farine d'orge légèrement grillée,
17 agissent contre les inflammations chaudes. Il en est de même de la re-
18 nouée. La pariétaire de Crète et la joubarbe agissent contre les inflam-

8. γρ. τὸ λύκιον ὁμοίως R ad calcem. — 9. καὶ ἀρξαμέναις R. — 10-11. καὶ ἀποψ. om. Gal. — 11. καὶ κολοκύντη R, ad Eun.; τε καὶ κολοκύνθη Paul.

τὰς ἐκ ῥεύματος φλεγμονὰς, καὶ τρίβολοι ἀμφότεραι πρὸς τὰς συνι-
στaμένας, καὶ ὅλως πρὸς πάσας ἐπιῤῥοάς. Αἰγίλωψ πρὸς τὰς σκλη- 19
ρυνομένας. Καὶ κράμβη πρὸς τὰς ἤδη σκληρυνομένας καὶ δυσλύτους. 20
Καὶ βηχίου τὰ φύλλα χλωρὰ καταπλασσόμενα πρὸς τὰς δυσπέπτους. 21
Βολβίτῳ τις ἰατρῶν ἐκέχρητο ἐπὶ τῶν ἀγροίκων, ὑγρὸν λαμβάνων 22
ἦρος, ὁπότε νέμονται τὴν πόαν οἱ βόες. Ἀράχνης ὕφασμά φασί 23
τινες ἀφλέγμαντα φυλάττειν τὰ ἐπιπολῆς ἕλκη.

β'. Περὶ ῥευματικῆς διαθέσεως.

Αἱ δὲ ῥευματικαὶ καλούμεναι διαθέσεις πλεονάζουσι μὲν ἐν τῇ 1
Ῥωμαίων πόλει, γίνεσθαι δέ μοι δοκοῦσιν ἐξ ἐπιῤῥοῆς μὲν αἵματος, καθάπερ ἡ φλεγμονὴ, μὴ μέντοι θερμότητα προσλαμβάνειν, ὥσπερ ἐκείνη· φαίνεται γάρ μοι τὸ πάθος τοῦτο μήτε θερμὸν εἶναι, μήτε
ψυχρόν. Συνίστανται δὲ τῆς θρεπτικῆς δυνάμεως ὅλου τοῦ σώμα- 2

mations qui tiennent à la fluxion, et les deux espèces de *tribolus* contre celles qui sont encore en voie de formation, et, en général, contre tous
les flux. L'égilope agit contre les inflammations qui se durcissent. Le 19-20
chou agit aussi contre celles qui se durcissent déjà et qui sont difficiles
à résoudre. Les feuilles vertes de pas-d'âne, employées sous forme de 21
cataplasme, agissent contre celles qu'on amène difficilement à maturité.
Certain médecin employait, chez les paysans, les excréments de bœuf, et 22
les ramassait tout humides au printemps, à l'époque où les bœufs paissent
l'herbe. Quelques-uns prétendent que la toile d'araignée protége les 23
plaies superficielles contre l'inflammation.

2. DE LA DIATHÈSE FLUXIONNAIRE.

Les états dits *fluxionnaires* sont communs dans la ville de Rome, et 1
il me semble qu'ils viennent d'un afflux de sang, de même que l'inflammation, mais qu'ils n'ajoutent pas de chaleur à cet afflux, comme le fait l'inflammation : car l'affection dont il s'agit ne me paraît être ni chaude,
ni froide. Ces états fluxionnaires se forment quand la force nutritive de 2

2. ἁπάσας τάς Gal. — 3. ἤδη om. *Syn.*, *ad Eun.*, Paul. — Ib. σκληρουμένας *Syn.*; σκιῤῥουμένας Gal. — Ib. γρ. καὶ δυσιάτους R ad calcem. — 4. δυσπέπτους conj.; δυσπέπτων R; τὰ φλεγμαίνοντα μόρια δυσπέπτως Gal.

τος ἀῤῥωστούσης τε καὶ καχεκτούσης, τῶν κυρίων μορίων εἰωθό-
των, ὅταν ἀσθενῇ, βαρύνεσθαι, κἂν ὀλίγον ἐν αὐτοῖς ᾖ τὸ αἷμα,
διωθουμένων τε τοῦτο πρὸς τὰ κατὰ τὸ δέρμα μέρη τὰ σαρκώδη,
καὶ μᾶλλόν γε εἰς τοὺς ἀδένας ἐπιτηδείους ὄντας ὑποδέχεσθαι τὸ
περιττὸν διά τε τὸ χαῦνον τῆς οὐσίας, καὶ ὅτι τῶν ἄλλων μορίων
ἀσθενεστάτας ἔχουσι τὰς φυσικὰς δυνάμεις, ὥσπερ καὶ ἡ πιμελή.
3 Ἐφεξῆς δὲ τοῖς ἀδέσιν ὁ πνεύμων ἑτοιμότατος δέξασθαι ῥεῦμα, εἶτα
ἑξῆς ὁ σπλήν· ὁ δὲ ἐγκέφαλος ὁμοίως μὲν τούτοις, ἢ καὶ μᾶλλον
ἐπιτήδειος ὑποδέξασθαι ῥεῦμα, πλεονεκτεῖ δὲ αὐτῶν ἐκ τῆς κατα-
σκευῆς εἰς ἀπόκρισιν ἑτοίμης οὔσης ὧν ἐπεδέξατο· κοιλίας γὰρ ἔχει
4 μεγάλας κατάντεσι πόροις ἐκκενουμένας. Οἷς ἂν οὖν φύσει ῥωμα-
λεώτερος ᾖ τοῦ σαρκώδους γένους ὁ πνεύμων τε καὶ ὁ σπλὴν καὶ ὁ
ἐγκέφαλος, ἐπὶ τούτων εἰς τοὺς ἀδένας καὶ τὰς σάρκας ἀφικνεῖται
5 τὰ ῥεύματα, τῆς τοῦ σώματος ἕξεως ὅλης ἀσθενοῦς οὔσης. Εἰκότως
τοιγαροῦν ἡ θεραπεία τούτων οὐ κένωσιν ἔχει τὸν σκοπὸν, ἀλλὰ
τοῦ παντὸς σώματος τὴν ῥῶσιν· ἥ γε μὴν ἀρχὴ τῆς θεραπείας ἀπὸ

tout le corps est faible et en mauvais état, vu que les parties principales
ont l'habitude de s'alourdir quand elles sont faibles, et expulsent le sang
qu'elles contiennent, même quand ce sang est en petite quantité, vers
les parties charnues voisines de la peau, et surtout vers les glandes, or-
ganes aptes à accueillir le superflu, d'abord à cause de leur spongiosité,
et ensuite parce que, de même que la graisse, elles ont des facultés na-
3 turelles plus faibles que toutes les autres parties. Après les glandes, le
poumon est le plus apte à accueillir une fluxion, et, après lui, la rate;
le cerveau l'est au même degré que ces organes, ou bien il l'est même
plus encore; mais il a sur ces organes l'avantage d'une structure qui se
prête à l'excrétion de ce qu'il a d'abord accueilli : car le cerveau a de
4 grandes cavités qui se vident par des canaux déclives. Ainsi, chez les
sujets dont le poumon, la rate et le cerveau sont naturellement plus vi-
goureux que le système charnu, les fluxions aboutissent aux glandes et
5 aux chairs, quand toute la complexion du corps est faible. Il est donc
tout simple que le traitement de ces individus n'ait pas pour but l'éva-
cuation, mais la restauration de tout le corps; toutefois, pour eux, le

8. ὅμοιος Gal. — 13. ἐπὶ τὴν τῶν R.

φλεβοτομίας αὐτοῖς γίνεται. Τοῦ μέντοι ῥέοντος αἵματος εἰς τὰ
τοιαῦτα μόρια κατὰ τὰς ῥευματικὰς διαθέσεις ἔχοντός τινα κακοχυ- 6
μίαν, ἡ διάθεσις γίνεται μικτὴ, καὶ γένοιτο ἂν ἴσως τοῦτο σπανιώ-
τατον· διὰ παντὸς γὰρ ὤφθη μοι χωρὶς φλέγματος, ἢ χολῆς ξανθῆς,
ἢ μελαίνης, αἷμα τῇ συστάσει λεπτὸν ἐπιῤῥέον. Ἀθροίζεται δὲ τοῦτο
διὰ τὴν ἐν τοῖς μορίοις τῶν δυνάμεων ἰσχύν τε καὶ ἀῤῥωστίαν· ἐὰν 7
μὲν γὰρ ἰσοσθενεῖς ὑπάρχωσιν, οἵ τε ἐξοχετεύοντες πόροι τὰ περιτ-
τώματα κατὰ φύσιν ἔχωσιν, ὑγιαίνει τὰ μόρια· πλέονος δὲ ἐνεχθέν-
τος ἢ ὅσον ἀλλοιοῦται, τὸ περιττὸν ἅπαν ἀναγκαῖον ἀποκρίνεσθαι
πρὸς τῆς ἀποκριτικῆς δυνάμεως ὠθούμενον· εἰ δὲ ἀῤῥωστήσειεν
αὕτη, μένειν ἐν τῷ χωρίῳ, τὸ μὲν πολὺ βαρῦνόν τε καὶ διατεῖνον
αὐτὸ, τὸ δὲ δριμὺ διαβιβρῶσκόν τε καὶ δάκνον, ὥσπερ γε καὶ τὸ
μὲν θερμὸν θερμαῖνον καὶ τὸ ψυχρὸν ψῦχον· εἴτε γὰρ αἷμα μοχθη-
ρὸν εἴη τὸ ὠθούμενον, εἴτε ἄλλος τις χυμὸς, ἀνάγκη μὲν πάντως
ἐστὶν εἴς τι τῶν πλησίον ἀφικέσθαι μορίων αὐτὸν, ἐν ἐκείνῳ δὲ

commencement du traitement consiste dans une saignée. Cependant, 6
lorsque le sang, qui, dans les états fluxionnaires, afflue vers ces parties,
contient quelque mauvaise humeur, il en résulte un état mixte; mais
peut-être cet état est-il très-rare; car moi j'ai toujours vu affluer du sang
d'une consistance ténue, sans mélange de pituite, de bile jaune, ou de
bile noire. Le sang s'accumule en raison de la force ou de la faiblesse 7
des facultés résidant dans les organes : en effet, si ces facultés présentent
un égal degré de vigueur, et si les canaux destinés à l'écoulement des
résidus sont dans leur état naturel, les parties sont saines; mais, si la
quantité des matériaux apportés dépasse celle qui est transformée, il est
nécessaire que tout le résidu soit évacué par l'impulsion que lui donne
la faculté excrétoire; si cette faculté est faible, les résidus restent nécessairement en place, alourdissant et distendant la partie quand ils sont abondants, l'irritant et la rongeant quand ils sont âcres, de même qu'ils l'échauffent quand ils sont chauds, et qu'ils la refroidissent quand ils sont froids; en effet, que la matière expulsée soit du sang vicieux, ou quelque autre humeur, il est de toute nécessité qu'elle arrive dans un des organes voisins, et, dans cet organe, se présente l'alternative sui-

5. Ἀθροισται R. — 7. πόροι καὶ τά R.

δυοῖν θάτερον, ἢ πεφθέντα ἢ καὶ διαφορηθέντα οὐκέτι εἰς ἄλλο με-
ταῤῥυῆναι τρίτον, ἢ μηδετέρου τῶν εἰρημένων τυχόντα, πάλιν ἐκ
τοῦ δευτέρου μορίου μεταῤῥεῖν εἰς ἕτερον, εἶτα ἐξ ἐκείνου πάλιν εἰς
ἄλλο, καὶ τοῦτο μὴ παύεσθαι γινόμενον ἄχρις ἂν εἰς ἄλλο τι κα-
τασκήψῃ τοιοῦτον, ὃ μηκέτι εἰς ἄλλο διώσασθαι δύναται τὰ πλεο-
8 νάζοντα ἐν ἑαυτῷ. Συμβαίνει δὲ τοῦτο τῶν μορίων ἐκείνοις ὅσα τὴν
ἀποκριτικὴν δύναμιν ἀσθενεστέραν ἔχει τῶν πλησιαζόντων ἁπάν-
των· οὐκέτι γὰρ ἀπώσασθαι τὸ λυποῦν εἰς ἐκεῖνα δύνανται μὴ πα-
ραδεχόμενα διὰ τὴν ἐν αὐτοῖς ἰσχύν· διὸ καὶ τὰ πάντων ἀσθενέστερα
μόρια πρῶτα τοῖς περιττωματικοῖς ἁλίσκεται νοσήμασιν· ἀσθενῆ δὲ
ἀποτελεῖται ταῦτα καὶ διὰ τὰς ἄλλας μὲν ἁπάσας δυσκρασίας, ὡς
9 τὸ πολὺ δὲ διὰ τὴν ψυχράν. Ἐὰν οὖν ὑγραίνῃ τις αὐτὰ καὶ θερ-
μαίνῃ τοῖς χαλαστικοῖς φαρμάκοις, τελέως ἔκλυτά τε καὶ ἄῤῥωστα
γίνεται, πολλάκις δὲ αὖ στύφων ἰσχυρῶς τοὺς ἐν ταῖς ῥευματικαῖς

vante : ou les matériaux sont amenés à maturité, ou dissipés sans qu'ils
se transportent dorénavant dans un troisième organe ; ou aucun de ces
deux avantages ne leur échoit, et ils se transportent à leur tour de cette
seconde partie dans une autre, ensuite de celle-là de nouveau dans une
autre, et ce transport ne cesse pas de se faire, jusqu'à ce qu'ils viennent
fondre sur une nouvelle partie tellement constituée, qu'elle ne saurait
8 plus expulser vers une autre ce qui surabonde dans son intérieur. Or cela
arrive aux parties qui ont une faculté excrétoire plus faible que toutes
les parties voisines : en effet, elles ne peuvent plus expulser ce qui les
incommode vers ces parties, puisque ces parties, vu la vigueur dont elles
sont douées, ne le recevraient pas : pour cette raison, les parties plus
faibles que toutes les autres sont aussi les premières exposées à être frap-
pées de maladies excrémentitielles ; or, bien que toutes les autres dispro-
portions des éléments puissent les rendre telles, c'est le plus souvent
9 l'intempérie froide qui les met dans cet état. Si donc on humecte et ré-
chauffe ces parties par les médicaments relâchants, elles s'épuisent et
s'affaiblissent complétement ; si, au contraire, vous exercez une action
fortement astringente sur les tumeurs qu'on rencontre dans les diathèses

1. ἢ ante καί om. R. — Ib. μηκέτι Gal. — 3. ἕτερα R. — 9. διά om. R.

διαθέσεσιν ὄγκους ἐν ἀρχῇ μὲν ἀνύειν τι δόξεις, δύσλυτον δὲ ἐργάσῃ
καὶ σκιῤῥῶδες αὐτῶν τὸ λείψανον, ὡς τὰ πολλὰ δὲ οὐδὲ φέρουσι
τὴν τῶν ἄγαν σΊυφόντων ἐπίθεσιν αἱ τοιαῦται διαθέσεις, ὀδυνώ-
μεναί τε καὶ συντεινόμεναι πρὸς αὐτῶν. Πληροῦνται δέ τινα μόρια 10
περιτΊωμάτων οὐ μόνον δεχόμενα διὰ τὴν ἀσθένειαν τὰ παρὰ τῶν
ἰσχυροτέρων ἐπιπεμπόμενα, ἀλλὰ καὶ αὐτὰ ἕλκοντα πολλάκις, ἤτοι
διὰ ἄμετρον καὶ ἰσχυρὰν θερμότητα, ἢ καὶ ὀδύνην σφοδράν. Τὸ δὲ 11
ἤτοι πλέον, ἢ ἔλατΊον, ἢ μοχθηρὸν, ἢ χρησΊότερον ἐπιῤῥυῆναι τὴν
αἰτίαν οὐκέτι ἐξ αὐτῶν ἔχει μόνων τῶν ῥευματιζομένων σωμάτων,
ἀλλὰ τοῦ μὲν χρησΊότερον, ἢ μοχθηρὸν ἐν τοῖς πέμπουσι μέρεσιν
ἡ αἰτία, τοῦ δὲ ἧτΊόν τε καὶ πλέον ἐν ἀμφοτέροις· αἱ μὲν γὰρ ἰσχυ-
ραὶ θερμασίαι τε καὶ ὀδύναι πλέον ἕλκουσιν, αἱ δὲ ἀσθενέσΊεραι
μεῖον· οὕτω δὲ καὶ τὰ μὲν ἀπέριτΊα σώματα βραχὺ τοῖς ἕλκουσι

fluxionnaires, souvent vous semblerez, au commencement, produire
quelque effet; seulement vous rendrez le reste de ces tumeurs *squirreux*
et difficile à résoudre; le plus souvent même de pareilles diathèses ne
supportent pas l'application des substances fortement astringentes, parce
qu'elles deviennent douloureuses et tendues sous leur action. Quelques 10
parties se remplissent de matériaux superflus, non-seulement parce que,
pour cause de faiblesse, elles accueillent ce qui leur est envoyé par les
parties plus vigoureuses, mais souvent aussi parce qu'elles attirent elles-
mêmes, que ce soit par l'effet d'une chaleur intense et dépassant la me-
sure, ou par celui d'une douleur violente. La cause de la quantité plus 11
ou moins considérable et de la qualité plus ou moins utile ou nuisible
de ce qui afflue ne doit plus être cherchée uniquement dans les parties
mêmes qui sont le siége de la fluxion, mais celle de sa qualité plus ou
moins bonne ou nuisible doit l'être dans les parties qui poussent, et celle
de sa quantité plus ou moins considérable dans les deux ordres de parties
à la fois : en effet, la chaleur intense et les douleurs violentes donnent
lieu à une attraction plus forte, tandis que la chaleur ou les douleurs
moins prononcées produisent une attraction plus faible; de même, les
parties exemptes de résidus envoient peu à celles qui attirent, tandis que

6. αὐτὰ τὰ ἕλκοντα R. — 13. μεῖον om. R.

πέμπει, τὰ δὲ περιτΊωματικά τε καὶ πληθωρικὰ τοσούτῳ πλεῖον
12 *ὅσῳ περ ἂν ἐξεσΊήκῃ τοῦ κατὰ φύσιν. Τῆς δὲ ἀμετρίας τῶν πε-*
ριτΊωμάτων διτΊὸν αἴτιον, ἥ τε ἀλλοιωτικὴ δύναμις κακῶς διακει-
μένη, καὶ τῶν ἐδεσμάτων ἡ μοχθηρία· τὰ μὲν γὰρ μελαγχολικώτερα
φύσει, τὰ δὲ ὑδατωδέσΊερα, τὰ δὲ πικρόχολα ταῖς οὐσίαις ἐσΊίν.
13 *Καὶ μήν γε καὶ τῆς ἀλλοιωτικῆς δυνάμεως ἡ δυσκρασία πρὸς μὲν*
τὸ θερμότερον ἐκτρεπομένη ποτὲ μὲν τὸ πικρόχολον, ἔσΊιν ὅτε δὲ
τὸ μελαγχολικὸν ἀποτελεῖ περίτΊωμα· δέδεικται δὲ ἐν ἑτέροις,
ὁποῖον ἑκάτερον· ἐπὶ δὲ τὸ ψυχρότερον, ἤτοι φλεγματικὸν, ἢ ὑδα-
14 *τῶδες. Ὅταν οὖν οὐδεμιᾶς προφάσεως φανερᾶς προηγησαμένης ἐξαί-*
φνης φλεγμήνῃ τὸ μόριον, ἡ μὲν ἐργασαμένη τὸ πάθος αἰτία ῥεῦμα
καλεῖται, τὸ πάθος δὲ αὐτὸ ῥευματικὴ διάθεσις, καὶ χρὴ μάλισΊα
ἐπὶ τῶν τοιούτων φλεγμονῶν τὰς ἀρχὰς τῶν ἰάσεων χρησΊὰς εἶναι·
τὰ γὰρ ἐν ταύταις ἁμαρτήματα δυσλύτους, ἢ καὶ παντάπασιν ἀνιά-

les parties remplies de résidus et en proie à la pléthore envoient d'autant
12 plus qu'elles s'écartent davantage de l'état naturel. L'abondance exagérée
de résidus peut tenir à deux causes : ou au mauvais état de la faculté
altératrice, ou à la qualité vicieuse des aliments : en effet, la substance
de certains aliments est naturellement plus ou moins atrabilaire, dans
d'autres elle est plus ou moins aqueuse, dans d'autres encore elle tient
13 de la bile amère. De plus, la disproportion des éléments de la faculté
altératrice produit, quand la déviation est dans le sens d'un accroisse-
ment de chaleur, tantôt des résidus du genre de la bile amère, tantôt des
résidus atrabilaires; or nous avons exposé, dans d'autres traités, quelle
est la nature de ces deux espèces de résidus; si, au contraire, cette
disproportion dévie dans le sens d'un accroissement de froid, elle donne
14 lieu à des résidus pituiteux ou aqueux. Lors donc qu'une partie est su-
bitement prise d'inflammation, sans que l'invasion de cette maladie ait
été précédée d'un accident manifeste qui puisse l'avoir amenée, on donne
le nom de fluxion à la cause qui a produit la maladie, et celui d'état
fluxionnaire à la maladie elle-même; dans ce genre d'inflammations,
c'est surtout le commencement du traitement qui doit être bien dirigé;
car, si vous commettez des erreurs sous ce rapport, vous rendrez la dia-

6. *μήν* ex em.; *μέν* R Gal. — 7. *θερμότατον* R. — 9-10. *φλεγματικώτερον ἢ ὑδατωδέσΊερον* Gal. — 14. *αὐταῖς* Gal. — Ib. *δυσλύτους*] *δυσιάτους* Gal.

τους ἐργάζεται τὰς διαθέσεις, μέγιστα δὲ ἁμαρτήματα δύο ταῦτα,
τό τε μηδεμίαν ὅλου τοῦ σώματος ϖρόνοιαν ϖοιεῖσθαι, καὶ τὸ θερ-
μαίνειν τε καὶ ὑγραίνειν τὸ μέρος. Τὸ μὲν αὖ ὅλον σῶμα κενοῦν 15
ταῖς ἐνδεχομέναις κενώσεσι, μηδενὸς κωλύοντος, αὐτὸ δὲ τὸ φλεγμαῖ-
νον μέρος ἐπιβρέχειν τε καὶ καταπλάττειν τοῖς ἀπωθεῖσθαι μὲν τὸ
ἐπιῤῥέον δυναμένοις, κενοῦν δὲ τὸ ἤδη ϖεριεχόμενον τῷ ϖεπονθότι,
τόνον δὲ καὶ ῥώμην ἐντιθέναι τοῖς ἤδη ϖεπονηκόσι μορίοις. Ἐν μὲν 16
οὖν τοῖς κάτω μέρεσι τῆς φλεγμονῆς συστάσης, τέμνειν χρὴ τῶν ἐν
ἀγκῶνι φλεβῶν ἤτοι τὴν ἐντὸς, ἢ τὴν μέσην· εἰ δὲ τῶν ἄνωθέν τι
ϖεπόνθοι, κάτωθεν ἀπάγειν τοῦ αἵματος· ἀεὶ γὰρ εἰς τοὐναντίον τῆς
τοῦ ῥεύματος ὁρμῆς ἀντισπᾷν συμφέρει. Καταπλάττειν δὲ τῷ διὰ 17
τοῦ ἀειζώου καὶ λεμμάτων ῥοίας ἑφθῶν ἐν οἴνῳ κιῤῥῷ καὶ ἀλφίτων
συγκειμένῳ· κάλλιστον γὰρ τοῦτο ἔν τε τοῖς τοιούτοις καὶ ϖάντα
ὅσων δεόμεθα δρᾷν δυνάμενον· ἀποκρούεταί τε γὰρ τὸ ἐπιῤῥέον καὶ

thèse ou difficile à résoudre, ou même entièrement incurable; or les
deux erreurs les plus considérables qu'on puisse commettre dans ce cas
consistent à ne prendre aucun soin de l'ensemble du corps, et à échauffer
et à humecter la partie. Il faut donc, quand rien ne s'y oppose, évacuer 15
l'ensemble du corps par les moyens admissibles en pareil cas, et appli-
quer sur la partie enflammée elle-même des embrocations et des cata-
plasmes capables de repousser ce qui afflue, d'évacuer ce qui est déjà
contenu dans la partie malade, et de donner du ton et de la force aux
parties déjà fatiguées. Si donc l'inflammation s'est formée dans les par- 16
ties inférieures du corps, il faut inciser une des veines du pli du coude,
soit celle du côté intérieur, soit la veine médiane; mais, si c'est une des
parties supérieures qui est affectée, il faut soutirer du sang par en bas:
car il convient toujours d'opérer une révulsion en sens contraire de la
direction prise par la fluxion. On appliquera le cataplasme composé de 17
joubarbe, d'écorces de grenades cuites dans du vin paillet et de farine
d'orge légèrement torréfiée : car, dans ces cas-là, c'est le meilleur re-
mède; il est capable de faire tout ce dont nous avons besoin : en effet,
il repousse ce qui afflue, dessèche ce qui est contenu dans l'organe af-

5. μέν om. R. — 12. γρ. καὶ ῥοῦ R ad calc.; καὶ ῥοῦ Gal., *Syn.*, *ad Eun.*

18 ξηραίνει τὸ περιεχόμενον καὶ ῥώννυσι τὰ μόρια. Καὶ ἄλλα δὲ μυ-
19 ρία φάρμακα κατὰ τὸν αὐτὸν τρόπον ἔνεσῖι συντιθέναι. Εἰ μὲν δὴ μὴ σφοδρῶς ὀδυνῷτο, τοῖς τοιούτοις χρῆσθαι· σὺν ὀδύνῃ δὲ μείζονι τοῦ ῥεύματος ἐμπεσόντος, οὐ χρὴ μὲν οὐδὲ οὕτως οὔτε ὕδωρ θερμὸν, οὔτε ἔλαιον, οὔτε τὰ διὰ τῶν πυρίνων ἀλεύρων προσφέρειν καταπλάσματα· πολέμια γὰρ ἅπαντα τὰ τοιαῦτα ταῖς ῥευματικαῖς διαθέσεσι, κἂν εἰ παραχρῆμα δόξειε ῥᾳσΊώνην τινὰ φέρειν.
20 Ἀρκεῖ δὲ τῶν τοιούτων τινὶ παραμυθήσασθαι τὸ σφοδρὸν τῆς ὀδύνης, ὅσα διὰ γλυκέος τε καὶ ῥοδίνου καὶ κηροῦ βραχέος ἐν ἀμφοῖν
21 τετηκότος σύγκεινται. Χρὴ δὲ ταῦτα ἀναλαμβάνειν ἐρίοις ῥυπαροῖς οἴσυπον ὡς πλεῖσΊον ἔχουσι, καὶ θέρους μὲν ψυχρὰ, χειμῶνος
22 δὲ χλιαρὰ προσφέρειν. Οὕτω δὲ καὶ τὰ καταπλάσματα· μικρὸν δὲ ὑπεράνω τῶν πεπονθότων χωρίων ἐπιτιθέναι σπόγγον, οἴνῳ σΊρυφνῷ βρέχων, ἢ ὕδατι ψυχρῷ· κάλλιον δὲ εἰ καὶ ὄξους ὀλίγον ἔχοι, καὶ εἰ μὲν ἐπὶ τούτοις ἀξιόλογος ἡ ὠφέλεια γίνοιτο, καὶ μη-

18 fecté, et renforce les parties. On peut composer encore, de la même
19 manière, un grand nombre d'autres médicaments. Si donc la partie n'éprouve pas une douleur très-violente, on aura recours à des remèdes semblables; mais, si une douleur assez considérable accompagne l'invasion de la fluxion, il ne faut pas même dans ce cas appliquer ni l'eau chaude, ni l'huile, ni les cataplasmes de farine de froment; car tous ces remèdes sont incompatibles avec l'état fluxionnaire, même dans le cas où, du premier abord, ils sembleraient produire quelque
20 soulagement. Il suffit d'apaiser la violence de la douleur par quelque médicament du genre de ceux qu'on compose avec du vin d'un goût sucré, de l'huile aux roses et un peu de cire qu'on fait résoudre dans
21 ces deux liquides. Il faut employer, comme excipient de ces médicaments, de la laine en suint, contenant autant de suint que possible,
22 et appliquer le remède, froid en été, et tiède en hiver. Il faut agir de même pour les cataplasmes, et placer par-dessus, en dépassant un peu les parties malades, une éponge imbibée de vin fortement astringent ou d'eau froide; il vaut mieux encore que ce liquide contienne aussi un peu de vinaigre; et, si l'emploi de ces remèdes est suivi d'une améliora-

3. τοῖς om. R. — 5. τά om. R. — 12. τά om. R. — 13. δέ om. R.

δαμοῦ πύον ὑποφαίνοιτο, τοῖς πρὸς τὰ ῥεύματα φαρμάκοις ἐμπλα-
στοῖς χρῆσθαι. Κάλλιστα δὲ αὐτῶν ὅσα ξηραίνειν τε ἅμα καὶ ἀπω- 23
θεῖσθαι δύναται τὸ ἐπιῤῥέον αἷμα χωρὶς ὀδύνης, ὡς τά γε συντείνοντα
σφοδρῶς καὶ διὰ τοῦτο ὀδυνῶντα πλέον ἀδικεῖ τοῖς ἀλγήμασιν ἢ
ὠφελεῖ ξηραίνοντα. Τοιοῦτον οὖν εἶναι δεῖ τὸ φάρμακον οἷόν ἐστι 24
τὸ σύνηθες ἡμῖν τὸ διὰ χαλκίτεως· εἰ δὲ καὶ καθαρὸν ἔριον οἴνῳ
στρυφνῷ βρέχων ἔξωθεν ἐπιβάλλοις αὐτῷ, πλεῖον ὀνήσεις. Οὕτω 25
μὲν ἰᾶσθαι τὰς ἐπὶ ῥεύμασι φλεγμονάς· τὰς δὲ ἐπί τινι τῶν ἄλλων
αἰτίων ὑγραίνειν τε καὶ θερμαίνειν οὐδὲν κωλύει, καὶ εἰ ἐκπυῆσαί
γε βουληθείης αὐτὰς, καταπλάττειν ἀλεύρῳ πυρίνῳ διὰ ἐλαίου καὶ
ὕδατος ἑψομένῳ. Καὶ εἴ ποτε καὶ ἀποσχάζειν δεήσει, οὐδὲ τοῦτο 26
χρὴ δεδιέναι· τὰς δὲ ἐπὶ τοῖς ῥεύμασιν εἰ ἀποσχάσαις, μέγα τι κα-
κὸν ἐργάσῃ, καὶ μάλιστα εἰ κατὰ ἀρχάς· ὅσαι γὰρ αὐτῶν πλείο-

tion considérable, si nulle part il ne commence à se montrer du pus, on
aura recours aux médicaments emplastiques usités contre les fluxions. Les 23
meilleurs de ces médicaments sont ceux qui peuvent à la fois dessécher
et repousser l'afflux du sang sans causer de la douleur, tandis que ceux
qui causent une constriction très-forte, et pour cela même de la douleur,
font plus de tort, par les tourments qu'ils infligent, qu'ils ne font de bien
en desséchant. Le remède qu'on emploie doit donc être du genre du 24
médicament au cuivre pyriteux dont nous nous servons habituellement;
si, de plus, vous appliquez à l'extérieur, par-dessus le médicament, de la
laine propre imbibée d'un vin fortement astringent, vous produirez un
effet encore plus avantageux. Voilà comment il faut guérir les inflam- 25
mations tenant à des fluxions, tandis que rien n'empêche d'humecter et
de réchauffer celles qui tiennent à quelqu'une des autres causes, et, si
vous voulez les faire suppurer, vous appliquerez un cataplasme de farine
de froment cuite dans de l'huile et de l'eau. Si parfois il est nécessaire de 26
faire aussi des scarifications, il ne faut pas non plus avoir peur de ce
traitement; mais, si vous scarifiez les inflammations produites par les
fluxions, vous causerez beaucoup de dommage, surtout si vous le faites
au commencement; car, pour celles qui, ayant persisté pendant un temps

2. χρηστοῖς R. — Ib. Κάλλιστον R. — 5. οὖν om. R. — ἡψημένῳ Gal.

νος χρόνου οὖσαι μετά γε τὴν τοῦ παντὸς σώματος κένωσιν καὶ τὴν ἄλλην τὴν προσήκουσαν ἴασιν σκληρότητας ἢ μελανότητας ἐν τοῖς μέρεσιν ὑπολειπομένας ἔχουσι, τούτων ἀπάγειν τοῦ αἵματος οὐδὲν ἄτοπον· οὐδὲ γὰρ φλεγμονὰς ἔτι τὰς τοιαύτας νομιστέον.

γ'. Περὶ τῶν ἅμα φλεγμοναῖς ἀποστημάτων.

Ὅταν δὲ χρόνῳ τοῦ κατασκήψαντος αἵματος ἐν τῷ φλεγμαίνοντι
1 μορίῳ μὴ διαφορηθέντος κρατήσῃ μὲν ἡ φύσις, πεφθῇ δὲ σύμπαν
τὸ ῥεῦμα, τότε γίνεται πύον ἐν τοῖς φλεγμαίνουσι μορίοις· τὸ γὰρ
αἷμα, ὡς ἂν ἔξω τῶν ἀγγείων γεγενημένον, ἐπανελθεῖν μὲν εἰς τὴν
ἀρχαίαν φύσιν οὐκέτι δύναται, μεταβάλλεται δὲ καὶ σήπεται καθότι
2 καὶ πάντα ὅσα θερμαίνεται σφοδρότερον ἐν ἀλλοτρίῳ χωρίῳ. Ἐὰν
μὲν οὖν ἐπὶ πλεῖον ἐξεστηκὸς ᾖ τῆς οἰκείας κράσεως τὸ ἔμφυτον
θερμὸν, ὡς ἐν ἀψύχῳ σώματι σήπεται τὸ αἷμα· διασώζοντος δὲ
αὐτοῦ τινα δύναμιν, μικτή τις ἡ μεταβολὴ πρός τε τῆς παρὰ φύσιν

assez long, ont laissé après elles, dans les organes affectés, après l'évacuation de l'ensemble du corps et l'application convenable des autres éléments du traitement, des endurcissements ou des plaques noires, il n'y a rien d'inadmissible à soutirer du sang : en effet, on ne doit même plus regarder de pareilles tumeurs comme des inflammations.

3. DES ABCÈS QUI COMPLIQUENT L'INFLAMMATION.

1 Lorsque, par l'effet du temps, la nature a vaincu le sang qui a été
déposé dans la partie enflammée et qui n'a pas été dissipé, et que toute
la fluxion a été amenée à maturité, c'est l'époque où se forme le pus
dans les organes enflammés : en effet, comme le sang est sorti des vais-
seaux, il ne peut plus revenir à son ancienne nature; mais il se trans-
forme et se pourrit, comme le fait également toute chose qui s'échauffe
plus ou moins violemment dans un endroit qui ne lui est pas destiné.
2 Si donc la chaleur innée s'est beaucoup écartée de sa température natu-
relle, le sang pourrit comme dans un corps inanimé; mais, quand cette
chaleur conserve quelque puissance, il s'accomplit un changement mixte
par l'action simultanée de la cause contre nature et de la cause natu-

αἰτίας καὶ τῆς κατὰ φύσιν ἀποτελεῖται, σηπούσης μὲν τῆς παρὰ
φύσιν, πεττούσης δὲ τῆς κατὰ φύσιν· ὁποτέρα δὲ ἂν αὐτῶν μᾶλλον
κρατήσῃ, κατὰ ἐκείνην αὐτὴν καὶ τὰ γνωρίσματα προέρχεται τά
τε τῆς χρόας καὶ ὀσμῆς καὶ συστάσεως. Κρατησάσης μὲν οὖν ἀκρι-
βῶς τῆς φύσεως, τὸ κάλλιστον γίνεται πύον, ἰδεῖν μὲν λευκὸν καὶ 3
παχὺ καὶ ὅμοιον ἑαυτῷ πανταχόθι, λεῖον δὲ ἁπτομένοις καὶ ἥκι-
στα δυσῶδες· μὴ κρατησάσης δὲ, οἷον ἡμισαπὲς γίνεται, πολλάκις
μὲν λευκὸν ἀποτελεσθὲν, ἤτοι δὲ δυσῶδες, ἢ λεπτὸν κατὰ τὴν σύστα-
σιν, ἐνίοτε δὲ οὐδὲ λευκὸν, ἀλλὰ πελιδνὸν καὶ πολλὰς ἄλλας διαφο-
ρὰς ἴσχον ἐν τῷ μᾶλλόν τε καὶ ἧττον δέχεσθαι τὴν πέψιν· τελέως
[δὲ] ἀῤῥωστούσης τῆς δυνάμεως, οὐδεμίαν ἴσχει χρηστὴν μεταβολὴν
ἡ σηπεδών. Ἀθροίζεται δὲ τὸ πύον ἐνίοτε μὲν ὑπὸ τῷ δέρματι, πολ- 4
λάκις δὲ ἐν τῷ βάθει κατὰ διττὴν αἰτίαν, ἢ τῷ τὸ διαπυῆσαν μόριον
ἐντὸς τοῦ περιτοναίου τὴν θέσιν ἔχειν, ἢ τῷ, κἂν μῦς ὁ πεπον-
θὼς ᾖ, τὸ πύον ὑπό τι τῶν ἀμφιεσμάτων αὐτοῦ καταλαμβάνεσθαι

relle, la première agissant dans le sens de la putréfaction, et l'autre
dans celui de la maturation; mais, suivant que l'une ou l'autre remporte
la victoire la plus décidée, les signes fournis par la couleur, l'odeur et
la consistance, marchent aussi dans le sens de cette même cause. Si donc 3
la nature remporte une victoire complète, c'est le pus le plus louable qui
se forme; il est d'un aspect blanc, épais, partout semblable à lui-même,
lisse au toucher, et présente très-peu de mauvaise odeur; si, au contraire,
la nature n'a pas vaincu, il se forme un pus à moitié pourri, pour ainsi
dire; souvent la nature réussit à le blanchir, mais il a ou une mau-
vaise odeur, ou une consistance ténue; d'autres fois il n'est pas même
blanc, mais livide, et présente un grand nombre d'autres variétés, selon
qu'il a subi une maturation plus ou moins forte; si, enfin, les forces sont
complétement épuisées, la pourriture ne subit aucun changement utile.
Le pus se rassemble quelquefois sous la peau, mais souvent aussi dans 4
la profondeur, ce qui peut tenir à deux causes, ou à ce que la partie
qui suppure est située en dedans du péritoine, ou à ce que, même
quand la partie affectée est un muscle, le pus est intercepté par une des

1. *ἀποτελεῖται* om. R. — 11. [*δέ*] ex em.; om. R. — 13. *τό* om. R.

μὴ φθάσαν εἰς τὴν ἐκτὸς χώραν ἀφικέσθαι διὰ γλισχρότητα καὶ
πάχος ἢ τὴν τοῦ περιέχοντος χιτῶνος πυκνότητα· σπεύδει μὲν γὰρ
ἡ φύσις ἐκκρῖναι τὸ πύον ἀπωσαμένη τῶν πεπονθότων σωμάτων,
καὶ τυγχάνει γε τούτου πολλάκις, ὅταν εὐτυχήσῃ πόρων ἐπιτη-
5 δείων εἰς ἔκρουν, οἷον ὀχετῶν τινων. Οὐ μὴν ἀεί γε τούτων ἐπιτυ-
χοῦσα, συνωθεῖ τὸ πύον ἐπὶ τὰς παρακειμένας χώρας, καὶ ὅταν γε
μικραὶ τυγχάνωσιν οὖσαι, ὑποδιαιρεῖ τὸ περιέχον αὐτὰς σκέπασμα,
6 τὴν ὑπὸ αὐτὸ χώραν εὐρύνουσα. Δῆλον οὖν ὅτι τῶν οὕτω διαπυη-
σάντων ἐπιεικέστερα καθέστηκε τὰ τὴν ῥοπὴν ἔξω ποιησάμενα, καὶ
τούτων αὐτῶν ὅσα μὴ πολὺν ἐπιλαμβάνει τόπον εἰς τὸ πλάτος ἐκ-
τεινόμενα, συνεσταλμένα δὲ ὄντα πρός τινα κορυφὴν ἀνατείνεται
μίαν, κωνοειδῆ τῷ σχήματι γινόμενα· ταῦτα γὰρ ἅμα μὲν ἐνδείκνυ-
ται ῥώμην τῆς ὠθούσης ἔξω δυνάμεως τὸ πύον, ἅμα δὲ οὐ πολὺ δια-
7 φθείρει μέρος ὧν διαβιβρώσκει σωμάτων. Κρεῖττω δὲ καὶ τὰ ὁμα-

enveloppes de ce muscle, n'ayant pas pu auparavant, en raison de sa vis-
cosité et de son épaisseur, ou de la densité de la tunique qui l'environne,
arriver à la région extérieure : car la nature cherche toujours à excréter le
pus en le repoussant des parties malades, et souvent elle atteint ce but,
lorsqu'elle réussit à trouver des canaux qui, semblables à des rigoles, se
5 prêtent à l'écoulement. Cependant, comme elle ne réussit pas toujours
à en trouver, elle pousse le pus à se rassembler dans les espaces vides
voisins, et, lorsque, par hasard, ces espaces sont petits, elle opère de
petites déchirures dans l'enveloppe qui les entoure, afin d'élargir l'espace
6 situé au-dessous de cette enveloppe. Il est donc clair que, dans cette classe
de suppurations, les plus bénignes sont celles qui prennent leur direction
vers l'extérieur, et que, parmi ces dernières suppurations mêmes, les plus
bénignes sont de nouveau celles qui n'envahissent pas beaucoup d'es-
pace en s'étendant en largeur, mais qui, restant ramassées, convergent
vers une seule pointe, en prenant la forme d'un cône : en effet, ces sup-
purations indiquent, d'un côté, l'intégrité de la force qui pousse le pus
vers l'extérieur, et, d'un autre côté, elles ne détruisent pas une partie
7 bien considérable des organes qu'elles rongent. Les abcès qui suppurent

7. ὑποδιαιρεῖ ex em.; καὶ ὑποδιαιρῇ R; ὑποδέρει Gal.

λῶς ἐκπυϊσκόμενα· τὰ γὰρ ἐκ μέρους μέν τινος ἑαυτῶν ἐκπυήσαντα,
τὸ λοιπὸν δὲ ἀνεκπύητον ἔχοντα, πρῶτον μὲν αὐτῷ τῷ χρονιώτερα
τῶν ὅλων εὐθέως ἐκπυησάντων εἶναι μοχθηρὰ, δεύτερον δὲ τῷ δυσ-
χερεῖ τῆς θεραπείας· ἄλλων μὲν γὰρ δεῖται τὰ διαπυήσαντα φαρ-
μάκων, ἄλλων δὲ τὰ ἀνεκπύητα. Καὶ τὰ μὴ περίσκληρα δὲ βελτίω 8
τῶν περισκλήρων, ταῦτα δέ ἐσΊι τὰ τὸ μέσον ἑαυτῶν ἔχοντα μα-
λακὸν καὶ διαπυΐσκον, ὅσον δὲ ἐν κύκλῳ τούτου σκληρόν τε καὶ
δυσεκπύητον. Κρείτlω δὲ καὶ τὰ κατάῤῥοπα κατὰ τὴν κάτω χώραν 9
ἑαυτῶν τὴν κορυφὴν ἴσχοντα τῆς ἐκπυήσεως· ἐνταῦθα γὰρ ἀνασlο-
μωθέντα τὰς ἀποῤῥύσεις εὐπετεῖς λαμϐάνει. Καὶ τὰ μὴ δίκραια δὲ 10
βελτίω τῶν δικραίων· εὑρίσκεται γὰρ τῶν δικραίων τὸ μέσον οὐκ
ἀπαθὲς μὲν, ἀνεκπύητον δὲ καὶ σκληρόν. Ὅταν δὲ κατὰ κύρια μό- 11
ρια γίνηται ἡ ἐκπύησις, ῥῖγος ἕπεται τηνικαῦτα καὶ πυρετὸς ἐπὶ
αὐτῷ· δάκνουσα γὰρ ἡ δριμύτης τοῦ γεννωμένου πύου καὶ διαϐι-

d'une manière égale sont encore préférables aux autres : car ceux qui
suppurent dans une partie de leur étendue, tandis que le reste ne pré-
sente pas de suppuration, sont mauvais, d'abord par cela même qu'ils
durent plus longtemps que ceux qui suppurent tout de suite dans toute
leur étendue, et, en second lieu, à cause des difficultés de leur traite-
ment; en effet, les parties qui suppurent exigent d'autres médicaments
que celles qui ne contiennent pas de pus. De plus, les abcès mous à la 8
circonférence valent mieux que les abcès à circonférence dure; or on ap-
pelle abcès à circonférence dure ceux dont la partie centrale est molle et
suppurante, tandis que celle qui entoure ce centre est dure, et résiste aux
efforts qu'on fait pour la faire suppurer. Les abcès qui penchent vers le 9
bas et qui ont le sommet de leur suppuration dans leur partie infé-
rieure sont aussi préférables : en effet, quand ils se sont ouverts dans
cette région-là, l'écoulement du pus devient facile. Les abcès qui n'ont pas 10
deux pointes sont meilleurs que ceux qui en ont deux; car on trouvera
que la partie centrale des abcès à deux pointes n'est pas exempte de ma-
ladie, mais dure et résistante à la suppuration. Lorsque la suppuration 11
a lieu dans des parties importantes, elle est accompagnée d'un frisson,
et ce frisson est, à son tour, suivi de fièvre; car le pus qui se forme pro-

1. *μέν* om. R. — 6. *τό* om. R.

12 βρώσκουσα τὰ περικείμενα σώματα τὸ ῥῖγος ἐργάζεται. Τῷ χρόνῳ
δὲ παραλλάττουσιν ἀλλήλων αἱ ἐκπυήσεις διά τε τὸ πάσχον μόριον
καὶ τὸν πλεονεκτοῦντα χυμόν· τὰ μὲν γὰρ θερμότερα καὶ μαλακώ-
τερα μόρια θᾶττον ἐκπυΐσκονται, τὰ δὲ ψυχρότερα καὶ σκληρό-
τερα βραδύτερον· οὕτω δὲ καὶ τῶν χυμῶν οἱ μὲν θερμότεροι θᾶτ-
13 τον, οἱ δὲ ψυχρότεροι βραδύτερον. Αὗται μὲν αἱ κατὰ τὴν τοῦ
πράγματος οὐσίαν εἰσὶ διαφοραί· προσέρχονται δὲ ἔξωθεν αἱ κατὰ
τὴν ἡλικίαν τε καὶ φύσιν ὥραν τε καὶ χώραν καὶ κατάστασιν, ἔτι
τε δύναμιν τοῦ κάμνοντος· ἐν ἁπάσαις δὲ αὐταῖς οἱ μὲν θερμότε-
ροι χυμοὶ θᾶττον, οἱ δὲ ψυχρότεροι βραδύτερον ἐκπυΐσκονται.

δ'. Περὶ τῶν ἐκπυηθέντων ἐν ῥευματικαῖς διαθέσεσιν ἐν ᾧ τὸ διὰ τῶν ἰσχάδων κατάπλασμα.

1 Ῥευματικῆς μὲν οὔσης τῆς διαθέσεως καὶ ἐκ μηδενὸς τῶν προ-

duit le frisson en irritant et en rongeant, vu son âcreté, les parties qui
12 l'entourent. Sous le rapport de la durée, les suppurations diffèrent entre
elles en raison de la partie affectée et de l'humeur prédominante; car les
parties suppurent d'autant plus vite qu'elles sont plus chaudes et plus
molles, et d'autant plus lentement qu'elles sont plus froides et plus
dures : de même, pour les humeurs, la rapidité ou la lenteur de la sup-
puration qu'elles produisent est en raison de leur degré de chaud ou
13 de froid. Voilà quelles sont les variétés de la suppuration tenant à l'es-
sence même de la maladie; mais d'autres différences, tenant à des cir-
constances extérieures, viennent s'y ajouter : ce sont celles qui provien-
nent de l'âge ou de la nature du malade, de la saison, du pays, de la
constitution de l'atmosphère, et, de plus, des forces du malade; cepen-
dant, pour toutes ces différences, la suppuration se fait d'autant plus vite
que les humeurs sont plus chaudes, et d'autant plus lentement qu'elles
sont plus froides.

4. DES TUMEURS QUI SUPPURENT DANS L'ÉTAT FLUXIONNAIRE, CHAPITRE QUI CONTIENT AUSSI LE CATAPLASME AUX FIGUES SÈCHES.

1 Lorsque la maladie est fluxionnaire et ne provient d'aucune cause

*δήλων αἰτιῶν συσίάσῃς, καταπλάτΊειν μὲν ἀναγκαῖον ἅπαξ, ἢ δίς
ϖου, καὶ ἄμεινον εἰς τὰ ϖαρόντα τὸ ἐκ τῶν κριθῶν ἄλευρον· ϖα-
ραπλέκειν δὲ ὅμως τι κἀν τούτοις ἢ ὄξους ἢ οἴνου, καὶ διελόντα καὶ
κενώσαντα τὸ ϖύον, ΦυλάτΊεσθαι μὲν τοῦ λοιποῦ ϖροσφέρειν ἔλαιον,
ἢ ὕδωρ. Ἀλλὰ εἰ καὶ ἀπονίψαι δέοι ϖοτὲ τὸ τραῦμα, μελικράτῳ τε* 2
καὶ ὀξυκράτῳ καὶ οἴνῳ καὶ οἰνομέλιτι χρησΊέον. Ἐπιτιθέναι δὲ, εἰ 3
*μὲν ἔτι Φλεγμαίνοι, τὸ διὰ τῆς Φακῆς κατάπλασμα· μὴ Φλεγμαί-
νοντος δὲ, τῶν τε ἄλλων Φαρμάκων τι τῶν ἐμπλασΊῶν, οἷς ἐπὶ ταῖς
τοιαύταις τομαῖς χρώμεθα, καὶ οὐχ ἥκισΊα τὸ διὰ τῆς χαλκίτεως·
ἐπιτιθέναι δὲ κατὰ αὐτῶν ἔξωθεν σπόγγον, ἢ ἔριον οἴνῳ βεβρεγμέ-
νον σΊρυφνῷ· μὴ ϖαρόντος δὲ σΊρυφνοῦ, τῷ ὕδατι μίξας ὄξους
τοσοῦτον ὡς ϖιεῖν δύνασθαι, τούτῳ βρέχειν, τῷ δὲ τραύματι μηδὲν
τῶν λιπαινόντων Φαρμάκων ϖροσφέρειν, οἷον τὸ τετραφάρμακόν
ἐσΊιν· ἀκριβῶς γὰρ δεῖται ξηραίνεσθαι. Μὴ οὔσης δὲ ῥευματικῆς,* 4

manifeste, il faut nécessairement employer une fois, et, dans quelques
occasions, même deux fois, des cataplasmes; mais, dans le cas présent, il
vaut mieux recourir au cataplasme de farine d'orge; cependant on y ajou-
tera, dans ces circonstances, un peu de vinaigre ou de vin, et, après avoir
fait une incision et évacué le pus, on se gardera dès lors d'appliquer de
l'huile ou de l'eau. Mais, si parfois il était nécessaire de laver la plaie, on 2
se servira d'eau miellée, d'eau vinaigrée, de vin ou de vin miellé. S'il y 3
a encore de l'inflammation, on mettra dessus le cataplasme aux lentilles
cuites, et, s'il n'y en a pas, on recourra de préférence au médicament au
cuivre pyriteux, et aussi à d'autres médicaments emplastiques, dont nous
nous servons en cas de pareilles incisions; sur ces médicaments on ap-
pliquera à l'extérieur une éponge, ou de la laine imbibée de vin forte-
ment astringent, ou, si on n'a pas de pareil vin à sa disposition, on ajou-
tera à l'eau une quantité de vinaigre telle, que le mélange soit susceptible
d'être bu, et avec ce liquide on humectera; mais on n'appliquera sur la
plaie aucun remède capable de graisser, comme serait le médicament aux
quatre ingrédients; car la plaie a besoin d'être complétement desséchée.
Quand la maladie n'est pas fluxionnaire, mais provient de quelqu'une 4

3. *ὅμως Syn.; ὁμοίως* R Gal. — 8. *τι* om. R. — 9. *τό* ex em.; *τῷ* R Gal.

*ἀλλὰ ἐπί τινι τῶν ἄλλων αἰτιῶν συσῖάσης, ἀρχομένης μὲν τῆς ἀπο-
σῖάσεως, διὰ τῆς ἀνωδύνου τε καὶ χαλασῖικῆς ἀγωγῆς τῆς ἰωμένης
τὰ φλεγμαίνοντα θεραπευτέον· ἤδη δὲ προηκούσης, ἐπὶ τὴν πεπῖι-
5 κήν τε καὶ διαπυητικὴν μεταβαίνειν. Ὕδατί τε οὖν ἐπὶ πλέον καταν-
τλεῖν προσήκει καταχέοντας ἔλαιον θερμὸν κατὰ τοῦ φλεγμαί-
νοντος μορίου, καταπλάτῖειν τε τῷ τῶν πυρῶν ἀλεύρῳ, διὰ ὕδατος
καὶ ἐλαίου συμμέτρως ἕψοντας· θᾶτῖον γὰρ ἄγει πρὸς διαπύησιν
τοῦτο τοῦ διὰ ἄρτου καταπλάσματος· ἐκεῖνο μὲν γὰρ διαφορητικώ-
τερόν ἐσῖιν, ὡς ἂν ἁλῶν τε καὶ ζύμης ἔχον, ὠπῖημένον τε καλῶς.
6 Καὶ ὅταν γε τὴν ἀρχομένην ἐκπυΐσκεσθαι φλεγμονὴν θεραπεύων
ἐλπίσῃς κωλῦσαι τὴν διαπύησιν, ἐπὶ πλεῖσῖον ἕψει τὸν ἄρτον, ἐλαίῳ
δηλονότι καὶ ὕδατι φυράσας· πολλαπλάσιον δὲ ἔσῖω τὸ ὕδωρ τοῦ
7 ἐλαίου. Μᾶλλον δὲ ἔτι κωλύει τούτου τὴν ἐκπύησιν τὸ τῶν κριθῶν
8 ἄλευρον ὁμοίως σκευαζόμενον. Ἔσῖω δὲ ἐν τῇ θεραπείᾳ ταύτῃ τὸ
9 καταντλούμενον ὕδωρ ἡψημένην ἔχον ἐν ἑαυτῷ ῥίζαν ἀλθαίας. Εἰ*

des autres causes, on soumettra l'abcès, s'il est encore en voie de for-
mation, au traitement calmant et relâchant qui guérit les parties en-
flammées; mais, si l'abcès est déjà à un état avancé, il faut passer au
5 traitement maturatif et suppuratif. On fera donc des affusions abondantes
d'eau, en versant de l'huile chaude sur la partie enflammée, et on ap-
pliquera un cataplasme de farine de froment modérément cuite dans un
mélange d'eau et d'huile; car ce médicament amène une suppuration
plus rapide que le cataplasme au pain, vu que ce dernier est capable
de dissiper plus fortement, parce qu'il contient du sel et du ferment, et
6 qu'il est bien cuit. Aussi, lorsque, en traitant une inflammation qui com-
mence à suppurer, vous espérez pouvoir enrayer la suppuration, il faut
cuire le pain très-fortement, après l'avoir pétri avec de l'huile et de
l'eau, bien entendu; mais l'eau doit être dans une proportion bien plus
7 forte que l'huile. Le cataplasme de farine d'orge, préparé de la même
manière, enraye plus fortement encore la suppuration que le précé-
8 dent. On devra faire cuire de la racine de guimauve dans l'eau desti-
9 née aux affusions pour le traitement dont il s'agit. S'il existe une forte

15. *ἐψημένον* R.

δὲ τάσις εἴη περὶ τῷ φλεγμαίνοντι μορίῳ τοῦ δέρματος ἰσχυρὰ,
σχάζειν αὐτὸ πολλαῖς ἀμυχαῖς συμμέτροις τῷ βάθει, καὶ μετὰ ταῦτα
τὸ κρίθινον ἄλευρον ἕψοντας ὡς εἴρηται, καταπλάττειν. Ἐπὶ ὧν 10
μέντοι δυσεκπύητός τε καὶ δυσδιαφόρητος ὁ ὄγκος ἐστὶ, τοὺς ἐσφη-
νωμένους χυμοὺς ἡγητέον εἶναι παχυτέρους τε καὶ γλισχροτέρους·
ἐν δὴ ταῖς τοιαύταις διαθέσεσι μόναις ἐπιτήδειός ἐστιν ἡ διὰ τῶν
βαθειῶν ἀμυχῶν ἴασις. — Ἐπιτήδειον δὲ καὶ τὸ διὰ τῶν ἡψημένων 11
ἰσχάδων κατάπλασμα· χρὴ δὲ οὐκ αὐτὰς τὰς ἰσχάδας λαμβάνειν,
ἀλλὰ τὸ ὕδωρ ἐν ᾧ διετάκησαν ἡψημέναι. Προσήκει δὲ δηλονότι 12
γλυκείας καὶ λιπαρὰς εἶναι τὰς ἰσχάδας, ὡς ἐν ἑαυταῖς ἔχειν ὑγρό-
τητα παραπλησίαν μέλιτι, καὶ εἰ τοιαύτας λαβὼν ἑψήσειας ἄχρι
πλείστου, τὸ ἀφέψημα μέλιτι λεπτῷ γενήσεται παραπλήσιον. Τούτῳ 13
τοιγαροῦν τῷ ὕδατί ποτε μὲν κρίθινον ἄλευρον ἀναδεῦσαι προσή-
κει, ποτὲ δὲ ἄρτον συγκομιστὸν, ὅ τι περ ἂν ἁρμόττειν σοι δοκῇ.
Εἰ δὲ διαφοροῖτο μὲν ὁ ὄγκος, ἐλλιπέστερον δὲ ἢ προσήκει, συνέψειν 14

tension dans la peau qui entoure la partie enflammée, on y fera des
scarifications nombreuses d'une profondeur moyenne, et après cela on
appliquera un cataplasme de farine d'orge, cuite comme je l'ai dit.
Cependant, dans les cas où on éprouve de la difficulté à faire suppurer 10
la tumeur aussi bien qu'à la dissiper, il faut admettre que les humeurs
enclavées sont trop épaisses et trop visqueuses, et c'est dans ces con-
ditions seules qu'on doit recourir à des scarifications profondes. — Le 11
cataplasme de figues sèches bouillies convient aussi dans ce cas; seule-
ment il ne faut pas prendre les figues sèches elles-mêmes, mais l'eau
dans laquelle elles se sont désagrégées pendant l'ébullition. Cependant 12
il est bien entendu que les figues sèches doivent avoir un goût sucré
et être grasses, de façon à contenir dans leur intérieur un liquide sem-
blable à du miel; si, prenant de telles figues, vous les faites bouillir pen-
dant très-longtemps, leur décoction deviendra semblable à du miel ténu.
C'est donc avec cette eau qu'il faut humecter tantôt de la farine d'orge, 13
et tantôt du pain de ménage, selon que l'un ou l'autre vous paraîtra
convenable. Si la tumeur se dissipe, mais moins complétement qu'il ne 14

2. πολλάκις Gal. — Ib. συμμέτροις ex em.; συμμέτρως R; ἐπιπολαίαις Gal.

ταῖς ἰσχάσιν ὕσσωπον ἢ ὀρίγανον· εἰ δὲ ἰσχυρότερόν ποτε ξηρᾶ-
15 ναι βουληθείης τὸν ὄγκον, ἅλας ἐπεμβάλλειν τῷ ἀφεψήματι. Προσέ-
χειν δὲ χρὴ τὸν νοῦν ἀκριβῶς ἐπὶ ἑκάστης λύσεως· ἡ γὰρ διὰ τῶν
ἰσχυρῶς ξηραινόντων ἀγωγὴ σκιρρῶδες αὐτῶν τὸ κατάλοιπον ἐρ-
γάζεται, κἂν ποτε τοιαύτην ὑποψίαν ἔχῃς, ἀφέψειν ἐν ὕδατι σικύου
τοῦ ἀγρίου ῥίζαν, ἢ βρυωνίας, ἢ ἀλθαίας, ἢ ἀσάρου, πολλάκις μὲν
αὐτῶν μόνων, ἐνίοτε δὲ καὶ τῶν λιπαρῶν ἰσχάδων ἐπεμβάλλων, εἶτα
16 τῷ ὕδατι μιγνύειν τὸ ἄλευρον, ἀναμιγνύντας τι καὶ στέατος. Ἰσχυ-
ροτέρα δὲ τούτων ἐστὶν ἡ τοῦ δρακοντίου, καὶ εἴ ποτε χρῆσθαι βου-
ληθείης αὐτῇ λεπτομερεστέρᾳ τε πολὺ τῶν εἰρημένων οὔσῃ καὶ δια-
17 φορητικωτέρᾳ, μίγνυε πάντως τὸ στέαρ. Διαφορεῖ δὲ σκληρίας
ἀβρότονον λεῖον ἑψηθὲν σὺν ὠμηλύσει· καὶ ἄγνου σπέρμα καὶ φύλλα
18 μετὰ τῶν ἐπιτηδείων. Ἀδίαντον δὲ ἀποστήματα διαφορεῖ, καὶ ἀκα-
19 λήφη φύματα καὶ παρωτίδας. Ἀνήθινον ἔλαιον διαφορητικόν ἐστι

le faut, on fera bouillir, conjointement avec les figues sèches, de l'*hys-
sope* ou de l'origan, et, si parfois on veut dessécher plus fortement la
15 tumeur, on ajoutera du sel à la décoction. Mais chaque fois que vous
défaites l'appareil, prêtez une attention soutenue : car le traitement par
les remèdes fortement desséchants rend le reste des tumeurs squir-
reux, et, si quelquefois vous aviez un pareil soupçon, faites bouillir dans
de l'eau la racine de concombre sauvage, de couleuvrée, de guimauve,
ou de cabaret, souvent toutes seules, quelquefois en y ajoutant aussi
des figues sèches grasses; ensuite on mettra la farine dans l'eau, en y
16 mêlant aussi un peu de graisse. La racine de serpentaire est un remède
plus actif que les précédents, et, si parfois vous voulez vous en servir,
attendu qu'elle est beaucoup plus subtile et dissipe bien plus fortement
que les médicaments dont nous venons de parler, il faut, de toute néces-
17 sité, y mêler de la graisse. L'aurone, triturée et bouillie avec de la farine
d'orge non grillée, dissipe les endurcissements; il en est de même de
la graine et des feuilles de gattilier réunies aux ingrédients convenables.
18 La capillaire dissipe les abcès, et l'ortie dissipe les tubercules et les
19 tumeurs de derrière les oreilles. L'huile d'aneth est capable de dissiper

8. μιγνύειν] μιγνύων R. — 10. τε om. R. — 13. μ. τ. ἐπιτ. om. Gal.

καὶ πεπτικὸν ὠμῶν καὶ ἀπέπτων ὄγκων, πεπτικώτερον δὲ τὸ ἀπὸ
τοῦ χλωροῦ ἀνήθου καὶ ἧττον διαφορητικόν. Ἐβίσκος ἡ ἀλθαία· 20
ἐστὶ δὲ ἀγρία μαλάχη· φυμάτων ἀπέπτων ἐστὶ πεπτική, καὶ ἡ ῥίζα
δὲ αὐτῆς καὶ τὸ σπέρμα ὁμοίως ἐνεργεῖ. Παλιούρου τὰ φύλλα καὶ 21
ἡ ῥίζα φύματα θεραπεύει, ὅσα γε μὴ ὑπάρχει φλεγμονώδη καὶ
θερμά. Ῥύπος ὁ ἀπὸ τῶν ἀνδριάντων φύματα διαφορεῖ, καὶ τῶν 22
πικρῶν θέρμων τὸ ἄλευρον. Πίττα συμπέττει τοὺς σκληροὺς καὶ 23
ἀπέπτους ὄγκους ἅπαντας ἐμβαλλομένη τοῖς καταπλάσμασι, καὶ μᾶλ-
λον ἡ ὑγρά. Βούφθαλμα σκληρίας ἰᾶται μιγνύμενα κηρωτῇ. Ὅταν 24-25
δὲ ἀπογνῷς διαφορῆσαι, τοῖς διὰ τοῦ πυρίνου ἀλεύρου καταπλά-
σμασι χρῶ· συλλαμβάνουσι γὰρ ἰσχυρῶς τῷ τάχει τῆς ἐκπυήσεως·
ἔπειτα ἀναστομώσας, ἐὰν μὲν ἀκριβῶς ᾖ τὰ πέριξ τῆς τομῆς ἀφλέγ-
μαντα, τοῖς ἐμπλαστοῖς φαρμάκοις θεράπευε· ξηραντικὴ δὲ αὐ-
τῶν ἡ δύναμις καὶ ἄδηκτος ἔστω, μὴ διὰ τῶν στυφόντων συγκει-

et de mûrir les tumeurs crues et non encore arrivées à la maturité;
cependant celle qu'on fait avec de l'aneth vert agit plus fortement pour
mûrir, mais moins pour dissiper. La guimauve ou althée, c'est-à-dire la 20
mauve sauvage, a la faculté de mûrir les tubercules crus; la racine et
la graine de cette plante agissent de la même façon. Les feuilles et la 21
racine d'argalou guérissent les tubercules, du moins ceux qui ne sont
pas inflammatoires et chauds. La crasse des statues dissipe les tuber- 22
cules, et il en est de même de la farine de lupins amers. La poix et le 23
goudron font disparaître toutes les tumeurs dures et crues, quand on
les ajoute aux cataplasmes, mais surtout le goudron. Le *buphthalme* 24
guérit les endurcissements, si on le mêle au cérat. Si vous désespérez 25
de pouvoir dissiper, il faut recourir aux cataplasmes de farine de froment; car ils contribuent puissamment à la rapidité de la suppuration; ensuite, si, après l'ouverture de l'abcès, les parties qui entourent l'incision sont complétement exemptes d'inflammation, vous le traiterez par les médicaments emplastiques; mais, comme les facultés de ces médicaments doivent être desséchantes et exemptes de mordication, ils ne sauraient être composés d'ingrédients astringents, mais ou de ceux qui

5. *μὴ λίαν ὑπάρχει* Gal.

μένη φαρμάκων, ἀλλὰ ἤτοι διὰ τῶν διαφορούντων ἀλύπως μόνον,
26 ἢ καὶ βραχύ τι στύψεως ἐχόντων. Ἐχρησάμην δὲ ἐγὼ πολλάκις
ἐπὶ τῶν τοιούτων τῷ τε διὰ ζύμης καὶ τῷ διὰ τῶν κεκαυμένων
ὀστρέων, ἔτι τε τῷ διὰ τῆς χαλκίτεως· εἰ δέ τι τῶν πέριξ τῆς τομῆς
φλεγμαίνοιτο, τῷ διὰ τῆς χαλκίτεως, ἐλαίῳ τήξας, ὅταν ἀτρέμα
ψυχθῇ, κατεράσας εἰς θυίαν μαλάττων τε ταῖς χερσὶ καὶ οἶνον
27 παραχέων. Ὅταν γε μὴν ἐπὶ πλέον ἐκταθῇ τὸ δέρμα κατὰ τὰς ἐκ-
πυήσεις, ὡς ῥακῶδες γενέσθαι, δυσκόλλητον ἀποτελεῖται τοῖς ὑπο-
κειμένοις σώμασιν, ὥστε ἀνάγκην εἶναι τῇ κατὰ πλάτος ἀγωγῇ
28 θεραπεύεσθαι τὸ ἕλκος. Πολλὰ δὲ τῶν ἐν τοῖς ἄρθροις ἑλκῶν οὐκ
ἐκπυΐσκονται· μυξῶδες γάρ ἐστι τὸ ἐν τούτοις ὑγρὸν, κἀπειδὰν
πλεονάσῃ καὶ διαβρέξῃ τὰς περικειμένας σάρκας, ὄγκους ἐργάζεται
παραπλησίους τοῖς λευκοφλεγματίαις ὑδέροις, ἐπὶ ὧν ἐξαπατηθέν-
τες ἔνιοι καὶ τεμόντες, ὡς πύον εὑρήσοντες, οὐχ εὗρον μὲν ὃ ἤλ-

dissipent uniquement sans incommoder, ou de ceux qui ont, en outre,
26 un léger degré d'astringence. Moi, je me suis servi souvent, dans de pa-
reilles circonstances, du médicament au ferment, de celui aux coquilles
d'huîtres brûlées, et, de plus, du médicament au cuivre pyriteux; si quel-
que point des parties qui entourent l'incision était pris d'inflammation,
je recourais au médicament au cuivre pyriteux, en le faisant fondre dans
l'huile, et, quand il était légèrement refroidi, je le versais dans un mor-
27 tier pour le pétrir avec les mains et y ajouter du vin. Lorsque la peau
a été fortement tendue pendant la suppuration, de manière à s'amincir
comme un vieux linge, cette circonstance rend difficile son agglutination
aux parties sous-jacentes, d'où résulte la nécessité de soumettre la plaie
28 au traitement suivant la largeur (*seconde intention*). Un grand nombre des
plaies qui ont leur siége dans les articulations ne suppurent pas; car ces
cavités contiennent un liquide muqueux, et, quand ce liquide est trop
abondant et imbibe les chairs environnantes, il produit des tumeurs
semblables aux hydropisies causées par la pituite blanche; ces tumeurs
ont induit en erreur quelques médecins, qui, après les avoir incisées
dans l'espérance d'y rencontrer du pus, ne trouvèrent pas ce à quoi ils

1. διαφορούντων φαρμάκων ἀλύπως R. κατακεράσας Gal. — Ib. τε om. R. — — 6. κατεράσας ex em.; καταράσας R; Ib. καί om. R.

πισαν, ἐθεάσαντο δὲ διάβροχον καὶ μυξώδη πᾶσαν τὴν περὶ τὸ
ἄρθρον σάρκα. Ἐπὶ δὲ τῶν ἐν βάθει συνισταμένων ἀποστημάτων, 29
καὶ μάλιστα κατὰ τὰ σπλάγχνα, τὰ ἔξωθεν ἐπιτιθέμενα ξηραντικὰ
τῇ δυνάμει καὶ τῶν πινομένων τὰ διὰ τῶν ἀρωμάτων φάρμακα λυ-
σιτελέστατά ἐστιν, ὧν ἡ δύναμις λεπτύνει καὶ εἰς ἀτμοὺς λύει καὶ
διαφορεῖ τὸ συνιστάμενον ὑγρόν. Ἔστι δὲ καὶ ἄλλα μὲν πολλὰ 30
τοιαῦτα, μάλιστα δὲ αὐτῶν εὐδόκιμα τό τε διὰ τῶν ἐχιδνῶν, ἥ τε
ἀθανασία καλουμένη καὶ [ἡ] ἀμβροσία. Ταῦτα μὲν πολυτελῆ· τῶν 31
δὲ εὐτελῶν ἄριστόν ἐστι τὸ ἡμέτερον, ὃ διὰ τῆς καλαμίνθης σκευά-
ζομεν.

ε'. Περὶ φλεγμονῆς.

Φλεγμονὴ πᾶσα διὰ ἐπιῤῥοὴν αἵματος γίνεται. Σκοπὸς τοίνυν ἡ 1-2
κένωσις τοῦ πλεονάζοντος αἵματος ἐν τῷ φλεγμαίνοντι μορίῳ. Περὶ 3
κεφαλὴν τοίνυν φλεγμονῆς οὔσης, ἀπὸ ἀγκῶνος φλεβοτομεῖν, καὶ

s'attendaient, et virent que toute la chair qui environnait l'articulation
était imbibée de liquide et muqueuse. Dans le cas d'abcès qui se forment 29
dans la profondeur, et surtout dans les viscères, les remèdes les plus
salutaires sont, en fait de topiques appliqués à l'extérieur, ceux qui ont
des facultés desséchantes, et, en fait de remèdes destinés à être bus, les
médicaments aux aromes, médicaments dont la vertu atténue, résout en
vapeurs et dissipe le liquide qui se forme. Les plus estimés de ces médi- 30
caments, quoiqu'il en existe un grand nombre d'autres de ce genre,
sont le médicament aux vipères, celui qu'on nomme l'*immortalité,* et
l'*ambroisie.* Mais ce sont là des médicaments d'un prix élevé, tandis 31
que, parmi les médicaments à bon marché, le meilleur est le nôtre, que
nous composons à l'aide de la *calaminthe.*

5. DE L'INFLAMMATION.

Toute inflammation tient à l'afflux du sang. Le but [du traitement] est 1-2
donc l'évacuation du sang qui est surabondant dans la partie enflammée.
Si donc il y a une inflammation à la tête, on fera une saignée au pli du 3

3-4. τὰ ἔξ... πιν. om. Gal. — 8. [ἡ] om. R Gal. — 9. τῆς Κρητικῆς καλ. Gal.

εἰ ὀφθαλμῶν εἴη φλεγμονὴ, ἢ ἀκοῆς, ἢ ἐν στόματι, τέμνειν δεῖ τὴν ὠμιαίαν φλέϐα· μὴ φαινομένης δὲ ταύτης, τὴν μέσην· ἐπὶ δὲ συνάγχης πρώτας μὲν τὰς ἐν χερσὶ, δευτέρας δὲ τὰς ὑπὸ τῇ γλώσσῃ, τῶν δὲ κατὰ ἰνίον καὶ τὰς ἐν χειρὶ μὲν, οὐχ ἥκιστα δὲ καὶ τὴν ἐν τῷ μετώπῳ· ἢν δὲ θώραξ, ἢ πνεύμων, ἢ ἧπαρ, τὴν ἔνδον, ἐπειδὴ κατὰ εὐθύ τε καὶ κατὰ εὐθείας ὁδοῦ τῇ κοίλῃ καλουμένῃ κοινωνεῖ· μὴ φαινομένης δὲ τῆς ἔσω, τὴν μέσην τέμνειν· εἰ δὲ μηδὲ αὕτη, τὴν ὠμιαίαν· νεφρῶν δὲ φλεγμαινόντων, ἢ κύστεως, ἢ αἰδοίου, ἢ μήτρας, τὰς ἐν τοῖς κώλοις τέμνειν, μάλιστα μὲν τὰς κατὰ ἰγνύας· εἰ δὲ μὴ, τὰς παρὰ σφυρόν· ἀεὶ δὲ ἐπὶ πάντων τὰς κατὰ εὐθὺ, οἷον ἐπὶ ἥπατος μὲν τὰς ἐν τῇ δεξιᾷ χειρὶ, ἐπὶ δὲ τοῦ σπληνὸς ἔμπαλιν
4 τὰς ἐν τῇ ἀριστερᾷ. Εἰ μὲν οὖν ἄνευ ἕλκους γένοιτο φλεγμονὴ, μετὰ αἵματος ἀφαίρεσιν χαλαστικῇ ἀγωγῇ θεραπεύειν· τὰ μὲν περὶ θώρακα καὶ ὑποχόνδριά τε καὶ νεφροὺς καὶ μήτραν καταιονᾷν μὲν

bras; s'il y a une inflammation aux yeux, à l'oreille interne, ou dans la bouche, il faut inciser la veine humérale, et, si ce vaisseau-là n'est pas apparent, la veine médiane; en cas d'angine, on saignera en premier lieu les veines des bras, et en second lieu les veines situées au-dessous de la langue; si la région occipitale est le siége de l'inflammation, on ne négligera pas de saigner les veines du bras, mais on ouvrira avant tout aussi celle du front; si la poitrine, le poumon ou le foie, sont enflammés, on incisera la veine du côté interne [du bras], parce qu'il existe, entre ce vaisseau et la veine dite cave, une communication directe et en ligne droite; si la veine interne n'est pas apparente, on coupera la médiane, et, si celle-là ne l'est pas non plus, la veine humérale; si les reins, la vessie, les parties honteuses ou la matrice, sont le siége de l'inflammation, on incisera les veines des membres [inférieurs], de préférence celles des fosses poplitées, et, si cela ne se peut pas, les veines placées à côté de la malléole; mais toujours, en tout cas, on coupera les veines du même côté, par exemple, en cas d'inflammation du foie, celles du bras
4 droit; si, au contraire, il s'agit de la rate, celles du bras gauche. Si l'inflammation n'est pas accompagnée d'une plaie, on la traitera, après l'évacuation sanguine, par la méthode relâchante; pour les inflammations de la poitrine, des hypocondres, des reins ou de la matrice, on fera des af-

ἐλαίῳ γλυκεῖ, καταπλάσσειν τε ὠμηλύσει διὰ ὑδρομέλιτος· προκο-
πῆς δὲ γενομένης, μεταβαίνειν ἀπὸ τῶν καταπλασμάτων ἐπί τε
κηρωτὰς χαλαστικὰς καὶ μαλάγματα· τὰς δὲ περὶ τὰ κῶλα φλεγμο-
νὰς φλεβοτομεῖν καὶ καταπλάσσειν ἄρτῳ ἐξ ὑδρελαίου ἑφθῷ, ἢ γύ-
ρει πυρίνῃ, ἢ κριθίνῃ, ἔστιν ὅτε προκαταιονήσαντα ὕδατι θερμῷ
ποτίμῳ, ἢ ὑδρελαίῳ· προκοπῆς δὲ γενομένης, μεταβαίνειν ἐπὶ φάρ-
μακα πάρυγρα μὲν τὴν σύστασιν, χαλαστικὰ δὲ τὴν δύναμιν· αἱ
γὰρ ἔμπλαστροι περιτείνουσαι δευτέρων ἐνίοτε φλεγμονῶν αἰτίαι
καθίστανται. Εἰ δὲ σκιῤῥῶδες τὸ λείψανον τῆς φλεγμονῆς ὑπομένει, 5
χρηστέον τοῖς ἀμυκτικοῖς, ὥσπερ ταῖς διὰ ἁλῶν, ὅτε καὶ ἐξ ὑδα-
ροῦς ἅλμης διὰ σπόγγων πυριατέον. Εἰ δέ, νικηθέντων τῶν φαρ- 6
μάκων, ἐκπυηθείη ἡ φλεγμονή, στομοῦν χρὴ ἔνθα μάλιστά ἐστιν
ὑψηλότατον αὐτοῦ τὸ φλεγμαῖνον· καὶ γὰρ καὶ λεπτότατον εὑρή-
σεις ἐνταῦθα τὸ δέρμα. Εἰ δὲ καὶ σεσηπέναι φαίνοιτό τινα τοῦ δια- 7

fusions avec de l'huile douce, on appliquera des cataplasmes de farine
d'orge non grillée délayée dans de l'hydromel; si le traitement produit de
l'effet, on passera des cataplasmes aux cérats relâchants et aux malagmes;
pour les inflammations des membres, on fera une saignée et on emploiera
des cataplasmes de pain, ou bien de farine fine de froment ou d'orge,
tous cuits dans de l'huile et de l'eau; quelquefois aussi on commencera
par faire une affusion d'eau potable chaude, ou d'huile et d'eau; si le
traitement produit de l'effet, on passera aux médicaments ayant une
consistance à moitié liquide et des propriétés relâchantes : car, en pro-
duisant une tension dans tous les sens, les emplâtres sont quelquefois
la cause d'inflammations consécutives. Si l'inflammation laisse après elle 5
un reste *squirreux* qui persiste, il faut employer les moyens irritants,
comme les médicaments au sel, cas dans lequel on fera aussi, à l'aide
d'éponges, des fomentations avec de la saumure délayée. Si les médica- 6
ments ont été trouvés impuissants et si l'inflammation s'est terminée par
la suppuration, il faut faire une ouverture à l'endroit où la partie en-
flammée présente le plus de saillie; car, dans cet endroit, vous trouverez
également la peau le plus amincie. S'il vous semble, en outre, qu'une 7
partie de l'organe en suppuration s'est pourrie, il est nécessaire d'en-

6. ἢ ὑδρελ.] *oces* (sic) *et dulci aqua, aut certe aqua et oleo est fomentandus.* Y.

πυηθέντος, ἐγκόπτειν καὶ περιαιρεῖν ἀναγκαῖον αὐτὰ ὥσπερ ἐπὶ μασχαλῶν καὶ βουβώνων, ἐπὶ ὧν μετὰ τὴν περιαίρεσιν πληροῦν χρὴ τὸ ἕλκος, μάλιστα μὲν μάννης· ἔστι δὲ ἡ μάννα ὑπόσεισμα λιβανωτοῦ· ἔχει γάρ τι στυπτικόν· εἰ δὲ μὴ παρείη, αὐτοῦ τοῦ λιβανωτοῦ· ἐπάνωθέν τε παρηγορεῖν ἤτοι γε ἐμβροχῇ, ἢ καταπλάσματι· ἀπὸ δὲ τῆς διατρίτου διαπυΐσκοντα ἔμμοτα ἐπιτιθέναι ὥσπερ τὴν τετραφάρμακον καὶ τὴν τοῦ Ἀζανίτου, ἢ τὸ Μακεδονικόν· ἔστι
8 γὰρ ἡ τετραφάρμακος προσειληφυῖα καὶ λιβανωτοῦ. Μετὰ δὲ ταῦτα τοῖς ξηραίνουσι χρηστέον, καθάπερ τῇ Ἰνδῇ καὶ τῇ Ἀθηνᾷ καὶ τῷ μελαγχλώρῳ τροχίσκῳ· ἐπὶ τέλει δὲ κατουλοῦν ἢ τῷ διὰ καδμείας,
9 ἢ τῇ Ἰνδικῇ, ἢ τῇ Ἀθηνᾷ. Δεῖ δὲ, πρὶν τελέως πληρωθῆναι τὸ ἕλκος, πειρᾶσθαι κατουλοῦν τὸ μὲν πρὸς τοῖς χείλεσιν ἐπικυλίοντα πυρῆνα μήλης ἔχοντα τῆς Ῥοδίας, ἤ τινος τοιούτου ξηρίου· τὰ δὲ

foncer le couteau dans cette partie et de l'extirper, comme on le fait aux aisselles et aux aines, et, dans ce cas, il faut, après l'extirpation, remplir la plaie, indication à laquelle satisfait surtout la *manne* (or la *manne* est la poussière qu'on obtient en secouant l'encens), car ce médicament a quelque chose d'astringent; si on n'a pas de *manne* à sa disposition, on se servira de l'encens lui-même; on appliquera par-dessus des ingrédients calmants sous forme d'embrocation ou de cataplasme; après le [premier] ternaire (*c'est-à-dire à compter du troisième jour*), on appliquera des médicaments propres à être enduits sur des tentes et qui provoquent la suppuration, par exemple, le médicament aux quatre ingrédients, celui de l'Azanien, ou le médicament macédonien : en effet, ce dernier est le médicament aux quatre ingrédients auquel on a ajouté
8 de l'encens. Après cela on recourra aux moyens desséchants, comme l'emplâtre indien, la Minerve, ou la pastille vert noirâtre; vers la fin on cicatrisera avec l'emplâtre à la tutie, l'emplâtre indien, ou la Minerve.
9 Avant que la plaie soit complétement remplie, on doit tâcher de cicatriser la partie la plus voisine des bords, en roulant dessus le bouton d'une sonde recouvert du médicament rhodiaque, ou de quelque autre poudre semblable, tandis qu'on traite les parties centrales avec des tentes

4-5. αὐτῷ τῷ λιβανωτῷ X; *libanotum tritum mittis* Y. — 5. *embroce de vino et oleo* Y. — 12. ἐπικοιλίοντα X. — 13. ξηροῦ X; *pulver* Y.

ἐν μέσῳ μοτοῦν τῶν προειρημένων τινί· ἐπὶ τέλει δὲ κατὰ πᾶν τὸ
ἕλκος τῷ ξηρῷ ὡς προείρηται χρῆσθαι. Ἄνωθεν δὲ αὐτοῦ ἀρκεῖ ἤτοι 10
ξηρὸς μοτὸς, ἢ ἐξ οἴνου ἐλλύχνια Ταρσικὰ, ἢ ξανίδες ἐκ παλαιῶν
ὠμολίνων, σπόγγος τε οἴνῳ δευθεὶς καὶ ἐπίδεσις οἰκεία. Σημειω- 11
τέον δὲ ὅτι ἐπὶ πάσης Φλεγμονῆς τὸ τῆς εἰς τὰ ἐναντία ὁλκῆς καὶ
ἀντισπάσεως παράγγελμα κοινὸν ὑπάρχει, οἷον ἐπὶ μὲν σκέλους
διὰ χειρῶν γυμνάζεσθαι, περιπάτου καὶ σλάσεως ἀπεχόμενον.
Οὔκουν οὐδὲ εἰ τὴν ἕδραν Φλεγμαίνοι τις, τὴν κοιλίαν μαλάξο- 12
μεν, ὥσπερ οὐδὲ εἰ κατὰ κύσλιν, ἢ αἰδοῖον, ἢ νεφροὺς, οὐρητικοῖς
ποτίσομεν, οὐδὲ εἰ μήτραν, ἢ γυναικὸς αἰδοῖον, ἔμμηνα κινήσομεν,
ἀλλὰ ἐπὶ τὰ πορρωτάτω τὴν ἀντίσπασιν καὶ μεθολκὴν ἀεὶ ποιησό-
μεθα. Αἱ μέντοι πυρώδεις Φλεγμοναὶ τοῖς μετὰ τοῦ χαλᾷν ἐμψύ- 13
χουσι βοηθοῦνται, ὥσπερ τῷ τε σφαιρίῳ καὶ τῇ παρύγρῳ καὶ τῷ
διὰ μολυϐδαίνης, ἔτι δὲ καὶ τῷ διὰ ᾠῶν καὶ τῷ διὰ μέλιτος ἀνιε-

enduites d'un des médicaments énumérés plus haut; vers la fin on em-
ploiera la poudre sur toute l'étendue de la plaie de la manière que je viens
de décrire. Par-dessus il suffit d'appliquer soit des tentes sèches, soit des 10
mèches de Tarsus, ou des raclures de vieille toile écrue trempées dans
du vin, ainsi qu'une éponge imbibée de vin et un bandage convenable.
Il est à noter que le précepte de tirer en sens contraire et de révulser 11
est également applicable à toutes les inflammations : ainsi, en cas d'in-
flammation des jambes, on exercera les bras, en évitant la promenade
et la station. Si donc quelqu'un a une inflammation au siége, nous ne 12
relâcherons pas le ventre, pas plus que nous n'administrerons des po-
tions propres à pousser aux urines en cas d'inflammation de la vessie,
des parties honteuses, ou des reins, ou que nous ne provoquerons les
règles, quand la matrice ou les parties génitales de la femme sont le
siége d'une inflammation; mais nous ferons toujours la révulsion et le
transport vers les parties les plus éloignées. Les inflammations brûlantes 13
sont soulagées par les médicaments qui refroidissent et relâchent à la
fois, comme sont la boulette, le médicament à moitié liquide et l'em-
plâtre à la galène, de plus par le médicament aux œufs et le médicament
au miel délayé au point de prendre une consistance à moitié liquide,

1. ἐμμεσω μώτου (sic) X. — 6. *Coxa* Y.

μένῳ παρύγρῳ συσΊάσει καὶ σὺν ὕδατι ἀνακεκομμένῳ· ὁμοίως καὶ
τῇ διὰ χυλῶν μετὰ ἴσου κηροῦ συντακείσῃ ῥοδίνῳ, ἢ ὠμοτριβεῖ ἐλαίῳ
14 αὐταρκεῖ, καὶ μετὰ ὕδατος ἀνακοπείσῃ. Τὰ δὲ ἐρυσιπέλατα ἰδιαίτε-
15 ρον θεραπευόμενα ἰδίας καὶ ἀναγραφῆς τεύξεται. Αἱ δὲ μετὰ νομῆς
φλεγμοναὶ καταπλασσέσθωσαν ἤτοι φακῷ ἑφθῷ μετὰ μέλιτος, ἢ
16 καὶ ἄρτου τι προσειληφότι, ἐνίοτε καὶ σιδίων. Καὶ τὰς ἐπὶ τραύ-
ματι δὲ φλεγμονὰς αἳ γίνονται νικηθέντων τῶν ἀφλεγμάντων
φαρμάκων, θεραπεύειν καταιονοῦντα μὲν ὕδατι θερμῷ ποτίμῳ, ἢ
ὑδρελαίῳ, αὐτῷ δὲ τῷ ἕλκει τετραφάρμακον ἐπιτιθέντα, ἢ τὸ Μα-
κεδονικὸν, ἢ τὴν τοῦ Ἀζανίτου, ἀνιεμένας ῥοδίνῳ, ἢ ἄλλῳ τινὶ τῶν
χαλαστικῶν ἐλαίων, ἄνωθεν δὲ καταπλάσσοντα διὰ ὑδρελαίου καὶ
πυρίνου ἀλεύρου, ἢ κριθίνου, ἢ ἐξ ἀμφοῖν μικτοῦ· ἐν παρακμῇ δὲ
τοῖς ξηραίνουσιν ὡς τῇ Ἰνδικῇ καὶ τῇ Ἀθηνᾷ, καὶ τὰ λοιπὰ ἀκολού-
17 θως. Ἕδρας δὲ φλεγμαινούσης καὶ δακτυλίου, καταπλάσσειν μελι-

et battu avec de l'eau; il en est de même pour le médicament aux sucs
(*diachylon*) fondu avec une proportion égale de cire dans une quantité
suffisante d'huile aux roses ou d'huile d'olives vertes, et battu avec de
14 l'eau. Comme les érésipèles réclament un traitement à part, ils feront
15 l'objet d'une mention spéciale. Les inflammations compliquées d'ulcéra-
tion envahissante doivent être traitées avec des cataplasmes de miel
et de lentilles cuites, soit seules, soit combinées avec un peu de pain,
16 et quelquefois avec des écorces de grenade. Les inflammations qui pro-
viennent d'une blessure, et qui tiennent à ce que les médicaments des-
tinés à prévenir l'inflammation ont été impuissants, exigent l'emploi
des affusions d'eau potable chaude, ou d'huile et d'eau, et, sur la plaie
elle-même, l'application du médicament aux quatre ingrédients, du mé-
dicament macédonien, ou de l'emplâtre de l'Azanien délayés dans de
l'huile aux roses, ou dans quelque autre huile relâchante; par-dessus
on placera un cataplasme de farine de froment ou d'orge, ou bien de
ces deux espèces de farine réunies, délayées dans de l'huile et de l'eau;
à l'époque du déclin, on recourra aux desséchants, comme l'emplâtre in-
17 dien, ou la Minerve, et ainsi de suite. Quand le siége et l'anus seront en-
flammés, on emploiera un cataplasme de mélilot cuit dans du vin d'un

9-10. τὸ Μακεδονικῷ X.

λώτῳ ἐν γλυκεῖ ἑφθῷ, μιγνύντα καὶ ᾠοῦ λέκιθον ὀπτὴν καὶ ἄρτον ἐν οἴνῳ βεβρεγμένον, βραχὺ δέ τι καὶ κρόκου.

ϛʹ. Περὶ ἀποστημάτων.

Ἀπόστημά ἐστι φθορὰ καὶ μεταβολὴ σαρκῶν, ἤτοι σαρκωδῶν, 1
οἷον μυῶν, νεύρων, φλεβῶν, ἀρτηριῶν, συμμεταβαλόντων καὶ συν-
διαφθειρομένων τοῖς σεσημμένοις σώμασι καὶ τῶν περιεχομένων
ἐν αὐτοῖς ὑγρῶν. Εἴδη δὲ ἀποστημάτων τὰ ἀνωτάτω δύο· τὰ μὲν 2
γὰρ ἐν χιτῶνι συνίσταται, τὰ δὲ ἄνευ χιτῶνος. Τὰ μὲν οὖν ἐν χι- 3
τῶνι συνιστάμενα ἑτερωνύμως προσαγορεύεται· στεατώματα γὰρ
καὶ ἀθερώματα καὶ μελικηρίδες καλοῦνται, τὴν ἐπωνυμίαν ἔχοντα
κατὰ ἐμφέρειάν τινα· τὰ δὲ ἄνευ χιτῶνος ἐν αὐτῇ τῇ σαρκὶ γινό-
μενα τηροῦντα τὴν τοῦ γένους ὀνομασίαν ὁμωνύμως ἀποστήματα
προσαγορεύεται, περὶ ὧν νῦν πρόκειται λέγειν. Τῆς δὲ τῶν ἀπο- 4
στημάτων γενέσεως προηγεῖται φλεγμονὴ κατὰ τὸ πλεῖστον, γι-
νομένη ποτὲ μὲν ἐξ ἀφανοῦς αἰτίας, ποτὲ δὲ ἐκ πληγῆς, ἢ τραύ-

goût sucré, auquel on ajoutera un jaune d'œuf grillé, du pain trempé dans du vin et un peu de safran.

6. DES ABCÈS.

Un abcès est une corruption et une transformation de chairs ou de 1
parties charnues, par exemple de muscles, de nerfs, de veines ou d'ar-
tères, dans laquelle les liquides contenus dans les parties qui se pour-
rissent prennent part à leur transformation et à leur corruption. Il existe 2
deux classes principales d'abcès : en effet, quelques-uns se forment dans
une tunique, et d'autres sans tunique. Les abcès qui se forment dans 3
une tunique sont désignés par des noms d'une autre espèce : en effet,
on les appelle *stéatômes*, *athérômes* et *mélicérides*, et ils tirent leur sur-
nom d'une certaine ressemblance; tandis que les abcès sans tunique,
qui se forment dans la chair même, conservent le nom du genre, et
sont indiqués par le même nom d'*abcès* : c'est de ceux-là que je me pro-
pose de parler actuellement. La formation des abcès est précédée, le 4
plus souvent, d'une inflammation provenant, tantôt d'une cause non ap-
parente, tantôt d'un coup, d'une blessure, d'une piqûre, ou de quelque

5 ματος, ἢ νύγματος, ἤ τινος ὁμοίου. Παρέπεται δὲ τῷ ἀποστήματι
γινομένῳ πύρωσις ἰσχυρὰ τοῦ τόπου καὶ ὄγκος μείζων τοῦ πρόσθεν
ἠρέμα εἰς ὀξεῖαν κορυφὴν ἀνατεινόμενος, ἔρευθός τε κατακορέστε-
ρον ἢ πρὶν, καὶ μᾶλλον πελιώτερον, καὶ σκληρότης ἱκανὴ καὶ ἄλγημα
σύντονον, οὐ διηνεκῶς μὲν ἐγκείμενον, κατὰ δέ τινας ἐμβολὰς νυγμα-
τωδῶς ἐμπῖπτον, ὥσπερ διακεντουμένης τῆς σαρκὸς, ἢ διεσθιομέ-
νης, σφυγμόν τε ἄδηλον ἴσχει ὁ τόπος, βαρύ τε φαίνεται καὶ οἷον
6 ἀλλότριον τὸ ἀφιστάμενον μέρος. Εἰ δὲ καὶ ἐπίκαιρος εἴη ὁ φλεγμαί-
7 νων τόπος, οἷον νευρώδης, ἐπιγίνεται καὶ πυρετός. Τῆς δὲ τοῦ
σώματος συμπαθείας μέγα τεκμήριον βουβών· ἐπιφανὴς οὐ γὰρ
8 ἄλλως πυρετὸς ἐν ταῖς ἐν ἐπιφανείᾳ φλεγμοναῖς ἐγείρεται. Βου-
βῶνες δὲ κοινότερον εἴρηνται φλεγμοναὶ αἱ τῶν ἀδένων μετὰ ἐπάρ-
9 σεως, τῶν ἐν τοῖς βουβῶσι κυρίως οὕτω καλουμένων. Εἰ μὲν οὖν
περὶ κεφαλὴν συνίσταται τὸ φλεγμαῖνον, ἢ περὶ τὸν τράχηλον, ἢ

5 autre accident semblable. L'abcès est accompagné, pendant sa formation,
d'une ardeur considérable du lieu affecté, d'une tuméfaction plus grande
qu'auparavant et qui se ramasse peu à peu en une pointe aiguë, d'une
rougeur ayant une teinte plus foncée, ou, du moins, plus bleuâtre qu'au-
paravant, d'une dureté assez prononcée, d'une douleur vive qui ne reste
pas sans interruption dans la partie, mais qui, par accès, la frappe d'une
sensation de piqûre, comme si la chair était percée ou rongée; de plus,
le lieu affecté est le siége d'une pulsation peu apparente, et la partie où
se trouve l'abcès semble lourde et produit l'effet d'un corps étranger.
6 Si la partie enflammée est importante, par exemple si c'est une partie
7 nerveuse, il survient aussi de la fièvre. Un bubon est une grande preuve
de ce que tout le corps prend part à la maladie : car, sans cela, les in-
flammations des parties superficielles n'excitent pas de fièvre manifeste.
8 On appelle plus généralement *bubons* [toutes] les inflammations de
glandes accompagnées de tuméfaction; tandis qu'on réserve particu-
9 lièrement ce nom pour les tumeurs des aines (*en grec* βουβῶνες). Si
donc un phlegmon se forme à la tête, au cou, à la poitrine, à la partie

2. γινομένῳ ex em. Littré; γενομένῳ X. — 10. μετά X; delet Littré. — 13. κυρίως loco migrare jussit Littré; post φλεγμοναί (l. 12) X.

περὶ θώρακα, ἢ μετάφρενον, ἢ βραχίονας, οἱ ἐν ταῖς μασχάλαις
συμπάσχουσιν· εἰ δὲ περὶ τὰ σκέλη, οἱ ἐν τοῖς κυρίως βουβῶσι
καλουμένοις. Οἵ τε πυρετοὶ τὸ ἐπίπαν οἱ ἐπὶ τῇ γενέσει τῶν ἀπο- 10
σΊημάτων συνισΊάμενοι νύκτωρ ἐπιτείνουσι, καὶ τὰ πολλὰ προη-
γεῖται αὐτῶν ῥῖγος οὐκ ἰσχυρὸν μὲν, ἀνωμάλως δὲ τὰς ἐμπΊώσεις
ποιούμενον, καὶ μάλισΊα τῆς ἀποσΊάσεως ἐν βάθει ἐπιγινομένης.
Ταῦτα μὲν οὖν ὑγροῦ μέλλοντος ἔσεσθαι καὶ ἤδη γινομένου ση- 11
μεῖα· γενομένου δὲ, τὰ μὲν ἀλγήματα μειοῦται, καὶ οἱ σὺν τοῖς
ῥίγεσι πυρετοὶ παύονται, καὶ ἡ πύρωσις κατασβέννυται, τὰ δὲ
νύγματα οὐκ ἐκλείπει μὲν, κνησμώδη δὲ γίνεται καὶ ἡσυχῇ ναρκώδη,
καὶ ὁ ὄγκος κορυφοῦται, καὶ ἡ φλεγμονὴ εἰς ὀξεῖαν κορυφὴν ἀπο-
τελευτᾷ, καὶ πέλιος διαμένει καθάπερ καὶ πρόσθεν, κατὰ δὲ τὴν
κορυφὴν ὑπολευκαίνεται, εὐαφής τέ ἐσΊι καὶ εἰκτικὸς κατὰ ταῦτα
ὑποπίπΊει καὶ ῥᾳδίως κατὰ τὰς ἐπερείσεις τῶν δακτύλων ἀντι-
μεθισΊάμενος· πρός γε μὴν τούτοις ἡ ἐπιφάνεια κατὰ τὴν κορυφὴν
ἀποσύρεται καὶ ἀποδέρεται. Λέγω δὲ ταῦτα ἐπὶ τῶν ἔξω κορυφου- 12

moyenne du dos, ou aux bras, les glandes des aisselles prennent part à
l'affection; si c'est aux jambes, la même chose a lieu pour les glandes
situées dans la région qu'on appelle proprement *aines* (ou *bubons*). En 10
général, les fièvres qui proviennent de la formation des abcès s'aggra-
vent la nuit, et, le plus souvent, elles sont précédées d'un frisson peu
intense, mais qui envahit par accès inégaux, et surtout quand l'abcès se
forme dans la profondeur du corps. Voilà les signes d'un liquide qui 11
va exister ou qui se forme déjà; mais, quand il est déjà formé, les dou-
leurs diminuent, les fièvres accompagnées de frissons cessent, l'ardeur
s'éteint, les sensations de piqûre ne disparaissent pas, mais prennent un
caractère de cuisson et de torpeur légère, la tumeur devient pointue,
l'inflammation se termine en une pointe aiguë, et reste bleuâtre comme
elle l'était auparavant; cependant, à la pointe, elle blanchit un peu, et,
dans cette région, elle se montre douce au toucher, dépressible, prompte
à se transporter facilement au côté opposé quand on appuie les doigts
dessus; en outre, la surface s'éraille et s'excorie à la pointe. Je dis tout 12
cela des abcès qui tournent leur pointe vers l'extérieur, tandis que, dans

13. ἰκτικός X; εὔεικτος Paul. — 16-p. 567, l. 1. ῥηγνυμένων Paul.

μένων, ὡς ἐπί γε τῶν ἐν μεσοπλευρίοις καὶ τῶν ἐν περιτοναίῳ καὶ
πάντων τῶν ἐν βάθει οὔτε ἔρευθος, οὔτε σκληρία, ἢ ἀναδορὰ ση-
μαίνει διὰ τὸ σώζεσθαι τὴν ἐπιφάνειαν ἐπὶ τῶν ἐν βάθει ὁμόχρουν,
οἷα δὴ πολὺ κατωτέρω τοῦ δέρματος συνισΊαμένων τῶν ἀποσΊημά-
13 των· τὰ δὲ ἄλλα κοινὰ ἔχουσι, τούς τε πυρετοὺς καὶ τὰ ῥίγη. Ἴδια
δὲ παρέπεται αὐτοῖς ταῦτα· εὐφόρως μὲν ἐπὶ τὸ πεπονθὸς μέρος
κατακλίνονται, δυσφόρως δὲ καὶ ἐπωδύνως διατίθενται ἐπὶ τὸ ἀπα-
θὲς κατακείμενοι, κἂν μὲν ἐπὶ τὸ ἀπαθὲς κατακλιθῶσιν, οὐδεμία
ἔμφασις ὄγκου γίνεται· ἐὰν δὲ ἐπὶ τὸ πεπονθὸς, ἐξογκοῦται ἀφε-
σΊηκὸς, οἷα δὴ τὴν ῥοπὴν ἔξω ποιουμένων τῶν ὑγρῶν· ἐν δὲ ταῖς
μετακλίσεσι καὶ μετασΊροφαῖς αἴσθησίς τις γίνεται οἷον κλυδαζο-
14 μένου καὶ μεταῤῥέοντος τοῦ ὑγροῦ. Οἷς μὲν οὖν σημείοις τεκμαί-
ροιτό τις ἀπόσΊημα γινόμενόν τε καὶ γεγονὸς, εἴρηται σχεδόν· τοῦ
γε μὴν ἐμπείρου κατὰ τὸν Ἱπποκράτην οὐδὲ ἂν τὴν χεῖρα λάθοι ἡ
σύσΊασις τοῦ ὑγροῦ.

les abcès des espaces intercostaux, dans les abcès de l'intérieur du péri-
toine et dans tous les abcès profondément situés, il ne se manifeste ni
rougeur, ni dureté, ni excoriation, parce que, en cas d'abcès profondé-
ment situés, la surface [du corps] conserve sa couleur naturelle, vu que
les abcès se forment dans une région située bien loin au-dessous de la
peau; les autres signes leur sont communs [avec les abcès superficiels],
13 aussi bien les fièvres que les frissons. Mais ils sont accompagnés des
signes spéciaux suivants : les malades se couchent avec aisance sur la
partie affectée, tandis qu'ils éprouvent du malaise et de la douleur en
restant couchés sur la partie saine; et, s'ils sont couchés sur la partie
saine, il ne se manifeste aucune tumeur; si, au contraire, ils s'appuient
sur la partie malade, cette partie devient saillante par l'écartement des
parois, vu que les liquides penchent vers l'extérieur, et, quand les ma-
lades changent de position et se retournent, il se produit une sensation
14 qui ressemble à la fluctuation ou au déplacement d'un liquide. J'ai à
peu près énuméré les signes à l'aide desquels on peut reconnaître un
abcès en voie de formation ou déjà formé; mais, d'après Hippocrate
(*Fract.* § 3; t. III, p. 426), la formation du liquide n'échappera pas à la
main [exploratrice] d'un homme d'expérience.

ζ'. Θεραπεία ἀποσ7ημάτων.

Μετὰ τὸ ἐκκρῖναι τὸ πύον μότῳ διασάξομεν τὴν διαίρεσιν, ἐπὶ 1
μὲν νευρωδῶν σωμάτων, ἢ χειμῶνος οἰνελαίῳ βρέχοντες τὸν μότον, θέρους δὲ καὶ ἐπὶ τῶν σαρκωδῶν, καὶ μάλισ7α ἐπὶ τῶν ἄκρων, οἷον ταρσοῦ, θέναρος, πέλματος, ὑδρελαίῳ. Ἐπιδήσαντες δὲ ἐπι- 2
βροχῇ συνεχέσ7ερον χρησόμεθα. Εἰ δὲ πλείους εἶεν αἱ διαιρέσεις, 3
τελαμῶνας διεμβαλοῦμεν διὰ τῆς διαιρέσεως οὓς λημνίσκους οἱ χειρουργοὶ καλοῦσιν· χρώμεθα δὲ αὐτοῖς ὑπὲρ τοῦ συνέχειν τὰ σώματα ἐν διασ7άσει, μέχρις ἂν καθαρὰ γένηται τὰ ἕλκη. Τὰ μὲν οὖν 4
πολλὰ τῇ ἐπιούσῃ λύσομεν, καὶ μάλισ7α θέρους· εἰ δὲ μήτε ὑπὸ φλεγμονῆς ὀδυνῷτο ὁ κάμνων, μήτε πολὺ εἴη τὸ ἐπιῤῥέον πύον, τῇ τρίτῃ. Καὶ εἰ μὲν ἔτι φλεγμαίνοι τὰ σώματα, τὰς αὐτὰς ἐμβροχὰς 5
παραληψόμεθα, προκαταντλήσαντές [τε] ὕδατι θερμῷ πολλῷ πρὸ τοῦ καταπλάτ7ειν ἀμυχὰς ἐμβαλοῦμεν· ῥυπαροῦ δὲ ὄντος τοῦ ἕλκους,

7. TRAITEMENT DES ABCÈS.

Après l'évacuation du pus, nous remplirons l'incision de tentes trem- 1
pées dans de l'huile et du vin, s'il s'agit de parties nerveuses ou si le traitement a lieu en hiver, et dans de l'huile et de l'eau, si c'est en été ou si les parties sont charneuses, surtout si ce sont les extrémités du corps, comme le tarse, la paume de la main ou la plante du pied. Après avoir 2
appliqué un bandage, nous insisterons assez longtemps sur les embrocations. S'il existe plusieurs incisions, nous mettrons tout au long, dans 3
l'incision, des bandelettes que les chirurgiens appellent *lemnisques* (plumasseaux de charpie); nous nous en servons pour maintenir les parties dans l'écartement, jusqu'à ce que les plaies se soient mondifiées. Ordinai- 4
rement nous levons l'appareil le lendemain, surtout si c'est en été; mais, si l'inflammation ne cause pas de douleur au malade, et si l'afflux du pus n'est pas abondant, nous attendons jusqu'au troisième jour. Si les parties 5
sont encore enflammées, nous emploierons les mêmes embrocations, et, après avoir fait préalablement une affusion abondante d'eau chaude, nous

12. [τε] ex em.; om. X.

ἐπὶ τὰς ἀνακαθαρτικὰς ἐμπλάστρους χωρήσομεν· καθαρῶν δὲ γενο-
6 μένων, ἀναπληρωτικοῖς χρησόμεθα. Ὑπερσαρκήσαντα δὲ καταστελοῦ-
μεν ἤτοι ξηροῖς μότοις, ἢ οἴνῳ δεδευμένοις, ἢ μέλιτι ὠμῷ· μείζονος
δὲ οὔσης τῆς ὑπερσαρκώσεως, ξηροῖς καταστελοῦμεν, ὡς τῇ Ῥοδίᾳ·
εὐτόνως δὲ καθαίρει καὶ μίσυ καὶ χαλκῖτις· εἶτα ἐμπλάστροις
7 κατουλώσομεν. Ἐπὶ δὲ τῶν κόλπους ἐχόντων, μετὰ τὴν ἀνακάθαρσιν,
ἣν ἐπιγνωσόμεθα ἐκ τοῦ μηκέτι πύον ἐπιφέρεσθαι, κομισάμενοι
τοὺς τελαμῶνας, ἐγκλύσομεν πάντα τὸν κόλπον οἰνομέλιτι, ἐνιέντες
διὰ πασῶν τῶν διαιρέσεων, εἶτα κολλύρια ἐκ μέλιτος ἑφθοῦ πε-
ποιημένα ἐνθήσομεν αὐτοῖς ἐκπληροῦντες τὰς ὑποφορὰς, ἄνωθέν τε
σπλήνιον δυνάμεως παρακολλητικῆς ἐπιβαλοῦμεν· δύναται δὲ πα-
ρακολλᾷν ἥ τε βάρβαρος, καὶ πᾶσαι αἱ διὰ ἀσφάλτου, καὶ ἡ Ἀθηνᾶ
καὶ ἡ διὰ ἰτεῶν, ἥ τε Ἰνδικὴ καὶ ἡ φαιὰ, καὶ μᾶλλον πασῶν ἡ τοῦ
ἁλιέως ᾗ ἡμεῖς χρώμεθα· τοὺς δὲ λεπτὰ ἔχοντας τὰ ἐπικείμενα

pratiquerons des mouchetures avant d'en venir aux cataplasmes : si la plaie
est sordide, nous aurons recours aux emplâtres mondificatifs; et, quand
les plaies seront devenues pures, nous nous servirons des remèdes desti-
6 nés à les remplir. Nous réprimerons les chairs luxuriantes avec des tentes,
soit sèches, soit trempées dans du vin, ou du miel cru; et, si les chairs
luxuriantes sont trop abondantes (pour céder à ce traitement), nous les
réprimerons avec des poudres, comme celle de Rhode; le sulfate de
cuivre déliquescent et le cuivre pyriteux mondifient aussi vigoureuse-
7 ment; ensuite nous cicatriserons à l'aide d'emplâtres. Dans les cas où
il y a des sinus, nous enlèverons les bandelettes après la mondification,
que nous reconnaîtrons par la cessation de l'afflux du pus, et nous
ferons dans tout le sinus des injections de vin miellé, injections que
nous ferons passer à travers toutes les incisions; ensuite nous y intro-
duirons des collyres faits de miel cuit, de manière à remplir les trajets,
et nous placerons par-dessus une compresse enduite d'un médicament
doué de propriétés agglutinatives; à cette classe de médicaments appar-
tiennent l'emplâtre barbare et tous les emplâtres au bitume de Judée,
la Minerve, l'emplâtre aux feuilles de saule, l'emplâtre indien, l'em-
plâtre brun, et, plus que tous les autres, l'emplâtre du pêcheur, dont
nous nous servons; on agglutinera les sinus recouverts de téguments

σώματα αἱ διὰ ἁλῶν. Κατὰ δὲ τῆς ἐμπλάσΊρου σπόγγον ὀξυμέλιτι, 8
ἢ ὀξυκράτῳ, ἢ οἴνῳ διάβροχον ἐπιβαλοῦμεν· ἐπιδήσομεν δὲ ταῖς
ἐπιδέσεσιν ἀρχόμενοι κατὰ τὸν πυθμένα τοῦ κόλπου, τερματίζοντες
δὲ αὐτὸ κατὰ τὸ σΊόμα. Διὰ τρίτης δὲ ἐπιλύσαντες, εἰ μὲν παρα- 9
κεκολλημένα αὐτὰ εὕροιμεν, ἐπὶ τὸ ἐπουλοῦν καὶ μαλάσσειν χωρή-
σομεν· εἰ δὲ ὅλος ὁ κόλπος, ἢ μέρος τι αὐτοῦ μένοι ἀπαρακόλλητον,
πάλιν ἐπὶ τὴν ἔνθεσιν τῶν κολλυρίων ἥξομεν καὶ τὴν ἐπιβολὴν
τῶν σπληνίων, χρώμενοι τούτοις μέχρι παντελοῦς παρακολλήσεως.
Τὰς δὲ περιαιρέσεις τὸν αὐτὸν τρόπον θεραπεύσομεν καὶ τὰς με- 10
γάλας διαιρέσεις.

η'. Χειρουργία ἀποσΊημάτων, ἐκ τῶν Ἀντύλλου καὶ Ἡλιοδώρου.

Mai 1.

|Εἰ μὲν κατὰ τὴν κεφαλὴν γένοιτο ἐπιπολῆς ἀπόσΊημα, ἁπλο- 1
τομήσομεν, τάτΊοντες τὴν διαίρεσιν οὐ κατὰ τὴν εὐθύτητα τῶν τρι-

minces avec les emplâtres au sel. Par-dessus l'emplâtre, nous mettrons 8
une éponge imbibée de vinaigre miellé, d'eau vinaigrée, ou de vin, et
nous appliquerons les bandages, en commençant par le fond du sinus et
en finissant à l'ouverture même. Nous lèverons l'appareil tous les trois 9
(deux) jours; et, si nous trouvons les parties agglutinées, nous passerons
au traitement cicatrisant et ramollissant; si, au contraire, soit tout le
sinus, soit une partie de son trajet, reste décollé, nous retournerons à
l'introduction des collyres et à l'application des compresses, dont nous
nous servirons jusqu'à ce que les parties soient complétement recollées.
Nous traiterons de la même manière les plaies résultant d'une extirpa- 10
tion ou d'une incision d'une grande étendue.

8. TRAITEMENT CHIRURGICAL DES ABCÈS. — TIRÉ DES ÉCRITS D'ANTYLLUS ET D'HÉLIODORE.

S'il existe un abcès superficiel au cuir chevelu, nous ferons une inci- 1
sion simple, à laquelle nous ne donnerons pas une direction parallèle à

Ch. 8, l. 11. μὲν οὖν X. — Ib. περὶ τουτέσΊιν ἡ ἀπόσΊασις X. — 11-12. εὐ-κεφ. X. — Ib. ἡ σύσΊασις τοῦ ὑγροῦ, θυτομ. X.

Mai 1. χῶν, ἀλλὰ ἐπικάρσιον καὶ ὑποβεβλημένην τῇ τριχώσει, ὅπως ἡ οὐλὴ μετὰ ταῦτα κρύπτοιτο ὑπὸ τῆς τῶν τριχῶν ἐπιπτώσεως· εἰ δὲ βύθιον κατὰ τὸν περικράνιον ὑμένα τὸ ὑγρὸν ὑποπίπτοι, ὥστε ἢ διαφθαρῆναι μέρος τι αὐτοῦ, ἢ διαγανακτῆσαι καὶ συμπαθῆσαι, τῆς μὲν εὐμορφίας ἥττονα ποιησόμεθα λόγον, τοῦ δὲ ἀσφαλοῦς προνοούμενοι, δύο διαιρέσεις ἐμβαλοῦμεν συμμέτρους ὡς πρὸς τὸ ἀπόστημα, τὴν μὲν εὐθυτενῆ, τὴν δὲ ἐπικαρσίαν, τεμνούσας κατὰ μεσότητα ἀλλήλας, ὡς τὸ σχῆμα αὐτῶν παραπλήσιον εἶναι τῷ χῖ γράμματι· οὕτω γὰρ ὁ περικράνιος οὐ διαγανακτήσει πανταχόσε
2 διαιρούμενος. Εἰ δὲ κατὰ μέτωπον ἀπόστημα γένοιτο, ἐπικαρσίως διαιροῦμεν μιμούμενοι τὰς φυσικὰς ἐν τῷ μετώπῳ γραμμάς· εἰ δὲ κατὰ ῥῖνα, τὴν τομὴν εὐθυτενῆ τάξομεν κατὰ τὸ μῆκος τῆς ῥινός· εἰ δὲ κατὰ μῆλα, εἰ μὲν ὑπὸ αὐτοῖς τοῖς ὀφθαλμοῖς, μηνοειδεῖ διαιρέσει χρησόμεθα, τὸ κύρτωμα τῆς διαιρέσεως κάτω στρέφοντες, ἵνα

la longueur des cheveux, mais que nous dirigerons transversalement sous les cheveux, afin que, plus tard, la cicatrice soit cachée par la chevelure qui tombe dessus; si, au contraire, on rencontre du pus profondément situé au-dessous de la membrane qui entoure le crâne, de manière que cette membrane soit détruite en partie, ou supporte avec peine cet état et prenne sa part des souffrances, nous tiendrons moins de compt de la beauté, mais nous réserverons nos soins pour la sûreté du traitement, et nous ferons deux incisions proportionnelles à l'étendue de l'abcès, dont l'une sera perpendiculaire et l'autre transversale, et qui se couperont au milieu, d'où il résultera que la forme des deux incisions prises ensemble ressemble à la lettre *chi* : en effet, de cette manière, le péricrâne ne sera pas désagréablement affecté, vu qu'il est coupé dans
2 tous les sens. S'il s'est formé un abcès au front, nous ferons une incision tranversale, en imitant les linéaments naturels de cette partie; si le nez est le siége d'un abcès, nous donnerons à l'incision une direction perpendiculaire dans le sens de la longueur du nez; si ce sont les pommettes, nous lui donnerons, au cas où l'abcès se trouve immédiatement au-dessous des yeux, la forme d'une demi-lune dont nous tournerons le côté saillant en bas, pour la conformer aux courbures naturelles de cette

9. οὐδ' ἀγανακτεῖ X. — 10. γίνοιτο X. — 14. τάσσοντες X.

ταῖς Φυσι|καῖς τῶν ὑπωπίων περιΦερείαις σχηματισθῇ· εἰ δὲ κατω- Mai 1.2.
τέρω κατὰ τὰ λεπτὰ καλούμενα τῆς γνάθου, εὐθυτενῆ τομὴν διελοῦ- 2
μεν, ἐπεὶ καὶ ἡ ῥυσότης ἡ κατὰ Φύσιν τῶν παρειῶν κατὰ εὐθύτητά
ἐστιν. Ὄπισθεν δὲ τοῦ ὠτὸς ὑγροῦ γενομένου, μηνοειδῶς περιγρά- 3
ψομεν, μιμούμενοι τὴν βάσιν τοῦ ὠτός. Τραχήλου δὲ ἐπὶ ἀποστή- 4
ματι τεμνομένου, ἐπὶ μὲν τῶν ὄπισθεν εὐθυτενὴς διαίρεσις ἁρμόδιος,
ἐπὶ δὲ τῶν ἔμπροσθεν, ἐπεὶ λαγαρὸν τὸ δέρμα διὰ τὰς ἐπικύψεις
καὶ πολλὴν ἐπίδοσιν ἔχον, περιελοῦμεν· ἐκ γὰρ τῆς εὐθυτομίας οὐ
πάνυ τι προσπίπτει τὰ σώματα, οἷα δὴ τοῦ δέρματος ἐγχαλωμέ-
νου καὶ ἀφισταμένου τῶν συνεχῶν σωμάτων. Τὰ δὲ αὐτὰ ποιοῦμεν 5
καὶ ἐπὶ μασχάλης καὶ βουβῶνος καὶ δακτυλίου διὰ τὴν ὁμοείδειαν
τοῦ δέρματος πρὸς τὸ τοῦ τραχήλου δέρμα. Ἐπὶ δὲ μαστῶν, πα- 6
χέων μὲν ὄντων τῶν ἐπικειμένων τῷ πύῳ σωμάτων, ἁπλοτομία
γινέσθω· λεπτῶν δὲ καὶ ἀνεπιτηδείων πρὸς κόλλησιν, ἐκτεμνέσθω.
Τὰ μὲν οὖν ἄλλα μέρη τοῦ τιτθοῦ ἀδεῶς περιαιρείσθω· ὁ δὲ πλη- 7

région; si l'abcès est placé plus bas, dans la région qu'on appelle parties
minces de la joue, nous couperons perpendiculairement, puisque les
rides naturelles de cette région ont également une direction perpendi-
culaire. S'il s'est formé du liquide derrière l'oreille, nous l'entourerons 3
d'une incision semi-lunaire, en imitant la base de l'oreille. Si l'on fait 4
une incision au cou pour cause d'abcès, une division perpendiculaire
convient pour la région postérieure; mais, à la partie antérieure, on
aura recours à l'extirpation, parce que la peau est lâche, en vue des
mouvements d'abaissement de la tête, et se prête à un allongement
considérable : en effet, si l'on fait une incision simple, les parties ne se
présentent pas trop facilement au couteau, attendu que la peau se re-
lâche et s'écarte des parties contiguës. Nous faisons la même chose pour 5
l'aisselle, l'aine et l'anus, à cause de la ressemblance entre l'espèce de
peau de ces parties et celle du cou. Quant aux seins, on usera d'une 6
incision simple, quand les parties qui recouvrent le pus sont épaisses;
mais, quand ces mêmes parties sont minces et ne se prêtent pas au recol-
lement, on pratiquera une excision. A l'exception du voisinage de la pa- 7
pille, toutes les autres parties du sein doivent être extirpées sans crainte;

1. *ὑπωπίων* ex em.; *ἐποποιῶν* R. — 7. *λιπαρόν* R. — 10. *Ταῦτα δέ* R.

Mai 2-3.
σίον τῆς θηλῆς τόπος πεφροντισμένως μηνοειδεῖ περιαιρέσει,
8 συντηρουμένης τῆς θηλῆς. Ἐν δὲ τοῖς βραχίοσι καὶ τοῖς ἀγκῶσιν,
ἔν τε ταῖς χερσὶ καὶ δακτύλοις καὶ τοῖς ἀπὸ τῶν βουβώνων κατω-
9 τέρω πᾶσιν εὐθείας κατὰ μῆκος διαιρέσεις ἐγχαράσσομεν. Εἰ δὲ
κατὰ ὠμοπλάτην ἢ κατὰ τὰς κλεῖδας ἀπόστημα συσταίη, λοξὸν τὸ
εἶδος τῶν τομῶν παραληπτέον κατὰ μίμησιν τῆς ἐξοχῆς τῶν ὀστῶν
τούτων· εἰ δὲ κατὰ ῥάχιν, εὐθυτενῶς διαιροῦμεν, ὥσπερ οἱ μύες
10 ἐπιπεφύκασιν. Ἐπὶ δὲ πυγῶν, κατὰ μὲν τὰ περιφερῆ καὶ ὀπίσω
μέρη, διαιροῦμεν εὐθείαις τομαῖς· κατὰ δὲ τὰ ὑπεσταλμένα καὶ
συνεγγίζοντα τοῖς μηροῖς περιελοῦμεν· συριγγοῦται γὰρ ῥᾳδίως, εἰ
3
11 μὴ περιαιροῖτο ἐκ | πλάτους. Ὁμοίως δὲ, εἰ καὶ περὶ τὸν σφιγκτῆρα
ὑγρὸν γένοιτο, τὸ εἶδος τῆς διαιρέσεως ἐπικάρσιον ἐπιτηδευέσθω·
12 ταύτῃ γὰρ καὶ αἱ στολίδες πεφύκασιν. Δεῖ δὲ ἐν τῷ καιρῷ τῆς
κατουλώσεως κασσιτέρινον σωλῆνα κυκλοτερῆ ἐντιθέναι, ἔξωθεν μὲν
ἀχανῆ, εἰς δὲ τὸ βάθος περιφερῆ τρῆμα μέσον ἔχοντα πρὸς τὰς

mais, dans cette région, on fera, avec précaution, une extirpation en
8 demi-lune, en conservant la papille. Aux bras, aux coudes, ainsi qu'aux
mains et aux doigts, et dans toute la région située au-dessous des aines,
9 nous imprimons aux parties des incisions droites longitudinales. S'il se
forme un abcès aux environs de l'omoplate ou des clavicules, il faut
recourir à une incision de forme oblique, en imitant la saillie de ces os;
mais, si c'est à l'épine du dos que siége l'abcès, nous coupons perpendi-
culairement, conformément à la direction naturelle des muscles superpo-
10 sés. Aux fesses, nous faisons des incisions droites aux parties arrondies
et postérieures, tandis que nous extirperons aux parties fuyantes qui se
rapprochent des cuisses : car, dans cette région, il se forme facilement
11 des fistules, si l'on ne pratique pas une extirpation très-étendue. De
même, s'il s'est formé du liquide au niveau du sphincter, il faut donner
à l'incision une forme transversale : car c'est aussi là la direction natu-
12 relle des rides de cette région. A l'époque de la cicatrisation, il faut in-
troduire un tuyau en étain de forme circulaire, largement ouvert à l'ex-
térieur, tandis que, dans la profondeur, il doit être arrondi et pourvu

5. ὑπὸ κλεῖς R. — Ib. συμβαίη R. — 5-6. τὸ σχῆμα τὸν τόνον X. — 8. πεφύκασιν X. — Ib. γλουτῶν X. — 10. ἀπλοτομηθέντα γὰρ ταῦτα συριγγοῦνται X.

Mai 3.
τῶν ϖνευμάτων ἀποδόσεις. Μέχρι τέλους δὲ τῆς θεραπείας ἐγκεί- 13
σθω ὁ σωλὴν ϖρὸς τὴν ἐν διασΊολῇ κατούλωσιν. Ἐπὶ δὲ ϖλευρῶν 14
καὶ σΊέρνου τὸ εἶδος τῆς διαιρέσεως ἐπικάρσιον ἐπιτηδευέσθω·
ταύτῃ γὰρ καὶ αἱ ϖλευραὶ ϖεφύκασιν· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἐπι-
γασΊρίου, διὰ τὸ τὰς φυσικὰς σΊολίδας αὐτοῦ ϖάσας ἐπικαρσίους
εἶναι. Πτερυγώματος δὲ ἐπὶ γυναικείου αἰδοίου τὰ μὲν ἄνω διαι- 15
ρείσθω, τὰ δὲ ϖρὸς τῇ ἕδρᾳ αὐτῶν ϖεριαιρείσθω. Ἐπὶ δὲ ὀσχέου 16
καὶ καυλοῦ τομαῖς εὐθυτενέσι χρησΊέον, καὶ τὸ σύνολον εἰδέναι χρὴ
ὅτι τὰ σχήματα τῶν διαιρέσεων διδασκόμεθα ἐκ τῆς ἐπιβλέψεως
τῆς πρόσθεν ϖρὸς τὸ ἀσφαλὲς καὶ τὸ εὔμορφον· γραμμὰς μὲν γὰρ
φυσικὰς ἀπομιμούμενοι διὰ τῆς τομῆς, ἐπὶ τὸ εὔμορφον ϖοιούμεθα
τὴν ἀναφοράν· εὐθυτενῶς δὲ τέμνοντες, οἷον ἐπὶ τῶν κώλων καὶ τῶν
τενόντων, τῆς ἀσφαλείας ϖρονοούμεθα, ἵνα μὴ τῶν νεύρων καὶ τῶν
ἀγγείων ἐκ τῆς ἐπικαρσίου διαιρέσεως ἀναγκασθῶμεν διελεῖν τι.

d'un trou au milieu, pour permettre au malade de lâcher des vents. Le 13
tuyau devra rester en place jusqu'à la fin du traitement, afin que les
parties se cicatrisent pendant qu'elles sont écartées. Aux côtes et au ster- 14
num, on dirigera l'incision dans un sens transversal : car c'est là égale-
ment la direction naturelle des côtes; il en est de même pour les tégu-
ments du ventre, parce que tous les plis naturels de cette région sont
transversaux. A la partie supérieure des grandes lèvres de l'organe gé- 15
nital de la femme, on fera une incision simple, tandis qu'on pratiquera
l'extirpation dans les parties de cet organe qui se rapprochent du siége.
Aux bourses et au membre viril, on fera usage d'incisions perpendicu- 16
laires, et, en général, il faut savoir que nous apprenons la forme des incisions en tenant d'abord compte de la sûreté du traitement et de la beauté de la forme : en effet, lorsque, avec nos incisions, nous imitons les linéaments naturels, nous avons en vue la beauté; mais, quand nous coupons perpendiculairement, comme aux membres et à la partie postérieure du cou, nous nous inquiétons de la sûreté, craignant d'être obligé de diviser quelque nerf ou quelque vaisseau en coupant transversalement.

3. *καὶ σΊέρνων* R; *ἢ σΊήθους* X. — *ϖεριαιρείσθω* om. R. — 8. *χρή* om. Ib. *τασσέσθω* X. — 6-7. *Πτερυγ.....* X.

Mai 3-4.
17 Χρὴ μέντοι γινώσκειν ὡς οὐκ ἐπίσης ὀφειλόντων ἀποβλέπειν ἡμῶν
πρός τε τὸ ἀσφαλὲς καὶ τὸ εὐπρεπές· πανταχοῦ γὰρ προσεχέστε-
18 ρον τὸ τῆς ἀσφαλείας τίθημι. Πάλιν ἐπὶ μὲν τῶν μικρῶν ἀποστη-
μάτων μιᾷ διαιρέσει χρησόμεθα, κατὰ ὃ λεπτότατα αὐτὰ ἑαυτῶν
εὑρίσκεται τὰ σώματα· ἐπὶ δὲ τῶν μειζόνων πλείοσι διαιρέσεσι
χρώμεθα· τέμνοντες γὰρ ᾗ λεπτότατον τὸ δέρμα καὶ τὸ ὑγρὸν ἐκ-
κρίνοντες, καθίεμεν τὸν λιχανὸν δάκτυλον τῆς ἀριστερᾶς χειρὸς διὰ
4 τῆς διαιρέσεως εἰς τὸν κόλπον, ἔπειτα πανταχῇ περιάγοντες | αὐτὸν
19 τὸ μέγεθος τοῦ κόλπου κατανοοῦμεν. Εἰ μὲν οὖν ἐπὶ ἕν τι μέρος
ὁδηγοῖτο ὁ δάκτυλος, τῶν πέριξ ἀπαθῶν ὄντων, κατὰ ὁπότερα [ἂν]
ὑγιὲς ᾖ τοῦ κόλπου, κατὰ ταῦτα κυρτώσαντες αὐτὸν καὶ περιτείναν-
τες τὴν σάρκα, δευτέραν ἐμβαλοῦμεν διαίρεσιν, τὸ αὐτὸ σχῆμα
20 ἔχουσαν τῇ προτέρᾳ. Εἰ δὲ ὁ κόλπος ὁ περιέχων τὸ ὑγρὸν εὐθυτε-
νὴς μὲν εἴη, τύχοι δὲ πολὺ ἐπιμηκέστερος τοῦ δακτύλου, μετὰ τὴν
δευτέραν διαίρεσιν κομισάμενοι τὸν δάκτυλον, πάλιν διὰ τῆς δευτέ-

17 Il faut reconnaître cependant que nous ne devons pas attacher une impor-
tance égale à la sûreté et à la beauté: car partout j'estime que la considéra-
18 tion de la sûreté me regarde de plus près. De plus, quand les abcès sont
petits, nous ne ferons qu'une seule incision à l'endroit où nous trouvons leurs parois plus minces que partout ailleurs, tandis que, pour des abcès d'une plus grande étendue, nous emploierons des incisions multipliées : en effet, pendant que nous faisons une incision à l'endroit où la peau est le plus mince et que nous évacuons le liquide, nous introduisons le doigt indicateur de la main gauche, à travers l'incision, dans le sinus; ensuite nous le retournons de tous côtés pour constater l'étendue de la cavité.
19 Si donc le doigt arrive sur une région entourée de parties saines, nous
le recourbons vers celui des deux côtés où se trouve une partie intacte
[des parois] du sinus, nous tendons la chair autour de lui, et nous faisons
20 une seconde incision ayant la même forme que la première. Si le sinus
qui contient le liquide est allongé, et si sa longueur dépasse de beaucoup celle du doigt, nous retirerons le doigt après la seconde incision, nous l'introduirons de nouveau à travers cette même incision, et nous

6. χρησόμεθα X. — 10. [ἂν] ex em.; om. R.

Mai 4.

ρας αὐτὸν καθήσομεν, καὶ τρίτην ἄλλην ἐμβαλοῦμεν ἐπὶ τῇ δευτέρᾳ παραπλησίως. Εἰ δὲ πλατὺς εἴη καὶ περιφερὴς, στομώσομεν ᾗ 21 λεπτότατος ὑποπίπτει· καθέντες δὲ τὸν δάκτυλον, τὴν μέν τινα διαίρεσιν κατωτέρω τῆς πρώτης ἐμβαλοῦμεν, τὴν δὲ ἀνωτέρω, εἰ τύχοι κἀνταῦθά τις διασημαίνειν ὑποφορά· ἄλλας δὲ ἐκ πλαγίων τῆς πρώτης καὶ τῆς μετὰ τὴν πρώτην, πάσας μέντοι αὐτὰς ἐπὶ τὸ αὐτὸ ἐκτεινομένας μέρος. Στοχασμὸς δὲ γινέσθω μάλιστα τοῦ τὰς 22 ὑστάτας διαιρέσεις τὰς πρὸς τοῖς πέρασι τοῦ κόλπου παρὰ αὐτὴν τὴν ὑγιαίνουσαν καὶ μὴ ἀφεστηκυῖαν σάρκα ἐμβάλλεσθαι· εἰ μὴ γὰρ τοῦτο γένοιτο, ἀλλὰ ὑπολείποιτό τις χώρα κεκολπωμένη δυναμένη φυλάττειν ὑγροῦ τι μέρος ἐν ἑαυτῇ, μείζων ὁ κόλπος γενήσεται, τῶν ὑγρῶν διασηπόντων ἐκεῖνα τὰ μέρη, κατὰ ἃ ἂν ὑφίστασθαι τύχῃ. Εἰ μὲν οὖν ὑπόπλατυ τὸ ἀπόστημα τύχοι καὶ μὴ πάνυ 23 ἐξωγκωμένον, εὐθυτομήσομεν· εἰ δὲ κυρτὸν ἰσχυρῶς εἴη καὶ περίογκον εἰς ὀξεῖάν τε ἀνατεῖνον κορυφὴν, περιαιρέσει χρησόμεθα· μεγάλῃ μὲν, εἰ καὶ αὐτὸς ὁ τόπος προκαλοῖτο τὴν περιαίρεσιν, ὡς

ajouterons, de la même manière, à la seconde une autre, qui sera la troisième. Si le sinus est large et arrondi, nous l'ouvrirons à l'endroit où il 21 se montre le plus mince; et, après avoir introduit le doigt, nous ferons une incision au-dessous de la première, une autre au-dessus, si par hasard, de ce côté, il se révèle aussi un trajet, d'autres encore sur les côtés de la première et de celle qui est venue après la première; mais toutes les incisions de cette espèce devront se diriger vers la même région. On doit s'efforcer surtout d'obtenir que les dernières incisions si- 22 tuées sur les limites du sinus soient prolongées jusqu'à la chair saine et non abcédée elle-même : car, si cela ne se fait pas, et s'il reste une région creusée d'un sinus et pouvant conserver une partie du liquide dans son intérieur, le sinus s'agrandira, attendu que les liquides font pourrir les parties dans lesquelles ils séjournent. Si donc l'abcès est lé- 23 gèrement aplati et pas trop saillant, nous couperons en ligne droite; si, au contraire, il est extrêmement bombé, saillant, et s'il se ramasse en une pointe aiguë, nous aurons recours à l'extirpation, et nous donnerons à l'incision une grande étendue, lorsque l'endroit lui-même exigera l'ex-

6. μὲν τοιαύτας R. — 9. ὑγιήνην X. — Ib. τάσσειν X.

Mai 4-5.
μασχάλη καὶ βουβὼν καὶ τὰ περὶ τὸν δακτύλιον· εἰ δὲ ὁ μὲν τό-
πος, ὅσον ἐπὶ ἑαυτῷ, παραιτοῖτο τὴν περιαίρεσιν, τὸ δὲ ἀπόστημα
διὰ τὸ ἰσχυρῶς κεκορυφῶσθαι τὴν τῆς περιαιρέσεως ἀνάγκην ἐπά-
24 γοι, μικρᾷ χρησόμεθα. Χρὴ δὲ περιδιαιρεῖν τὸν τρόπον τοῦτον·
μετὰ τὸ σημειώσασθαι τὸν περιαιρεθησόμενον τόπον, διαγράψομεν
5 τὸ βά|θος μυρσινοειδῶς, εἶτα ἄγκιστρον καταπείραντες εἰς μέσην
τὴν περιγεγραμμένην σάρκα, καὶ ἀνατείναντες ἰσχυρῶς διὰ τῆς
25 ἀριστερᾶς χειρὸς, πᾶν τὸ περιχαραχθὲν ἐκτεμοῦμεν. Ταὐτὰ δὲ
ποιήσομεν, κἂν τὰ ἐπεστορεσμένα σώματα τῷ ἀποστήματι λεπτὰ
ἢ νενεκρωμένα εἶναι τύχῃ· εὐδόκιμος γὰρ ἐπὶ ἀμφοῖν τούτοιν ἡ
26 περιαίρεσίς ἐστιν. Μέτρον δὲ τῆς περιαιρέσεως αὐτὸ τὸ λελεπτυ-
27 σμένον, ἢ νενεκρωμένον ἔστω σῶμα. Τοσαῦτα περὶ τῆς χειρουργίας
τῶν ὑποπιπτόντων ἀποστημάτων· ἑξῆς δὲ περὶ τῆς θεραπείας
λεκτέον.

tirpation, comme l'aisselle, l'aine et les environs de l'anus; tandis que
nous la ferons petite lorsque l'endroit, considéré en lui-même, s'opposera
à cette opération, mais que l'abcès, parce qu'il est extrêmement pointu,
24 nous mettra dans la nécessité d'y recourir. Voici la manière dont il faut
extirper la tumeur : après avoir déterminé l'étendue de ce qu'on doit
extirper, nous circonscrirons sa base dans un périmètre en forme de
feuille de myrte; ensuite nous fixerons un crochet au milieu de la chair
comprise dans la figure qu'on vient de tracer, nous la tirerons vigou-
reusement en haut à l'aide de la main gauche, et nous exciserons toute la
25 partie autour de laquelle nous avons tracé une ligne. Nous agirons de la
même façon quand les parties qui recouvrent l'abcès sont minces ou
mortifiées : car, dans ces deux cas, l'extirpation est réputée une bonne
26 opération. On adoptera pour limite de l'extirpation l'étendue de la partie
27 amincie ou mortifiée. Voilà ce que j'avais à dire sur la chirurgie des
abcès qui se présentent; il s'agit maintenant de parler de leur traite-
ment.

6. μέσην] τὸ ὑπό X. — 8. Ταῦτα R; τὰ αὐτά X.

θ'. Περὶ τῶν ἐν κατακαλύψει ἀποστημάτων. Ἐκ τῶν Ἡλιοδώρου.

Ἐὰν μὲν οὖν ὁ ϖεπονθὼς τόπος ὑποπίπτῃ χειρουργίᾳ, συνεργεῖν 1 δεῖ τῇ ϖρὸς τὴν ἐπιφάνειαν ῥοπῇ τοῦ ἀποστήματος διὰ ϖυριῶν θερμῶν καὶ ἐπισπαστικῶν καταπλασμάτων τε καὶ ἐμπλάστρων· τοῦ δὲ ἀποστήματος | ὑπὸ σύῤῥηξιν ἀγομένου, τἀναντία δεῖ ϖοιεῖν, καὶ 276 συνεργεῖν τῇ εἰς βάθος ὁρμῇ ϖρὸς τὴν ἀναστόμωσιν, τῇ μὲν ἐπιφανείᾳ ϖροσάγοντας τῶν στυφόντων καταπλασμάτων τῶν διὰ φοινίκων καὶ θαλίας φύλλων καὶ σιδίων καὶ μήλων, ϖόματα δὲ διδόντας θερμαίνοντα, οἷα τὰ διὰ ϖεπέρεως, σμύρνης, ϖηγάνου, ὀποῦ, ἵνα τῆς ἐπιφανείας στελλομένης καὶ τοῦ βάθους θερμαινομένου καὶ ἐρεθιζομένου λεπτυνθὲν τὸ ἀπόστημα ἀναστομωθῇ. Ἐπὶ δὲ τῶν ὑπο- 2 πιπτόντων ἀποστημάτων τοῖς τῆς χειρουργίας ἔργοις, τελείας ἐκπυήσεως γενομένης, ἐπὶ τὴν χειρουργίαν ἥκειν δεῖ.

9. DES ABCÈS CACHÉS. — TIRÉ D'HÉLIODORE.

Si le lieu affecté se prête à une opération chirurgicale, il faut favoriser 1 la tendance de l'abcès vers la surface à l'aide de fomentations chaudes, de cataplasmes et d'emplâtres attractifs; mais, si l'abcès marche vers la rupture interne, on fera le contraire, et on favorisera sa tendance vers la profondeur, pour provoquer son ouverture : à cet effet, on appliquera à la surface des cataplasmes astringents aux dattes, aux feuilles d'olivier, aux écorces de grenade et aux pommes, et on donnera des potions échauffantes telles que celles au poivre, à la myrrhe, à la rue et au silphium, afin que, par la constriction de la surface, l'échauffement et l'irritation des parties profondes, les parois de l'abcès s'amincissent et se rompent. En cas d'abcès qui se prêtent aux opérations chirurgicales, 2 on aura recours à l'opération quand la suppuration sera entièrement achevée.

7. θαλλίας R.

Mai 277.

277 | ι'. Τῶν ἐν μεσοπλευρίῳ ἀποσΊημάτων χειρουργία.

1-2 Σχηματιζέσθω ὁ κάμνων κεκλιμένος ἐπὶ τὸ ὑγιὲς ϖλευρόν. Πρὸς
δὲ τὴν διαίρεσιν αἱρεῖσθαι δεῖ μεσοπλεύριον τὸ μεσαίτατον τοῦ
3 ὄγκου καὶ τῶν ἄλλων ϖλατύτερόν τε καὶ εἰκτικώτερον. Ἡ δὲ διαί-
ρεσις διδόσθω ϖλαγία μὲν, ὑπόλοξος δὲ ϖρὸς τὸ τοῦ μεσοπλευρίου
4 σχῆμα. Τεμνέσθω δὲ ϖρῶτον μὲν τὸ δέρμα, καὶ ϖρὸ τῆς τοῦ ἀπο-
σΊήματος σΊομώσεως διὰ τῶν τῆς διαιρέσεως χειλῶν ἀγκτῆρες ῥαμ-
μάτινοι διεκϐαλλέσθωσαν τέσσαρες, δύο καὶ δύο· διὰ ἣν δὲ χρείαν
5 ὕσΊερον εἴσεσθε. Μετὰ τὴν τῶν ἀγκτήρων διεκϐολὴν τῷ τοῦ σμι-
λαρίου κόρακι σΊομούσθω τὸ ἀπόσΊημα· ἅμα δὲ καὶ τῷ δακτύλῳ
6 διαρτάσθω τὸ καταλελειμμένον συνεχὲς σῶμα. Μέγεθος δὲ τῆς το-
7 μῆς σύμμετρον ἔσΊω ὡς διδάκτυλον, ἢ καὶ ἔτι μεῖζον. Τῇ δὲ ϖρώτῃ
ἐνεργείᾳ μὴ ὅλον ἐκλαμϐανέσθω τὸ ϖύον· ἡ γὰρ ἀθρόα ἔκκρισις
8 τετήρηται τὸν κατὰ λιποθυμίαν κίνδυνον ἐπιφέρουσα. Ἐκληφθέντος
δὲ τοῦ ὑγροῦ, σπόγγον μάλα μὲν λίνῳ διαδεδεμένον ἐπὶ τὴν διαί-

10. MANIÈRE D'OPÉRER LES ABCÈS DES ESPACES INTERCOSTAUX.

1 Qu'on place le malade dans une position où il soit couché sur le côté
2 sain. Pour faire l'incision, il faut choisir l'espace intercostal qui corres-
pond le mieux au milieu de la tumeur, qui est le plus large et le plus
3 dépressible. On devra faire une incision transversale, mais légèrement
4 oblique, conformément aux contours de l'espace intercostal. On coupera
d'abord la peau, et, avant d'ouvrir l'abcès, on passera à travers les lèvres
de cette incision quatre anses de fil, deux de chaque côté; vous saurez
5 plus tard dans quel but. Après avoir placé ces anses, on ouvrira l'abcès
avec la pointe du bistouri; en même temps, on séparera avec le doigt
6 les parties qu'on a laissées dans la continuité. Que la longueur moyenne
7 de l'incision soit de deux doigts, ou même plus encore. A la première
opération, il ne faut pas enlever tout le pus : car on a observé qu'une
8 évacuation subite de ce liquide amène le danger de défaillance. Après
avoir enlevé le liquide [en partie], on introduira dans l'incision une
éponge fortement liée à un fil, afin de retenir, à l'aide de cette éponge, le

3. ἐκτικ. R. — 7. διὰ ἣν incertum, semideletum in Cod.; δίκαιον Mai.

Mai 277-278.
ρεσιν ἐντιθέσθω, ἵνα διὰ αὐτοῦ τὸ καταλελειμμένον ὑγρὸν ἐπέχη-
ται· εἶτα τιλτοῖς μότοις χρηστέον καὶ πλυγματίῳ διπλύχῳ, ἢ τρι-
πλύχῳ, τῷ καλουμένῳ μοτοφύλακι. Κατὰ δὲ τούτου οἱ ἀγκτῆρες 9
ἀμματιζέσθωσαν τοπικοῦ κρατήματος χάριν· εἶτα ἔξωθεν ἐπιμο-
τούσθω ἡ τομὴ τιλτοῖς οἰνελαίῳ βεβρεγμένοις, καὶ ἔξωθεν ὁ κοινὸς
μοτοφύλαξ ἐπιτιθέσθω, καὶ ὅλῳ τῷ θώρακι ἔριον οἰνελαίῳ βε-
βρεγμένον. Τῇ δὲ δευτέρᾳ, ἢ τρίτῃ λυέσθω, καὶ πάλιν μέρος τοῦ 10
ὑγροῦ αὔταρκες κενούσθω. Γινέσθω τε ταῦτα καὶ ταῖς | ἑξῆς, ἵνα 11 278
τρισὶν, ἢ πλείοσιν ἐπιβολαῖς τὸ τοῦ ὑγροῦ πλῆθος πᾶν κομισθῇ.
Ἀλλὰ ἐπεὶ τὰ ἀποστήματα ταῦτα κινδυνώδη ἐστὶ, τὸν ἄριστον ἰα- 12
τρὸν χρὴ προγινώσκειν τὸν ὀλεθρίως ἔχοντα καὶ τὸν σωτηριωδῶς.
Ὀλεθρίως μὲν οὖν ἔχων ὁ πάσχων μετὰ τὴν τοῦ ὑγροῦ ἔκκρισιν 13
ἀσώδης ἐστὶ, καὶ δυσόρεκτος, καὶ δύσπνους, καί ποτε καὶ βήσσει
μετὰ ἀγρυπνίας καὶ ἀσθενείας τῆς δυνάμεως, καὶ τοῦ ὑγροῦ κενου-
μένου κατὰ ἡμέραν πάλιν συλλέγεται δαψιλὲς δυσῶδες, καὶ φθει-

liquide qui est resté; ensuite on fera usage de tentes de charpie et d'une
compresse double ou triple qu'on appelle *garde-tente*. Sur cette compresse, 9
on nouera les anses pour la retenir en place; ensuite on mettra, à l'exté-
rieur, sur l'incision, des tentes de charpie trempées dans de l'huile et
du vin; on placera de nouveau, extérieurement, sur celles-ci le garde-
tente commun, et, sur toute l'étendue de la poitrine, de la laine trempée
dans de l'huile et du vin. Le deuxième ou le troisième jour, on lèvera 10
l'appareil, et on évacuera de nouveau une partie suffisante du liquide.
Qu'on fasse également cela les jours suivants, afin qu'après y être re- 11
venu trois ou un plus grand nombre de fois, on ait enlevé toute la masse
du liquide. Mais, comme ces abcès sont dangereux, le médecin accompli 12
doit savoir reconnaître d'avance si le malade est dans un état désespéré,
ou si l'on peut s'attendre à le sauver. Le malade désespéré éprouve, 13
après l'évacuation du liquide, de l'anxiété, du défaut d'appétit, de la dif-
ficulté à respirer; quelquefois aussi il a une toux accompagnée d'insomnie
et d'abattement des forces; à mesure qu'on évacue journellement le li-
quide, il s'en rassemble de nouveau une grande quantité, qui exhale une

3. μονοφύλακι R.

Mai 278.
ρομένου τοῦ ὑπεζωκότος ὑμένος, καὶ ἀπολύματα φανήσεται ἐμφε-
ρόμενα τῷ ὑγρῷ· σωτηρίως δὲ διακειμένου τοῦ νοσοῦντος, τὰ ἐναντία
14 συνεδρεύει. Καὶ χρὴ μετὰ τὴν παντελῆ τοῦ ὑγροῦ ἔκκρισιν τὸν λι-
χανὸν δάκτυλον καθιέναι, καὶ σκοπεῖν, πότερον γυμναί εἰσιν αἱ
15 πλευραὶ, ἢ λελιπασμέναι, ἢ σκέπονται ὑπὸ σωμάτων. Ἐὰν οὖν ἔτι
σκέπωνται τῷ ὑπεζωκότι ὑμένι γινέσθω κατάντλησις διὰ ὕδατος εὐ-
κράτου, εἶτα ἐγκλυζέσθω τὸ βάθος μελικράτῳ, καὶ κλινέσθω ὁ πά-
16 σχων πρὸς τὸ πάσχον μέρος. Τὸ δὲ ἐναπομεῖναν ἐρίῳ περὶ μηλω-
τρίδα εἰλημένῳ ἀναρπαζέσθω, εἶτα ἐγχυματιζέσθω μέλι λεῖον ὠμὸν,
ἢ μετρίως ἀπεζεσμένον· φάρμακα γὰρ λιπαίνοντα ἐπὶ τῶν ἀπο-
στημάτων τούτων ἐστὶν ἄθετα· τὸ δὲ μέλι διὰ βαρύτητα ὑποτρέχον
17 καὶ τὸ ὑγρὸν ἀνακουφίζον πρὸς ἔκκρισιν ἄγει. Μετὰ τὴν τοῦ μέ-
λιτος ἔγχυσιν, λημνίσκοι καθιέσθωσαν, καὶ τότε ἡ τομὴ τιλτοῖς
μότοις διαστελλέσθω, εἶτα ἔξωθεν πτυγμάτιον μέλιτι βεβρεγμένον
18 ἐπιτιθέσθω, καὶ οὕτως οἱ ἀγκτῆρες ἀμματιζέσθωσαν. Περιμοτούσθω

mauvaise odeur, et, comme la membrane qui ceint les côtes est en voie
de se détruire, on verra des lambeaux détachés de cette membrane flot-
ter sur le liquide; si l'état du malade permet de croire à son salut, les
14 phénomènes contraires se présentent. Après l'évacuation complète du
liquide, on doit introduire le doigt indicateur, et examiner si les côtes
sont dénudées ou graisseuses, ou s'il existe des parties qui les recou-
15 vrent. Si la membrane ceignante (*plèvre*) les recouvre encore, on fera une
affusion d'eau tiède; ensuite on injectera de l'eau miellée dans le fond
16 de l'abcès, et le patient devra se coucher sur le côté malade. On attirera
la partie du liquide qui reste encore dans l'abcès, à l'aide de laine en-
roulée autour d'une sonde auriculaire; ensuite on fera une injection de
miel broyé, soit cru, soit légèrement cuit; car les médicaments *engrais-
sants* sont inadmissibles pour ces abcès, tandis que le miel, qui, vu sa
pesanteur, va au fond et soulève le liquide, le pousse vers l'extérieur.
17 Après l'injection du miel, on introduira des plumasseaux, et alors on dila-
tera l'incision à l'aide de tentes de charpie; ensuite on mettra dessus, à l'ex-
térieur, une petite compresse trempée dans le miel, et, après cela, on nouera
18 les anses. On recouvrira tout à l'entour les parties voisines de tentes, et on

6. σκέπων R. — 9. εἰλημμένῳ R.

Mai 278-5-6.

δὲ τὰ πλησίον μέρη, | καὶ κατὰ αὐτοῦ ὅλου τοῦ πλευροῦ σπληνίον 5
κεκηρωμένον ἐπιτιθέσθω. Τοῦ δὲ βάθους ῥευματιζομένου, κατά- 19
πλασμα στυπτικὴν ἔχον δύναμιν ἔξωθεν ἐπιτιθέσθω τοῦ σπληνίου.
Ταῦτα γινέσθω ταῖς ἑξῆς ἡμέραις, ἕως οὗ καθαρθῇ καὶ σαρκωθῇ τὸ 20
βάθος· ἐν δὲ τῷ μέσῳ τῆς θεραπείας χρόνῳ οἱ ἀγκτῆρες διακοπτό-
μενοι κομιζέσθωσαν. Οὗτός ἐστιν ἄριστος τρόπος τῆς θεραπείας ἐν 21
αὐτῷ τῷ ὑμένι συλλεγέντος τοῦ ὑγροῦ· μεταξὺ δὲ τῶν πλευρῶν καὶ τοῦ ὑμένος συλλεγέντος, μετὰ τὴν ἀσφαλῆ τοῦ ὑγροῦ ἔκκρισιν ὁρμῆσαι δεῖ ἐπὶ τὴν τῶν πλευρῶν ἐκκοπήν· ἐκθήσομαι δὲ αὐτὴν ἑπομένως.

| ια'. Περὶ ἐκκοπῆς πλευρῶν. 6

Ἐκτεμνέσθω τὰ σκέποντα τὴν πλευρὰν ἢ τὰς πλευρὰς σώματα, 1
ὑπό τι τετραγώνου τῆς ἐκτομῆς ὑπομήκους σχηματιζομένης· πρὸς δὲ τὴν περιχάραξιν διδόσθω μία πρώτη πλαγία διαίρεσις κατὰ μεσοπλευρίου ὑπὸ τὴν δεομένην ἐκκοπῆς πλευρὰν λελοξωμένη πρὸς

mettra sur tout le côté malade lui-même un linge à emplâtre enduit de
cire. Si le fond de l'abcès est le siége d'une fluxion, on placera, à l'exté- 19
rieur, sur ce linge, un cataplasme doué de propriétés astringentes. Les 20
jours suivants, on continuera à faire la même chose, jusqu'à ce que le fond de l'abcès soit devenu pur et charnu; mais, au milieu de l'intervalle
de temps qu'exige ce traitement, on divisera et on enlèvera les anses. C'est 21
là la meilleure manière de traiter une collection de pus dans la membrane elle-même; mais, si la collection se trouve entre les côtes et la membrane, on en viendra, après avoir évacué le liquide avec précaution, à l'excision des côtes; je vais immédiatement exposer le procédé de cette opération.

11. DE L'EXCISION DES CÔTES.

On pratiquera l'excision des parties qui recouvrent la côte ou les 1
côtes, en donnant à la partie qu'on veut enlever la forme d'un carré légèrement allongé; en vue de délimiter le lambeau, faites, dans l'espace intercostal, au-dessous de la côte qui doit être excisée, une première

5. βάρος R. — Ch. 11, l. 12. τι dubium; τε Mai. — Ib. ὑπὸ μήκ. R.

Mai 6.
τὸ τοῦ μεσοπλευρίου σχῆμα, εἰς ὃ καταπειρέσθω ἄγκισΊρον, καὶ
2 ἀναταθὲν ἐκτεμνέσθω. Καὶ οὕτως αἱ πλευραὶ ψιλούσθωσαν, καὶ τῇ
δεομένῃ πλευρᾷ ἀναιρέσεως πλατυμήλης, ἢ μηνιγγοφύλακος ἔλα-
σμα ὑπερειδέσθω ἕδρας χάριν, καὶ ἡ ἀκμὴ τοῦ τρυπάνου σΊηριζέσθω
κατὰ τὸ ἐψιλωμένον μέρος τῆς πλευρᾶς πρὸς τοῖς κατὰ φύσιν σώ-
3 μασι, καὶ γινέσθω ἡ ἐνέργεια. Κἂν ὑποπέσῃ τῷ ἐνεργοῦντι κενεμ-
βατῆσαι, τὸ ἔλασμα τῆς μήλης παραγαγέτω ὑπὸ τὸ τετρημένον
4 μέρος. Ὅλον δὲ διὰ ὅλου τὸ τῆς πλευρᾶς πάχος τιτράσθω, καὶ ἤτοι
δύο τὰ πάντα διδόσθω τρήματα, ἓν καὶ ἕν, σΊενῆς οὔσης τῆς πλευ-
5 ρᾶς, ἢ δύο καὶ δύο, πλατυτέρας οὔσης. Τὸν δὲ τρόπον τῆς τῶν τρη-
μάτων δόσεως ἐκτίθεμεν ἐν τῷ περὶ τῶν τοῦ κρανίου λόγῳ, καθά-
6 περ καὶ τὸν τρόπον τῆς ἐκκοπῆς. ΔιακοπΊέσθω δὲ τῆς πλευρᾶς
κατὰ ἓν μέρος τὸ πλεῖον πάχος, καὶ λεπΊὴ συνέχεια καταλειπέσθω,
7 εἶτα τότε τὸ ἕτερον διὰ τῶν ἐκκοπέων διαιρείσθω ὅλον. Τούτου γε-
νομένου, δακτύλοις, ἢ ὀσΊάγρᾳ, συνεχέσθω ἡ πλευρὰ, ἵνα ἡ κατα-

incision transversale, qui déviera dans un sens oblique pour suivre la
forme de cet espace intercostal; là on enfoncera un crochet, on attirera
2 le crochet et on pratiquera l'excision de la partie attirée. Ensuite on dé-
nudera les côtes, et on établira au-dessous de celle qui a besoin d'être
enlevée la plaque d'une sonde large ou d'un *garde-méninge* pour appuyer
dessus; on appuiera les dents du trépan sur la partie dénudée de la côte
3 près des parties saines, et on fera l'opération. S'il arrive à l'opérateur
d'atteindre [avec le trépan] un espace vide, on avancera la plaque de la
4 sonde au-dessous de la partie perforée [de l'os]. Toute l'épaisseur de la
côte devra être percée de part en part, et on fera en tout deux trous, un
de chaque côté, si la côte est étroite, ou quatre trous, deux de chaque
5 côté, si la côte est plus large. Là où nous parlons des affections du crâne
(voy. *Notes*), nous exposons aussi bien le procédé pour faire des trous
6 que celui de l'excision. D'un côté on divisera la majeure partie de l'é-
paisseur de la côte, et on laissera une adhérence de peu d'épaisseur;
après cela, on divisera l'autre côté de part en part à l'aide de scalpels à
7 excision. Après cette opération, on saisira la côte dont il s'agit avec les
doigts, ou avec une pince à os, afin de diviser d'un seul coup avec le

7. παραγάτω R. — 8. τιτράσθω dubium; τετράσθω Mai. — 13. καταλιπ. R.

Mai 6-7.
λελειμμένη λεπὴ συνέχεια μιᾷ ἐπιβολῇ τῇ τοῦ σμιλίου τοῦ ἐκκο-
πέως ἀκμῇ διακοπῇ. Κἂν μὲν ᾖ ἁπαλὰ τὰ τῆς πλευρᾶς ἄκρα, 8
ἀρκεῖσθαι δεῖ· ἀνώμαλα δὲ ὄντα ῥίνῃ ὁμαλίζειν. Ταῦτα ποιοῦμεν 9
ἐπὶ τῶν ὀσὼδῶν πλευρῶν· ἐπὶ δὲ τῶν χονδρωδῶν ἐκτέμνειν χρὴ
καὶ ἀναιρεῖσθαι διὰ σμιλίου βαρυτάτου, ἢ κατὰ ἐπέρεισιν ἀκμῇ σμι-
λίου τοῦ ἐκκοπέως· οὔτε γὰρ ἀντέρεισις ἐπὶ χονδρώδους πλευ-
ρᾶς παραλαμ|βάνεται, οὔτε ἐκκοπὴ διὰ τὴν ἁπαλότητα τῆς οὐσίας. 7
Ἐκτεμνέσθω δὲ μὴ μόνον τὸ λελιπασμένον μέρος τοῦ χόνδρου, ἀλλὰ 10
καί τινα τῶν κατὰ φύσιν τῆς πλευρᾶς. Μετὰ δὲ τὴν τῶν πλευρῶν 11
ἀναίρεσιν λημνίσκοις ἀναπληρούσθω τὸ τῆς ἐκτομῆς κοίλωμα, καὶ
τὰ πρόχειρα μέρη τιλτοῖς μότοις ἀναπληρούσθω, καὶ κατὰ τοῦ μοτο-
φύλακος ὅλου τοῦ θώρακος ἔριον οἰνελαίῳ βεβρεγμένον ἐπιτιθέσθω,
εἶτα ἐφιδρύσθω. Μετὰ δὲ τὴν κάθαρσιν πρὸς τὴν σάρκωσιν ἐγκρί- 12
νειν δεῖ ἐμπλάσρους κεφαλικὰς ἀνιεμένας ῥοδίνῳ· τὰ γὰρ λιπαί-

tranchant du scalpel à excision la mince adhérence qu'on a laissée sub-
sister. Quand les extrémités de la côte sont lisses, on en restera là; mais, 8
si elles sont inégales, on les égalisera avec la lime. Voilà ce que nous fai- 9
sons quand il s'agit des côtes osseuses; quant aux côtes cartilagineuses, il
faut les couper et les enlever à l'aide d'un scalpel très-lourd, ou en ap-
puyant dessus le tranchant du scalpel à excision; car, pour la partie car-
tilagineuse des côtes, on n'emploie ni contre-appui, ni excision [avec le
marteau] à cause de la mollesse de leur substance. On n'enlèvera pas 10
seulement la partie graisseuse du cartilage, mais aussi une certaine por-
tion des parties saines de la côte. Après avoir enlevé les côtes, on rem- 11
plira de plumasseaux la cavité produite par leur excision, tandis qu'on
remplira les parties rapprochées de la surface de tentes de charpie, et
on mettra sur toute la poitrine, au-dessus du garde-tente, de la laine
trempée dans de l'huile et du vin; ensuite on l'assujettira. Quand la 12
plaie s'est mondifiée, on adoptera, en vue de la production des chairs,
l'usage des emplâtres destinés à la tête, qu'on délayera dans de l'huile
aux roses : car les médicaments engraissants ne conviennent pas dans ce

5. ἐπέρεισιν ex em.; ἐπερεισίαν R; ἐνέργειαν Mai. — 13. ἐπιδρύσθω R.

Mai 7.
νοντα φάρμακα ἀνοίκεια σύνεσΊιν, ὅτι ϖλευρῶν ἄκρα γεγύμνωται, καὶ λιπαινόμενα ϖρὸς τοῖς ἐσχάτοις τῆς Θεραπείας συριγγοῖ τοὺς
13 τόπους μετὰ τὴν σάρκωσιν. Ὑπ7ία οὖσα ἡ ἕλκωσις κατουλούσθω.

ιϐ'. Περὶ ϖεριτοναίου, καὶ τοῦ μεταξὺ ἐπιγασΊρίου καὶ ϖεριτοναίου ἀποσΊήματος.

1 Ἐπὶ τοῦ ϖεριτοναίου τόπου τε τοῦ μεταξὺ ἐπιγασΊρίου καὶ ϖεριτοναίου ἡ αὐτὴ χειρουργία γινέσθω· διαιρεῖται γὰρ ἕως τοῦ ϖύου
2 τὰ σκέποντα σώματα, τοῦ ϖάσχοντος ὑπΊίου ἐσχηματισμένου. Καὶ τἄλλα γίνεται ὡς ἐπὶ Θώρακος· ἄμεινον δέ ἐσΊι μετὰ τὴν ϖαντελῆ τοῦ ὑγροῦ ἔκκρισιν τὸν δάκτυλον εἰς βάθος καθιέναι καὶ διαίρεσιν
3 εἰς ὑπόῤῥυσιν διδόναι. Ὀλίγου δὲ ὄντος τοῦ συλλεχθέντος ὑγροῦ, κατὰ μίαν ἐπιϐολὴν ἡ ἔκκρισις τοῦ ϖαρακειμένου γινέσθω ὡς ἐπὶ τῶν ἐν ἐπιφανείᾳ ἀποσΊημάτων.

cas, pas plus les uns que les autres, parce que les extrémités des côtes sont dénudées, et que, si elles deviennent grasses vers la fin du traitement, elles donnent lieu, après la production des chairs, à la formation
13 de fistules dans la région où existait l'abcès. On cicatrisera la plaie quand elle offre une surface plane.

12. DE L'ABCÈS DU PÉRITOINE ET DE L'ESPACE INTERMÉDIAIRE ENTRE LES TÉGUMENTS DU VENTRE ET LE PÉRITOINE.

1 Quand il s'agit du péritoine et de l'espace intermédiaire entre les téguments du ventre et le péritoine, on aura recours à une opération analogue; en effet, on divise les parties qui recouvrent le pus, jusqu'à ce
2 qu'on arrive à lui, le malade étant placé sur le dos. Le reste du traitement se fera aussi comme pour la poitrine; mais il est préférable d'introduire le doigt dans le fond de l'abcès après l'évacuation complète du pus et de
3 faire une incision pour provoquer l'afflux. Si la collection de liquide est peu considérable, on pratiquera d'un seul coup l'évacuation de celui qui existe, comme cela se fait pour les abcès superficiels.

3. *οὖσα ἰσόπεδος ἡ* R.

Mai 7-8.

ιγʹ. Περὶ ἥπατος καὶ σπληνὸς ἀποσΤήματος.

Ἐπὶ τῶν ἐν ἥπατι καὶ σπληνὶ ἀποσΤημάτων δοκεῖ μοι δεῖν τέμνειν, ἢ καίειν. 1 Διαιρείσθω δὲ τὰ ἐπικείμενα τῷ σπλάγχνῳ | σώματα, ἐπιγάσΤριον καὶ περιτόναιον, καὶ πλείσΤης οὔσης συλλογῆς 2 8 διεκβαλλέσθωσαν ἀγκτῆρες διὰ τῶν τοῦ ἐπιγασΤρίου χειλῶν, καὶ τότε τὸ ἀπόσΤημα διαιρείσθω, πάλιν πρὸς δύναμιν ἐκκρινομένου τοῦ ὑγροῦ, πρὸς δὲ ἐποχὴν τοῦ καταλελειμμένου, ὡς δὲ ἤδη ἐῤῥέθη, σπογγίου μαλακοῦ ἐντιθεμένου· γινέσθω δὲ καὶ τὰ ἑξῆς οἷα ἐπὶ τοῦ θώρακος εἴρηται· ὀλίγον δὲ ὂν τὸ ὑγρὸν σύμπαν κατὰ μίαν ἐπιβολὴν ἐκκρινέσθω. Εἴωθε μὲν οὖν, σαρκουμένης τῆς ἐν τῷ βάθει 3 ἑλκώσεως, συσσαρκοῦσθαι καὶ τὰ χείλη τοῦ ἐπιγασΤρίου καὶ τοῦ περιτοναίου, ὥσΤε μίαν συνούλωσιν τῆς τομῆς γίνεσθαι· ἐὰν δὲ φθάσῃ ἐπουλωθῆναι τὴν τοῦ σπλάγχνου ἕλκωσιν, ἀναιμασσέσθω

13. DE L'ABCÈS DU FOIE ET DE LA RATE.

En cas d'abcès du foie ou de la rate, il me semble qu'il faut couper ou brûler. 1 On incisera les parties qui recouvrent le viscère, c'est-à-dire 2 les téguments du ventre et le péritoine, et, si la collection est très-considérable, on passera des anses à travers les lèvres de l'incision des téguments du ventre; ensuite on ouvrira l'abcès et on proportionnera de nouveau la quantité du liquide qu'on évacue au degré des forces du malade; pour retenir celui qu'on a laissé en place, on introduira, ainsi que cela a déjà été dit, une éponge molle; le traitement consécutif sera également le même que celui qui a été décrit à propos de la poitrine; mais, si le liquide est peu abondant, on l'évacuera entièrement d'un seul coup. Le cas 3 le plus ordinaire, c'est que, en même temps que l'ulcération profonde se recouvre de chairs, d'autres chairs réunissent les lèvres de la plaie des téguments du ventre et du péritoine, de sorte que l'incision se cicatrise d'un seul coup; mais, si la cicatrisation de ces parties prévient celle de la plaie du viscère, il faut rendre de nouveau sanguinolentes les lèvres

Ch. 13, l. 2. σπλάχνῳ R 1ª m. — 10. συνσαρκοῦσθαι R. — 11. μίαν conj.; μή R. — 12. ἢ τοῦ σπλάγχνου ἕλκωσις R.

Mai 8.

4 τὰ τῆς τομῆς χείλη, καὶ ῥαπτέσθω πρὸς κόλλησιν. Ἐὰν δέ ποτε τὸ ἐν ἥπατι καὶ σπληνὶ ἀπόστημα ἀναστομωθῇ ὡς τὸ ὑγρὸν προχεόμενον ὑποδραμεῖν τὸ περιτόναιον καὶ περιχυθῆναι τοῖς σπλάγχνοις, ἐὰν μὲν ᾖ πλῆθος τὸ προκεχυμένον, ὡς ἀναλογεῖν πλήθει τῷ ἐπὶ ὕδρωπος, παρακεντήσει χρώμεθα· ὀλίγου δὲ ὄντος τοῦ κεχυμένου, τοπικὴ γινέσθω διαίρεσις τοῦ ἐπιγαστρίου καὶ τοῦ περιτοναίου, εἶτα ὅταν φανῇ τοῦ σπλάγχνου στόμωσις, ἐπιδιαιρείσθω πρὸς τὴν τοῦ ἀποστήματος ἀνασκευήν, καὶ τότε τὰ ἀκόλουθα γινέσθω ὅσα μικρῷ πρόσθεν εἴρηται.

ιδʹ. Περὶ ἀπευθυσμένου ἐντέρου ἀποστήματος καὶ τῶν ἐν ἄλλοις μορίοις.

1 Τοῦ ἀπευθυσμένου ἐντέρου ἀποστάντος, ποτὲ μὲν χειρουργεῖν δεῖ, ποτὲ δὲ συνεργεῖν τῇ κατὰ βάθος συῤῥήξει· χειρουργεῖν μὲν ἐν τοῖς προχείροις τόποις τοῦ ἀποστήματος ὄντος, πλησιάζοντός [τε] τῷ σφιγκτῆρι [καὶ] ἀφῇ ὑποπίπτοντος· συνεργεῖν δὲ συῤῥή-

4 de l'incision et les réunir par une suture pour les agglutiner. Si parfois l'abcès du foie ou de la rate s'ouvre, et que, conséquemment, le liquide, en s'épanchant, arrive au-dessous du péritoine et se répande autour des viscères, il faut, au cas où le liquide épanché est très-abondant, de manière à équivaloir, pour la quantité, à celui qui existe dans l'hydropisie, recourir à la paracentèse; si, au contraire, le liquide épanché est peu abondant, on fait une incision locale des téguments du ventre et du péritoine; ensuite, quand on découvre l'ouverture du viscère, on l'élargit avec l'instrument tranchant pour guérir l'abcès; alors on applique le traitement consécutif qui a été décrit un peu plus haut.

14. DE L'ABCÈS DU RECTUM ET DE CEUX DE [QUELQUES] AUTRES PARTIES.

1 Si le rectum s'abcède, il faut quelquefois recourir à une opération, et d'autres fois favoriser la rupture intérieure dans le fond de l'organe; on opérera quand l'abcès a son siége dans les parties qui sont à notre portée, quand il est voisin du sphincter et accessible au toucher; on favorisera, au contraire, la rupture intérieure quand il se forme dans la

Ch. 14, l. 13. [τε] et [καί] om. R.

ξει, ἐν βάθει γινομένου. Πρὸς δὲ τὴν χειρουργίαν ὕπτιος σχημα- Mai 8-9.
τιζέσθω ὁ πάσχων ἐπὶ παρέδρου δίφρου | πρὸς αὐγῇ λαμπρᾷ, 2
συνημμένα ἔχων τὰ σκέλη πρὸς τὸ ἐπιγάστριον καὶ τοὺς μηροὺς 9
διεστῶτας ἀπὸ ἀλλήλων· ἔστωσαν δὲ καὶ οἱ πήχεις ταῖς ἰγνύαις
ὑποβεβλημένοι καὶ πρὸς τὸν τένοντα διὰ τῶν ἀνισοτόνων βρόχων
ἀνειλημμένοι. Μετὰ τὸν δεδηλωμένον σχηματισμὸν, τοῖς δακτύλοις 3
ἐκτρεπέσθωσαν αἱ πρόχειροι τοῦ δακτυλίου στολίδες, εἶτα ἄγκιστρον
τῷ λιχανῷ δακτύλῳ συγκαθιέσθω εἰς τὸ τῆς ἕδρας βάθος, καὶ κα-
ταπειρέσθω εἰς τὸν ὄγκον, διὰ οὗ ἀποτεινόμενον τὸ ἀπόστημα
ἐκτρεπέσθω, καὶ ἐπιδιαιρείσθω, παχέων ὄντων τῶν ἐπικειμένων
τῷ πύῳ σωμάτων. Ταῦτα τὰ ἔργα δύναται γίνεσθαι ἐπὶ παιδικῶν 4
καὶ γυναικείων σωμάτων τῶν ἁπαλοσυγκρίτων· ἐπὶ δὲ νέων περι-
σκλήρων ἀκμαζόντων ἀνθρώπων, ἐὰν μὴ δύνηται ἐκτρέπεσθαι ἡ
ἕδρα, συγκαθιέσθω εἰς τὸ βάθος τῷ λιχανῷ δακτύλῳ ἢ τοῦ ἡμισπα-
θίου ἀκμὴ, ἢ στενῆς κατιάδος ἔλασμα, καὶ διὰ τῆς ἀκμῆς ἔσωθεν

profondeur. Pour pratiquer l'opération, on placera le malade sur une 2
petite chaise (?) dans un jour clair; ses jambes seront assujetties sur
le ventre par des liens, et les cuisses seront écartées l'une de l'autre;
les avant-bras devront aussi être placés au-dessous des jarrets et relevés
vers la partie postérieure du cou à l'aide de lacs à tension inégale. Après 3
avoir placé le malade dans la position que nous venons de décrire, on
renversera avec les doigts les plis de l'anus qui sont à portée; ensuite
on introduira en même temps avec le doigt indicateur un crochet dans
le fond du siége et on l'enfoncera dans la tumeur; à l'aide de ce crochet,
on tirera en bas la tumeur, et on la fera sortir, et, si les parties qui recou-
vrent le pus sont épaisses, on élargira l'orifice de la fistule. Ces procédés 4
peuvent s'exécuter sur des enfants ou sur des femmes, attendu que leurs
chairs ont une texture molle; mais, chez les gens qui sont à l'époque
moyenne de la vie et dont la chair est très-dure, si on ne peut pas renverser
le siége, il faut introduire en même temps avec le doigt indicateur, dans
la profondeur, le tranchant d'un hémispathion ou le talon d'une lancette
étroite à saigner, et diviser la tumeur tout entière, en faisant faire au tran-

11. *γενέσθαι* R 2ª m., Mai.

Mai 9-10.
5 ἔξω ἀγομένης διαιρείσθω ὅλον τὸ ἀπόστημα. Μετὰ δὲ τὴν τοῦ πύου
ἔκκρισιν λημνίσκῳ καθεθέντι ἀναπληρούσθω ὁ τοῦ ἀποστήματος
κόλπος, καὶ τὰ ἄλλα τὰ ἀκόλουθα γινέσθω· τῇ δὲ τρίτῃ καθεζέσθω
εἰς λεκάνην πεπληρωμένην ὕδατος θερμοῦ, καὶ προσαντλείσθω
μετὰ περιχύσεως ἐλαίου, καὶ θεραπευέσθω λημνίσκῳ πυοποιῷ φαρ-
μάκῳ κεχρισμένῳ, πάντων καὶ τῶν ἄλλων ἀκολούθως γινομένων.
6 Μετὰ δὲ τὴν πύωσιν ἡ ἕλκωσις καθαιρέσθω μέλιτι, ἢ ἄλλῳ τινὶ
7 φαρμάκῳ, καὶ ἐπουλούσθω τῇ διὰ καδμείας. Εἴωθα δὲ πριαπίσκον
10 8 περιπλάσσειν τῷ φαρμάκῳ καὶ εἰς τὴν ἕδραν ἐντιθέναι. Σημεῖα δέ
ἐστι τῆς ἐπουλώσεως ἀνωδυνία, καὶ ὅταν μηκέτι πύον ἐκκρίνηται.
9 Τοῦ δὲ ἀποστήματος ἐν τῷ βάθει γεγενημένου καὶ τῇ ἁφῇ μὴ ὑπο-
πίπτοντος, συνεργεῖν δεῖ τῇ ῥήξει τοῖς δριμυτέροις κλυσμοῖς διὰ
ἀφεψήματος ὑσσώπου, ὀριγάνου μετὰ ἰσχάδων, καὶ τῆς ὀσφύος ἅμα
καταπλασσομένης, μετὰ τὴν σύῤῥηξιν κατὰ ἀρχὰς μὲν ἐγκλύζειν
ἀκρατέστερον τὸ μελίκρατον· ὕστερον δὲ τὸ τοῦ φαρμάκου, ἢ τῶν

5 chant un mouvement de l'intérieur vers l'extérieur. Après l'évacuation du
pus, on remplira la cavité de l'abcès avec un plumasseau qu'on y intro-
duira, et on prendra les autres précautions qui doivent suivre; le troi-
sième jour, on fera asseoir le malade dans un bassin d'eau chaude, et on
pratiquera des affusions en versant en même temps de tous côtés de l'huile
sur lui; on le traitera avec un plumasseau enduit d'un médicament qui pro-
6 voque la suppuration, et on fera tout le reste en conséquence. Après la sup-
puration, on mondifiera la plaie avec du miel, ou avec quelque autre mé-
7 dicament, et on cicatrisera à l'aide du médicament à la tutie. Je me sers
habituellement d'une tente en forme de membre viril que j'enduis de tous
8 côtés avec le médicament et que j'introduis dans le siége. Les signes de la
9 formation de la cicatrice sont l'absence de douleur et la cessation de l'ex-
crétion du pus. Si l'abcès s'est formé dans la profondeur et reste inaccessible
au toucher, on provoquera la rupture à l'aide de lavements plus ou moins
âcres, composés d'une décoction d'*hyssope* ou d'origan combinée avec des
figues sèches, et, après la rupture intérieure, on fera, tout en appliquant
en même temps des cataplasmes sur les lombes, au commencement, des
injections avec de l'eau miellée contenant plus de miel que de coutume,

6. κεχρημένῳ R.

Mai 10.
ῥόδων ἀφέψημα. — Εἰ δὲ ἐν τῷ διαφράγματι τῶν μυξωτήρων ἀπο- 10
στημάτιον γένοιτο, διαιρείσθω καὶ τότε ἐκτεμνέσθω. Ἔπειτα ἂν μὲν 11
κατὰ φύσιν ἔχῃ ὁ χόνδρος, ἐάσθω· λελιπασμένος δὲ περιτεμνέσθω,
καὶ τότε οἱ ἐλλυχνιωτοὶ μότοι εἰς τοὺς μυξωτῆρας ἐντιθέσθωσαν,
εἶτα ἔξωθεν ὅλῃ τῇ ῥινὶ ἐλαιοβραχὲς ἔριον ἐντιθέσθω, συνανακε-
κομμένης λιβανωτοῦ μάννης. Ταῖς δὲ ἑξῆς ἡμέραις πυριάσθω, καὶ 12
τὸ ἑλκύδριον θεραπευέσθω. — Ἐν δὲ τοῖς παρισθμίοις ἀποστήματος 13
συστάντος, διελεῖν χρὴ διαστείλαντα τὸ στόμα τῷ στοματοδιαστο-
λεῖ, ἢ σφηνάριον πρίνινον τάξαντα μεταξὺ τῶν μύλων, καὶ τὴν
γλῶσσαν καταστείλαντα σπαθομήλῃ, ἢ τῷ γλωσσοκατόχῳ. — Εἰ δὲ 14
ἐν τῷ ὀσχέῳ, ἐὰν μὲν ᾖ παχέα τὰ περιέχοντα τὸ ὑγρὸν σώματα,
τοῖς κατὰ ἁπλοτομίαν ἔργοις χρησόμεθα, πρὸς τὸ τοῦ ἀποστήμα-
τος μέγεθος ἢ μιᾷ διαιρέσει ἢ δυσὶν, ἢ τρισὶν ἀρκούμενοι, λημνί-
σκου τε διεκβολῇ χρώμενοι καὶ τῇ λοιπῇ διαμοτώσει· λελεπτοποιη-
μένων δὲ τῶν σωμάτων τὴν ἐκτομὴν αὐτῶν δοκιμάσομεν.

et, plus tard, avec la décoction de ces médicaments, ou avec celle de roses.
— S'il existe un petit abcès dans la cloison des narines, on le divisera d'a- 10
bord et alors on l'extirpera. Si ensuite le cartilage se trouve dans son état 11
naturel, on l'abandonnera à lui-même; mais, s'il est graisseux, on enlè-
vera la partie malade à l'aide d'une incision circulaire, et, après cela, on
introduira dans les narines des tentes faites avec des mèches; ensuite on
placera à l'extérieur, sur tout le nez, de la laine trempée dans de l'huile
qu'on aura battue avec de la poudre d'encens. Les jours suivants on fera 12
des fomentations et on traitera la petite plaie. — S'il s'est formé un abcès 13
dans les amygdales, il faut le diviser en ouvrant la bouche à l'aide de
l'instrument consacré à cet usage, ou d'un coin de bois d'yeuse qu'on
place entre les dents molaires, et en abaissant la langue avec une sonde
large, ou avec l'instrument destiné à cet usage. — S'il s'est formé un abcès 14
au scrotum, on recourra, dans le cas où les parties qui entourent le li-
quide seraient épaisses, à la méthode des incisions simples, et on se con-
tentera d'une, de deux ou de trois incisions, selon la grandeur de l'abcès,
en employant un plumasseau qu'on fera passer à travers l'incision et tout
le reste du traitement par les tentes; mais, si les parties qui entourent
le pus se sont amincies, nous recommanderons de les extirper.

ιε'. Περὶ κόλπων καὶ συρίγγων. Ἐκ τῶν Γαληνοῦ.

1 Ὅταν δὲ ἐπὶ πλέον ἀκόλλητον ᾖ τὸ δέρμα τοῖς ὑποκειμένοις σώ-
μασι, κόλπον ὀνομάζουσι τὸ τοιοῦτον· ἐφεξῆς οὖν καὶ τῆς τούτου
2 θεραπείας μνημονεύσομεν. Βέλτιον μὲν αὐλίσκον εὐθύτρητον ἐκ χαλ-
κοῦ πεποιημένον, ἢ κέρατος ἡτοιμάσθαι σοι· μὴ παρόντων δὲ ἐκεί-
νων, τῶν καλουμένων πυουλκῶν ὅς τις ἂν εὐρύτατον ἔχῃ τὸ τρῆμα,
καὶ τὸ διὰ χάρτου κεκαυμένου συντιθέμενον ἡμέτερον φάρμακον ὀλί-
γον ῥοδίνῳ πολλῷ μιγνύντα διὰ τοῦ τοιούτου πυουλκοῦ τοῖς κόλ-
ποις ἐνιέναι κἄπειτα μότῳ βύειν τὸ σ7όμιον· ὅσα δὲ ἐμπλασ7ὰ,
φάρμακα τήκοντες ῥοδίνῳ ἐνίεμεν, οὐ διεξέρχεται τὸν πυουλκὸν,
ἀλλὰ ἐπὶ τούτων προσήκει κύσ7ιν λαβόντα χοιρείαν προσδεῖν εὐ-
3 θύτρητον αὐλίσκον. Εἶναι δὲ χρὴ τὰ τηκόμενα φάρμακα δριμύτερα
τῶν ἐμμότων ὀνομαζομένων, ὁποῖά ἐσ7ι τὰ συνήθη πᾶσι χλωρὰ τῇ
χροιᾷ· προσήκει μὲν γὰρ αὐτὰ τοῦ ῥοδίνου κατὰ τὴν τῆξιν οὐκ

15. DES SINUS ET DES FISTULES. — TIRÉ DE GALIEN.

1 Quand la peau a perdu son adhérence avec les parties sous-jacentes dans
un espace assez étendu, on appelle cet accident *sinus;* nous allons donc
2 maintenant parler du traitement de cet accident. Il n'est pas trop mau-
vais que vous ayez préparé d'avance un tuyau percé droit, construit en
bronze, ou en corne, ou, à défaut de pareils tuyaux, celui des instruments
dits *tire-pus* qui ait le trou le plus large, et on mêlera une petite quantité
de notre médicament composé avec le papier brûlé à une grande quan-
tité d'huile aux roses pour l'injecter dans les sinus à l'aide d'un *tire-pus*
ainsi fait, après quoi on remplira l'orifice des sinus de tentes; car les
médicaments ayant forme d'emplâtre, que nous injectons dissous dans
de l'huile aux roses, ne passent pas à travers le tire-pus, et il faut alors
recourir à une vessie de porc à laquelle on attache un tuyau percé droit.
3 Ces médicaments, qu'on fait fondre, doivent être plus âcres que les mé-
dicaments connus sous le nom de médicaments pour les tentes; tels
sont, par exemple, les médicaments de couleur verte employés habi-
tuellement par tous les médecins : en effet, ceux dont il s'agit doivent

Cн. 15, l. 2. τὸ τοιοῦτον πάθος Gal. — 8. μοτῷ τιλτῷ Gal. — Ib. βύειν Paul.; μύειν R Gal. — 12. ὁποῖα ταῦτ' ἐσ7ὶ Gal. — 13. τάξιν R.

ὀλίγον ἔχειν, ὥστε ἐνίεσθαι τῷ κόλπῳ δύνασθαι· καταλύεται δὲ τῶν
ἐμμότων ἡ δύναμις ἐν ταῖς τοιαύταις μίξεσιν. Ὅσα τοίνυν ἐμπλαστὰ 4
φάρμακα τέως ὄντα καθάπερ τό τε τοῦ Μαχαιρίωνος καὶ τὸ τοῦ
Ἐπιγόνου καὶ ἡ Ἶσις εἰς τὴν τῶν ἐμμότων χρῆσιν ἀγόμενα κηρω-
τῆς μιγνυμένης δεῖται, ταῦτα ἐπιτηδειότατα τοῖς κόλποις ἐστὶν,
εἰ τακείη μόνον αὐτὰ κατὰ αὐτὰ, μὴ μιχθείσης αὐτοῖς τῆς κηρωτῆς.
Συμμέτρως δὲ ὑποσαρκωθέντος τοῦ κόλπου, τῶν κολλητικῶν φαρ- 5
μάκων ἐπιθήσεις, ὡς εἰ καὶ ϖρόσφατον ἔναιμον ἐθεράπευες· ϖολλὰ
δέ ἐστι τὰ τοιαῦτα, τὰ μὲν διὰ ἀσφάλτου σκευαζόμενα, καὶ καλοῦσιν
αὐτὰ βαρβάρους, ἕτερα δὲ διὰ λιθαργύρου τε καὶ ἰοῦ μέχρι ϖλείο-
νος ἑψηθέντα. Ἐπειδὴ οἱ κολποὶ ϖάντες οὐχ ἁπλαῖ διαιρέσεις εἰσὶν, 6
ἀλλὰ ἀναδέδαρται σῶμα συχνὸν ἐν αὐτοῖς ἄλλο κατὰ ἄλλο μέρος,
ὅπερ οὐδὲ αὐτὸ χρὴ λανθάνειν σε, ϖρὸς μὲν τὴν ἄνω χώραν ἀνατε-
ταμένου τοῦ κόλπου ῥᾳδίως ἐκρεῖ διὰ τοῦ στόματος ὁ ἰχώρ· κατάν-

contenir une assez grande quantité d'huile aux roses pour que la fusion
ait lieu de façon à ce qu'on puisse les injecter dans le sinus; or les
propriétés des médicaments pour les tentes s'épuisent si on opère un pa- 4
reil mélange. Tous les médicaments, par exemple, celui de Machærion,
celui d'Épigone et l'Isis, qui sont primitivement des emplâtres, mais qui,
pour être employés comme médicaments pour les tentes, exigent l'addi-
tion du cérat, conviennent très-bien pour les sinus, pourvu qu'on se
borne à les fondre tout seuls, sans y mêler du cérat. Quand, dans le 5
sinus, il s'est établi en dessous un bourgeonnement modéré, appliquez-y
des médicaments agglutinatifs, comme si vous traitiez une plaie récente
encore saignante; or les médicaments de ce genre sont nombreux; il y
a, d'abord, les médicaments préparés avec le bitume de Judée, qu'on
appelle *emplâtres barbares;* il y en a d'autres à la litharge et au vert-de-
gris et qu'on soumet à une cuisson prolongée. Comme les sinus, les 6
uns aussi bien que les autres, ne sont pas de simples divisions, mais
qu'il existe en eux une grande étendue de parties excoriées, et que ces
parties diffèrent selon la région du corps occupée par le sinus, circons-
tance qu'il ne faut pas non plus perdre de vue, l'ichor coule facilement

6. *μόνα* Gal. — 13. *μὲν τήν* ex em.; *μὲν γάρ τήν* R. Gal.

τους δὲ ὄντος αὐτοῦ, μένων ἔνδον ἀναϐιϐρώσκει τι τῶν συνεχῶν.
7 Ἐπὶ μὲν δὴ τῶν τοιούτων κόλπων, εἰ μὴ πρότερον εἰς ὑπόῤῥυσίν
τινα ποιήσαις τομὴν, οὐδὲν ἀνύσεις, οὔτε ἐν τῷ σαρκοῦν αὐτοὺς,
οὔτε ἐν τῷ κολλᾷν· ἐπὶ δὲ τῶν ἄλλων οὐ δεήσει διαιρέσεως, ἐάν γε
μόνον Φυλάτlῃς τὸ προσῆκον σχῆμα τῷ πεπονθότι μορίῳ, διὰ ὃ
σχῆμα δύναιο[ἂν] ποτε καὶ τὸν ἀνάῤῥοπον κόλπον κατάῤῥοπον ἐργά-
8 ζεσθαι καὶ τὸν κατάῤῥοπον ἀνάῤῥοπον. Πρὶν δὲ ἐπιτιθέναι τὸ κολ-
λητικὸν Φάρμακον, ἐκκλύζειν μελικράτῳ τὸν κόλπον, ἢ οἴνῳ, ἢ οἰνο-
μέλιτι· πρὸς μὲν γὰρ τὸ ἀποῤῥύψαι τε καὶ ἀποκαθῆραι τοὺς κατὰ
αὐτοὺς ἰχῶρας ἄμεινον τὸ μελίκρατον, ὥσπερ γε καὶ, εἰ ἄγαν εἴη
ῥυπαρὸν, ἡ κονία, εἰς δὲ τὸ ἀποκαθῆραί τε ἅμα καὶ τόνον ἐντιθέναι
ἐπιτήδειον τὸ οἰνόμελι· εἰς δὲ τὴν μέλλουσαν κόλλησιν ὁ οἶνος.
9-10 Ἔσlω δὲ μέσος ἡλικίᾳ τε καὶ σlύψει. Καὶ μέντοι καὶ μετὰ τὴν ἐπί-

par l'orifice du sinus, si la cavité se dirige vers les parties supérieures;
si, au contraire, le sinus a une direction déclive, l'ichor reste dans l'in-
7 térieur et ronge les parties contiguës. Si, dans de tels sinus, vous ne
faites pas d'abord une contre-ouverture afin de favoriser l'afflux et l'é-
coulement du pus, vous ne produirez aucun effet, qu'il s'agisse de dé-
velopper des bourgeons charnus ou d'agglutiner; pour les autres sinus,
vous n'aurez pas besoin d'incision, pourvu que vous laissiez seulement
la partie affectée dans la position convenable; car, à l'aide de la position,
on rend parfois un sinus remontant déclive, et un sinus déclive remon-
8 tant. Avant d'appliquer le médicament destiné à agglutiner, il faut laver
le sinus avec une injection d'eau miellée, de vin, ou de vin miellé : en
effet, l'eau miellée est préférable, quand il s'agit de déterger et d'évacuer
l'ichor contenu dans les sinus; de même la lessive doit être employée
si l'ulcère est très-sordide; le vin miellé convient quand il faut à la fois
9 mondifier et donner du ton, et le vin en vue du recollement à venir. Ce
vin ne doit être ni trop vieux, ni trop jeune, ni trop ni trop peu astrin-
10 gent. De plus, après l'application du médicament destiné à recoller, vous

6. δύναιο [ἂν] ex em.; δύναιό R; δυνήσῃ Gal. — 8. ἐγκλύζειν μελ. τὸν τόπον R. — Ib. ἢ οἴνῳ om. R. — 9. περιῤῥύψαι Gal. — 9-10. περὶ αὐτόν Gal. — 11. κονία σlακτή Gal. — 11-12. εἰς δέ τὸ ..... οἰνόμελι Aët.; om. R Gal. — 13. ἡλικίᾳ] γλυκύτητός Gal. — Ib. σlύψεως Gal.

θεσιν τοῦ κολλήσοντος Φαρμάκου σπόγγος καινὸς ἐξ οἰνομέλιτος, ἢ οἴνου, περιβαλλέσθω μαλακὸς, ὡς ἔνι μάλιστα, καὶ ἡ ἐπίδεσις ἀπὸ μὲν τοῦ πυθμένος ἀρχέσθω τοῦ κόλπου, τελευτάτω δὲ ἐπὶ τὸ στόμα. Αἱ δὲ περιβολαὶ τῶν ὀθονίων σφιγγέτωσαν μὲν ἀνωδύνως 11 τὸν πυθμένα τοῦ κόλπου, κατὰ βραχὺ δὲ ἐκλυέσθωσαν ἄχρι τοῦ στομίου, καὶ τοῦτο αὐτὸ χαλαρὰν ἐπίδεσιν ἐχέτω τοῦ Φαρμάκου, τῆς περιβαλλομένης ἔξωθεν ἐμπλάστρου τῷ κόλπῳ διεψαλισμένης κατὰ τὸ στόμιον, ὥστε ἐκρεῖν, εἴ τις ἰχὼρ ἐκθλίβοιτο τοῦ κόλπου, μικροῦ τινος ἄλλου κατὰ τοῦτο ἐπιτεθέντος ἐμπλαστρίου μέχρι τῆς λύσεως, ἣν διὰ τρίτης ποιησάμενος ἀφαιρήσεις αὐτὸ οἷον ἐπίθεμα περικείμενον, ἐάσας τὸ κατὰ ὅλου τοῦ κόλπου περιβεβλημένον Φάρμακον. Ἔσται 12 δέ σοι διάγνωσις, εἰ κεκόλληται τὸ βάθος τοῦ κόλπου καλῶς, ἐκ τοῦ ῥέοντος ἰχῶρος, εἰ πολὺς, ἢ ὀλίγος ἐστὶν, ἢ πεπεμμένος, ἢ ἄπεπτος· ἔτι δὲ καὶ κατὰ αὐτὸν τὸν κόλπον, εἰ μήτε ὀδύνη τις αἰσθητὴ, μήτε

entourerez la partie d'une éponge neuve, aussi douce que possible; vous la tremperez dans du vin miellé ou dans du vin; vous commencerez l'application du bandage au niveau du fond du sinus pour la terminer à son orifice. Les tours de bande doivent presser le fond du sinus sans 11 causer de la douleur; à partir de là jusqu'à l'orifice, elles deviendront petit à petit de moins en moins serrées, et le médicament devra être appliqué contre l'orifice lui-même par un tour de bande lâche : à cet effet, on coupera avec des ciseaux, au niveau de cet orifice, un trou dans l'emplâtre qui entoure le sinus à l'extérieur, afin que l'ichor qui pourrait être exprimé du sinus puisse s'écouler, et on placera sur l'orifice un autre petit emplâtre qu'on laissera en place jusqu'au lèvement de l'appareil, opération qu'on fera tous les trois (*deux*) jours : quand on en sera là, on ôtera le petit emplâtre qui recouvre l'orifice comme un couvercle, et l'on ne touchera pas au médicament placé tout autour sur le sinus. Vous 12 reconnaîtrez si le fond du sinus est bien recollé, à l'aide de l'ichor qui s'écoule, selon qu'il est abondant ou en petite quantité, cuit ou cru, vous le reconnaîtrez encore par le sinus lui-même [en examinant] s'il

2. ἢ οἴνου] μόνος Gal. — 3-4. τὸ στόμιον Gal. — 6. χαλαρωτέραν Aët. — Ib. ἐπίθεσιν R. — 8. ἐκκρίνοιτο δὲ διὰ τοῦ Gal.

ὄγκος, ἀλλὰ προσέσταλται τὸ χωρίον ἅπαν καὶ ξηρὸν καὶ ἀνώδυ-
13 νόν ἐστιν. Ἂν δὲ καὶ πύον ἐπιτρέφον ἴδῃς ἐπὶ τοῦ στόματος ὀλί-
γον, ἔτι μᾶλλον ἐλπίδας ἀγαθὰς ἕξεις περὶ τοῦ κεκολλῆσθαι τὸν
κόλπον, ἐπιθείς τε τὸν σπόγγον αὖθις ἐπιδήσας τε ὡς εἴρηται, λύε
κατὰ τὴν ὑστεραίαν, ἢ διὰ τρίτης, ὑπαλλάττων ἀεὶ τὸ κατὰ [τὸ]
τοῦ κόλπου στόμιον ἐπικείμενον ὀθόνιον, ἐκ τῆς αὐτῆς ἐμπλάστρου
14 κεχρισμένον, ὃ περιλήψεται σύμπαν ἐν κύκλῳ τὸ στόμιον. Εἶναι
δὲ αὐτὸ χρὴ μὴ πάνυ προστετυπωμένον, ἀλλὰ ὥστε δύνασθαι τὸν
15 ἰχῶρα τοῦ κόλπου πάντα κενοῦσθαι διὰ αὐτοῦ. Κατὰ μὲν οὖν τὴν
πρώτην καὶ δευτέραν ἡμέραν ἐὰν ἐκκρίνηταί τις ἰχὼρ λεπτὸς ἐκ
τοῦ κόλπου, μὴ πάνυ τι τῆς κολλήσεως ἀπέλπιζε· πολλάκις γὰρ ἡ
τοῦ περιβαλλομένου φαρμάκου τῷ πεπονθότι μορίῳ δύναμις ἐκθλί-
βει σφοδρῶς ἐκ τοῦ δέρματος αὐτοῦ καὶ τῆς ὑποκειμένης αὐτῷ σαρ-
κὸς ὑγρότητα λεπτὴν, ὅταν γε οὕτως ἔχῃ διαθέσεως τὸ τοῦ θερα-
πευομένου σῶμα διὰ φυσικὴν κρᾶσιν, ἢ μοχθηρὰν δίαιταν, ἧς ἐκθλι-

n'y existe ni douleur appréciable, ni tumeur, et si toute la région du
13 corps dont il s'agit est ferme, sèche et exempte de douleur. Si même
vous voyez un peu de pus se former sur l'orifice, vous concevrez des
espérances mieux fondées encore quant au recollement du sinus; vous
remettrez l'éponge en place, vous réappliquerez le bandage, ainsi que je
l'ai dit plus haut, et vous lèverez l'appareil le lendemain, ou tous les
trois (*deux*) jours, en changeant toujours le petit linge placé sur l'orifice
du sinus et enduit du même emplâtre que celui qui entoure circulaire-
14 ment tout l'orifice. Ce petit emplâtre ne devra pas suivre rigoureusement
tous les contours de la partie, mais de telle façon que le pus puisse s'é-
15 couler entièrement du sinus à travers les interstices. Si donc, le premier
et le second jour, un ichor ténu est évacué du sinus, il ne faut pas trop
désespérer du recollement : car souvent l'action du médicament qui en-
toure la partie affectée exprime vigoureusement de la peau même et de
la chair placée au-dessous d'elle un liquide ténu, pourvu que l'état où
se trouve le corps du malade s'y prête, que cela tienne à son tempé-
rament naturel, ou à un mauvais régime; ce liquide étant exprimé, les

2. ἐπιτρέφ. ex em.; εὔτροφ. R.; εὔπεπτον Gal., Paul. — 5. [τό] om. R Gal.

βείσης συμμέτρως ξηρὰ γενόμενα τὰ χωρία κολλᾶται· κατὰ δὲ τὴν
τρίτην ἡμέραν, ἢ τὴν τετάρτην ἀπὸ τῆς ἀρχῆς, ἐὰν ἄπεπτος ἰχὼρ
φέρηται διὰ τοῦ στομίου, γίνωσκε μὴ κεκολλῆσθαι τὸν κόλπον.
Ἔστω δὲ πρὸ πάντων τὸ περιβαλλόμενον τῷ πεπονθότι μορίῳ 16
φάρμακον ἰσχυρῶς μὲν ξηραῖνον, οὔτε δὲ δάκνον, οὔτε συντῆκον,
οἷόν ἐστι τὸ ἡμέτερον κιῤῥὸν, ὃ χωρὶς κηροῦ σκευάζεται διὰ μεταλ-
λικῶν φαρμάκων ἡψημένων καὶ ἐλαίου κικίνου καὶ ὄξους, ᾧ καὶ
σύριγγας πολλάκις ἐθεράπευσα, τῇ κονίᾳ προκλύσας ἐπὶ ὧν οὐδὲ
τύλος ἦν ἔνδον, ἀλλὰ ῥύπος μόνον, εἶτα ἐπιθεὶς τὸ φάρμακον. Ὅταν 17
γε μὴν τῶν εἰς ἀπόστασιν ἀφικομένων ὄγκων ἡ τομὴ γένηται βραδέως, ἢ διαβρωθέντος τοῦ δέρματος ὑπὸ τοῦ πύου, συμβαίνει πολλάκις τὸ περικείμενον δέρμα λεπτὸν ἱκανῶς γενέσθαι καθάπερ τι ῥάκος, καί ἐστι τὰ τοιαῦτα δέρματα δυσκόλλητα, καὶ μάλιστα ἐάν τις αὐτοῖς ἐπιβάλῃ ξηρὸν κατὰ τὴν σύστασιν φάρμακον· ὑπὸ τούτων γὰρ ἔτι μᾶλλον γίνεται ῥακωδέστερον καὶ ξηρότερον τὸ δέρμα

parties deviennent modérément sèches et se recollent; mais, si, le troisième ou le quatrième jour après le commencement du traitement, un ichor cru coule par l'orifice, sachez que le sinus ne s'est pas recollé.
Le médicament qui entoure la partie affectée devra, avant tout, être for- 16
tement desséchant, sans qu'il irrite ou qu'il liquéfie : tel est notre topique jaune-orange, qu'on prépare sans cire avec les substances métalliques cuites, de l'huile de ricin et du vinaigre; avec ce topique, j'ai souvent traité des fistules qui ne contenaient point de calus, mais seulement des impuretés dans leur intérieur, en faisant préalablement une injec-
tion de lessive, après laquelle j'appliquais le médicament. Quand on a 17
retardé l'incision des tumeurs qui se sont transformées en abcès, ou si la peau a été rongée par le pus, il arrive souvent que cette peau, qui entoure l'abcès, devient très-mince à la manière d'un vieux linge; or une peau ainsi faite se prête mal au recollement, surtout lorsqu'on y applique un médicament d'une consistance sèche : en effet, sous l'influence d'un pareil médicament, la peau devient encore plus sèche et plus semblable à un vieux linge, et prend de la ressemblance avec un

5. *συντεῖνον* Gal.

18 παραπλήσιον ταῖς τριβακαῖς διφθέραις. Ἔδοξεν οὖν μοι προσηκόν-
τως ἀντιχρήσασθαι πρὸς τὴν κόλλησιν αὐτοῦ τῇ συστάσει μὲν
ὑγρῷ Φαρμάκῳ, τῇ δυνάμει δὲ ξηρῷ· κάλλιστον δὲ πάντων ἐστὶ τὸ
συντεθὲν ὑπὸ ἐμοῦ διὰ λιθαργύρου καὶ στέατος χοιρείου παλαιοῦ
19 καὶ χαλκίτεως, ἔχον ἔλαιον παλαιότατον. Ἄμεινον δὲ ἐνεργοῦντος
ἐπειράθην αὐτοῦ κατὰ τὰς τοιαύτας διαθέσεις, ὅταν μὴ πάνυ τι
20 σκληρὸν ᾖ, μηδὲ ἀκριβῶς ἀμόλυντον. Ἁρμότlει δὲ, ὡς εἴρηται, ἐπὶ
τῶν ῥακωδῶν δερμάτων οὐχ ἥκιστα μέλι μέχρι συστάσεως ἑψηθέν.
21 Ἔστι δὲ ἡ συμμετρία τῆς ἑψήσεως αὐτοῦ δυσκατόρθωτος τῷ μὴ
τεθεαμένῳ· χρὴ γὰρ αὐτὸ μήτε οὕτω γενέσθαι σκληρὸν ὡς δυσ-
πρόσπτωτον εἶναι, μήτε οὕτως ὑγρὸν ὡς περιῤῥεῖν, καὶ διὰ τοῦτο
ἄμεινον ἔδοξέ μοι καταπάττειν χνοώδη σμύρναν, ἢ ἀλόην, ἢ λιβα-
νωτὸν, ἤ τινα τούτων, ἢ πάντα, καὶ μάλιστα ὅταν ἐπὶ τῆς ὀθόνης
ἐγχρισθὲν ὑγρότερον Φαίνηται· καταπάττω δὲ αὐτὰ διὰ κοσκί-

18 vêtement en cuir usé. J'ai donc pensé que, pour arriver au recollement,
il convenait d'employer, au contraire, un médicament humide, quant à
la consistance, mais sec, eu égard à ses propriétés; le meilleur des médi-
caments de ce genre est celui que j'ai composé avec la litharge, la vieille
graisse de porc et le cuivre pyriteux, médicament qu'on prépare avec de
19 l'huile très-vieille. J'ai vérifié par l'expérience que ce médicament agissait
mieux dans un pareil état du malade, s'il n'est pas tout à fait sec, et s'il
20 n'a pas même cessé entièrement de tacher les doigts. Ainsi que je l'ai
dit, le miel convient aussi très-bien quand la peau ressemble à un vieux
linge, pourvu qu'on le fasse cuire jusqu'à ce qu'il prenne une consis-
21 tance convenable. Mais le juste degré de cuisson du miel est difficile à
saisir pour celui qui ne l'a jamais vu cuire; car il faut qu'il ne soit ni
assez dur pour s'appliquer difficilement, ni assez liquide pour s'écouler
de tous les côtés, et, pour cette raison, il m'a semblé préférable de le
saupoudrer de myrrhe, d'aloès, ou d'encens réduits en poudre impal-
pable, en prenant tantôt l'un de ces ingrédients, tantôt tous à la fois,
surtout dans les cas où le miel paraît trop humide, lorsqu'il est déjà
étendu sur le linge; pour faire ce saupoudrement, je me sers d'un tamis,

2. ἄν τις χρήσασθαι Gal.; ἄν τις χρήσαιτο Aët. — 8. ἑλκωδῶν R.

νου μετεώρου κρατουμένου κατὰ τοῦ μέλιτος. Ἀρκεῖ δὲ ἅπαξ, ἢ δὶς 22
αὐτὸ κροῦσαι πρὸς τὴν συμμετρίαν τῆς διεκπλώσεως. Ἐνίοτε δὲ 23
καὶ κατὰ αὐτὴν τὴν ἕψησιν ἐμπάττω τι τῷ μέλιτι τῶν εἰρημένων
φαρμάκων, μάλιστα ὅταν ὁ κόλπος ᾖ μείζων τε καὶ βαθύτερος.
Ἐπειράθην δὲ καὶ τοῦ λεπτοῦ κενταυρίου θαυμαστοῦ φαρμάκου πρὸς 24
τὴν τοιαύτην χρείαν. Ἐφεξῆς δὲ αὐτῷ σύμφυτον ἐπιτήδειον καὶ 25
μετὰ τοῦτο τῆς ἰλλυρίδος ἴρεως ἡ ῥίζα, μετὰ ἣν τὸ τῶν ὀρόβων
ἄλευρον. Εὔδηλον δὲ ὅτι πάντα τὰ τοιαῦτα χνοώδη ποιεῖν προσῆκε, 26
καθαιροῦντα δὲ τὴν κακκάβην τοῦ πυρὸς ἐπιπάττειν ἅπαντα τὰ
τοιαῦτα, κἄπειτα κινεῖν ἐπιμελῶς, ἄχρις ἂν οὕτω γένηται τὸ μέλι
χλιαρὸν, ὡς ἐπιτιθέναι δύνασθαι τῷ θεραπευομένῳ σώματι. Θερα- 27
πευθεὶς δὲ μὴ ταχέως ὁ κόλπος τυλοῦταί τε καὶ σκληρὸς γίνεται τῷ
χρόνῳ καὶ οὐχ οἷόν τέ ἐστιν ἔτι κολλῆσαι τοῖς ὑποκειμένοις αὐτόν·
προσστέλλεται μέντοι ξηρανθεὶς ὑπὸ φαρμάκων καὶ διαίτης, ὡς δο-
κεῖν ὑγιὲς ἀμέμπτως ὑπάρχειν τὸ μόριον. Εἰ μὲν δὴ διὰ παντὸς 28

que je tiens suspendu au-dessus du miel. Il suffit de secouer le tamis une 22
ou deux fois pour faire passer une quantité convenable du médicament.
Quelquefois aussi je saupoudre quelque peu des médicaments susdits sur 23
le miel pendant la cuisson même, surtout quand il s'agit d'un sinus assez
grand et assez profond. J'ai aussi essayé la petite centaurée, qui est un 24
médicament admirable pour ce cas-là. Après elle vient la consoude, sous 25
le rapport de la convenance; après la consoude la racine d'iris d'Illyrie,
et, après cette racine, la farine d'ers. Il est clair qu'il faut réduire tous ces 26
ingrédients en poudre impalpable, et que c'est en ôtant le pot du feu,
qu'il faut y saupoudrer toutes les substances de cette nature, qu'ensuite
il faut remuer le miel avec soin jusqu'à ce qu'il acquière un degré de
